GREEK SERIES · VOLUME 27

The Odyssey

Homer

ΟΔΥΣΣΕΙΑ

The Odyssey

Part Two: Books XIII–XXIV

---

with a word-for-word interlinear English translation

preserving the original word order




CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 27 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Murray's text of the Odyssey, 1919

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

CONTENTS

BOOK XIII

XIII.1 · The Gifts of the Phaeacians 9
XIII.2 · The Voyage to Ithaca 14
XIII.3 · The Ship Turned to Stone 18
XIII.4 · Odysseus Wakes in Ithaca 22
XIII.5 · Athena Reveals Herself 30
XIII.6 · Odysseus Disguised 35

BOOK XIV

XIV.1 · The Swineherd's Farm 43
XIV.2 · Eumaeus' Hospitality 46
XIV.3 · The Beggar's Oath 51
XIV.4 · The Cretan Tale 57
XIV.5 · From Egypt to Ithaca 62
XIV.6 · Eumaeus' Doubt 69
XIV.7 · The Tale of the Cloak 76

BOOK XV

XV.1 · Athena in Sparta 83
XV.2 · The Gifts of Menelaus 86

BOOK XV

(continued)

XV.3 · Helen's Omen 92
XV.4 · Theoclymenus 97
XV.5 · The Voyage Home 102
XV.6 · Eumaeus' Grief 106
XV.7 · The Swineherd's Story 112
XV.8 · Telemachus Lands 120

BOOK XVI

XVI.1 · Telemachus at the Hut 125
XVI.2 · The Stranger's Indignation 129
XVI.3 · Father and Son 136
XVI.4 · The Plan 143
XVI.5 · The Suitors' Council 148
XVI.6 · Penelope Rebukes the Suitors 155

BOOK XVII

XVII.1 · Telemachus Comes Home 161
XVII.2 · Telemachus' Report 168
XVII.3 · Melanthius 173
XVII.4 · Argus 179
XVII.5 · Odysseus Begs in the Hall 185
XVII.6 · Antinous Strikes Odysseus 191
XVII.7 · Penelope Summons the Stranger 197

BOOK XVIII

XVIII.1 · Irus 207
XVIII.2 · The Warning to Amphinomus 215

BOOK XVIII

(continued)

XVIII.3 · Penelope Before the Suitors 218
XVIII.4 · Penelope Asks for Gifts 225
XVIII.5 · Melantho and Eurymachus 229
XVIII.6 · The Suitors Go Home 235

BOOK XIX

XIX.1 · The Weapons Removed 239
XIX.2 · Penelope and the Stranger 243
XIX.3 · The Cretan's Tale 251
XIX.4 · The Stranger's Oath 257
XIX.5 · Eurycleia 261
XIX.6 · The Scar 267
XIX.7 · Eurycleia's Silence 274
XIX.8 · Penelope's Dream 276

BOOK XX

XX.1 · Odysseus Lies Awake 285
XX.2 · The Omens of the Day 291
XX.3 · Philoetius 298
XX.4 · Theoclymenus' Vision 305

BOOK XXI

XXI.1 · The Bow of Odysseus 315
XXI.2 · The Suitors Fail 321

BOOK XXI

(continued)

XXI.3 · Odysseus and the Herdsmen 329
XXI.4 · The Beggar Asks for the Bow 333
XXI.5 · The Bow Strung 341

BOOK XXII

XXII.1 · The Death of Antinous 349
XXII.2 · Arms from the Storeroom 355
XXII.3 · Athena in the Fight 363
XXII.4 · Leiodes, Phemius, and Medon 371
XXII.5 · The Punishment of the Maids 376

BOOK XXIII

XXIII.1 · Penelope Will Not Believe 387
XXIII.2 · The Test of the Bed 395
XXIII.3 · Recognition 402
XXIII.4 · The Night and the Morning 409

BOOK XXIV

XXIV.1 · The Suitors in Hades 415
XXIV.2 · Amphimedon's Story 422
XXIV.3 · Laertes in the Orchard 430
XXIV.4 · Father and Son 437
XXIV.5 · The Ithacans Take Up Arms 445
XXIV.6 · Peace 451

BOOK XIII

XIII.1 · THE GIFTS OF THE PHAEACIANS

Alcinous promises Odysseus his homecoming and asks each chief to add a great tripod and a cauldron, to be repaid by a levy on the people. At dawn the gifts are stowed aboard, and through the sacrifice and feast Odysseus watches the sun, longing for it to set. He blesses the Phaeacians, pledges Queen Arete, and goes down to the ship with her maidservants.

Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ,
So he-spoke they and then all silent became in-silence
κηληθμῷ δ' ἔσχοντο κατὰ μέγαρα σκιόεντα.
in-the-spell and they-were-held throughout the-halls shadowy
τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο φώνησέν τε·
him and in-turn Alcinous answered spoke and
" Ὦ Ὀδυσεῦ, ἐπεὶ ἵκευ ἐμὸν ποτὶ χαλκοβατὲς δῶ,
O Odysseus since you-came my to bronze-floored house
ὑψερεφές, τῷ σ' οὔ τι παλιμπλαγχθέντα γ' ὀΐω
high-roofed therefore you not at-all driven-back indeed I-think
ἂψ ἀπονοστήσειν, εἰ καὶ μάλα πολλὰ πέπονθας.
back to-return if even very much you-have-suffered
ὑμέων δ' ἀνδρὶ ἑκάστῳ ἐφιέμενος τάδε εἴρω,
of-you and to-man each enjoining these-things I-say
ὅσσοι ἐνὶ μεγάροισι γερούσιον αἴθοπα οἶνον
as-many-as in the-halls elders' sparkling wine
αἰεὶ πίνετ' ἐμοῖσιν, ἀκουάζεσθε δ' ἀοιδοῦ.
always drink my you-listen-to and the-minstrel

εἵματα μὲν δὴ ξείνῳ ἐϋξέστῃ ἐνὶ χηλῷ
clothes indeed truly for-the-stranger well-polished in chest
κεῖται καὶ χρυσὸς πολυδαίδαλος ἄλλα τε πάντα
lie and gold richly-wrought other and all
δῶρ', ὅσα Φαιήκων βουληφόροι ἐνθάδ' ἔνεικαν·
gifts as-many-as of-the-Phaeacians the-counselors here brought
ἀλλ' ἄγε οἱ δῶμεν τρίποδα μέγαν ἠδὲ λέβητα
but come to-him let-us-give a-tripod great and a-cauldron
ἀνδρακάς· ἡμεῖς δ' αὖτε ἀγειρόμενοι κατὰ δῆμον
man-by-man we and in-turn gathering(-it) throughout the-land
τισόμεθ'· ἀργαλέον γὰρ ἕνα προικὸς χαρίσασθαι."
will-repay(-ourselves) hard for for-one without-recompense to-give
Ὣς ἔφατ' Ἀλκίνοος, τοῖσιν δ' ἐπιήνδανε μῦθος.
So spoke Alcinous to-them and was-pleasing the-word
οἱ μὲν κακκείοντες ἔβαν οἰκόνδε ἕκαστος,
they indeed going-to-bed went homeward each
ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
when and early-born appeared rosy-fingered Dawn
νῆάδ' ἐπεσσεύοντο, φέρον δ' εὐήνορα χαλκόν.
to-the-ship hastened they-brought and manly bronze
καὶ τὰ μὲν εὖ κατέθηχ' ἱερὸν μένος Ἀλκινόοιο,
and them indeed well stowed the-sacred might of-Alcinous
αὐτὸς ἰὼν διὰ νηὸς ὑπὸ ζυγά, μή τιν' ἑταίρων
himself going through the-ship under the-benches lest any of-the-comrades
βλάπτοι ἐλαυνόντων, ὁπότε σπερχοίατ' ἐρετμοῖς.
it-might-hinder rowing when they-should-hasten with-oars
οἱ δ' εἰς Ἀλκινόοιο κίον καὶ δαῖτ' ἀλέγυνον.
they and to of-Alcinous went and a-feast prepared

Τοῖσι δὲ βοῦν ἱέρευσ' ἱερὸν μένος Ἀλκινόοιο
For-them and an-ox sacrificed the-sacred might of-Alcinous
Ζηνὶ κελαινεφέϊ Κρονίδῃ, ὃς πᾶσιν ἀνάσσει.
to-Zeus dark-clouded son-of-Cronus who over-all rules
μῆρα δὲ κήαντες δαίνυντ' ἐρικυδέα δαῖτα
thighs and burning they-feasted glorious feast
τερπόμενοι· μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδός,
delighting among and them sang the-divine minstrel
Δημόδοκος, λαοῖσι τετιμένος. αὐτὰρ Ὀδυσσεὺς
Demodocus by-the-people honored but Odysseus
πολλὰ πρὸς ἠέλιον κεφαλὴν τρέπε παμφανόωντα,
often toward the-sun head turned all-shining
δῦναι ἐπειγόμενος· δὴ γὰρ μενέαινε νέεσθαι.
to-set eager indeed for he-longed to-return
ὡς δ' ὅτ' ἀνὴρ δόρποιο λιλαίεται, ᾧ τε πανῆμαρ
as and when a-man for-supper longs for-whom — all-day
νειὸν ἀν' ἕλκητον βόε οἴνοπε πηκτὸν ἄροτρον·
the-fallow through drag two-oxen wine-dark jointed plow
ἀσπασίως δ' ἄρα τῷ κατέδυ φάος ἠελίοιο
gladly and then for-him sets the-light of-the-sun
δόρπον ἐποίχεσθαι, βλάβεται δέ τε γούνατ' ἰόντι·
supper to-go-to are-hindered and — knees going
ὣς Ὀδυσῆ' ἀσπαστὸν ἔδυ φάος ἠελίοιο.
so for-Odysseus welcome set the-light of-the-sun
αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα,
at-once and among-the-Phaeacians oar-loving he-spoke
Ἀλκινόῳ δὲ μάλιστα πιφαυσκόμενος φάτο μῦθον·
to-Alcinous and most addressing spoke word

"Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
Alcinous lord of-all most-renowned of-peoples
πέμπετέ με σπείσαντες ἀπήμονα, χαίρετε δ' αὐτοί·
send me having-poured-libation unharmed farewell and yourselves
ἤδη γὰρ τετέλεσται ἅ μοι φίλος ἤθελε θυμός,
already for has-been-accomplished what my dear wished heart
πομπὴ καὶ φίλα δῶρα, τά μοι θεοὶ Οὐρανίωνες
escort and dear gifts which for-me the-gods Heavenly
ὄλβια ποιήσειαν· ἀμύμονα δ' οἶκοι ἄκοιτιν
blessed may-make blameless and at-home wife
νοστήσας εὕροιμι σὺν ἀρτεμέεσσι φίλοισιν.
having-returned may-I-find with safe friends
ὑμεῖς δ' αὖθι μένοντες ἐϋφραίνοιτε γυναῖκας
you and here remaining may-you-gladden wives
κουριδίας καὶ τέκνα· θεοὶ δ' ἀρετὴν ὀπάσειαν
wedded and children the-gods and excellence may-grant
παντοίην, καὶ μή τι κακὸν μεταδήμιον εἴη."
of-every-kind and not any evil among-the-people may-be
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπήνεον ἠδ' ἐκέλευον
So he-spoke they and then all approved and urged
πεμπέμεναι τὸν ξεῖνον, ἐπεὶ κατὰ μοῖραν ἔειπεν.
to-send the stranger since according-to due he-had-spoken
καὶ τότε κήρυκα προσέφη μένος Ἀλκινόοιο·
and then the-herald addressed the-might of-Alcinous
"Ποντόνοε, κρητῆρα κερασσάμενος μέθυ νεῖμον
Pontonous a-mixing-bowl having-mixed wine distribute
πᾶσιν ἀνὰ μέγαρον, ὄφρ' εὐξάμενοι Διὶ πατρὶ
to-all throughout the-hall so-that having-prayed to-Zeus father
τὸν ξεῖνον πέμπωμεν ἐὴν ἐς πατρίδα γαῖαν."
the stranger we-may-send his-own to native land

Ὣς φάτο, Ποντόνοος δὲ μελίφρονα οἶνον ἐκίρνα,
So he-spoke Pontonous and honey-sweet wine mixed
νώμησεν δ' ἄρα πᾶσιν ἐπισταδόν· οἱ δὲ θεοῖσιν
distributed and then to-all standing-by-each they and to-the-gods
ἔσπεισαν μακάρεσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
poured-libation blessed who heaven broad hold
αὐτόθεν ἐξ ἑδρέων. ἀνὰ δ' ἵστατο δῖος Ὀδυσσεύς,
from-there from seats up and stood noble Odysseus
Ἀρήτῃ δ' ἐν χειρὶ τίθει δέπας ἀμφικύπελλον,
to-Arete and in hand put the-cup double-handled
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and her having-spoken words winged addressed
"Χαῖρέ μοι, ὦ βασίλεια, διαμπερές, εἰς ὅ κε γῆρας
Farewell to-me O queen continually until (the-time)-when — old-age
ἔλθῃ καὶ θάνατος, τά τ' ἐπ' ἀνθρώποισι πέλονται.
comes and death which — upon men come
αὐτὰρ ἐγὼ νέομαι· σὺ δὲ τέρπεο τῷδ' ἐνὶ οἴκῳ
but I go-home you and delight this in house
παισί τε καὶ λαοῖσι καὶ Ἀλκινόῳ βασιλῆϊ."
in-children both and in-the-people and in-Alcinous the-king
Ὣς εἰπὼν ὑπὲρ οὐδὸν ἐβήσετο δῖος Ὀδυσσεύς,
So having-spoken over the-threshold stepped noble Odysseus
τῷ δ' ἅμα κήρυκα προΐει μένος Ἀλκινόοιο,
with-him and along a-herald sent the-might of-Alcinous
ἡγεῖσθαι ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης·
to-lead to the-ship swift and the-shore of-the-sea
Ἀρήτη δ' ἄρα οἱ δμῳὰς ἅμ' ἔπεμπε γυναῖκας,
Arete and then with-him maidservants along sent women
τὴν μὲν φᾶρος ἔχουσαν ἐϋπλυνὲς ἠδὲ χιτῶνα,
the-one indeed a-cloak carrying well-washed and a-tunic

τὴν δ᾽ ἑτέρην χηλὸν πυκινὴν ἅμ᾽ ὄπασσε κομίζειν·
the and other a-chest stout along she-sent to-carry
ἡ δ᾽ ἄλλη σῖτόν τ᾽ ἔφερεν καὶ οἶνον ἐρυθρόν.
the and third bread both carried and wine red

XIII.2 · THE VOYAGE TO ITHACA

Odysseus lies down on the deck and falls into a sleep like death, while the ship runs over the sea faster than a falcon. At the morning star it reaches the harbor of Phorcys on Ithaca, with its olive tree and the cave of the Naiads. The crew lay him asleep on the sand, set his gifts by the olive, and sail home. Poseidon has not forgotten his threats.

Αὐτὰρ ἐπεί ῥ᾽ ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
But when then to the-ship they-had-come-down and the-sea
αἶψα τά γ᾽ ἐν νηῒ γλαφυρῇ πομπῆες ἀγαυοὶ
at-once them indeed in ship hollow the-escorts lordly
δεξάμενοι κατέθεντο, πόσιν καὶ βρῶσιν ἅπασαν·
receiving stowed drink and food all
κὰδ δ᾽ ἄρ᾽ Ὀδυσσῆϊ στόρεσαν ῥῆγός τε λίνον τε
down and then for-Odysseus they-spread a-blanket both linen and
νηὸς ἐπ᾽ ἰκριόφιν γλαφυρῆς, ἵνα νήγρετον εὕδοι,
of-the-ship on the-deck hollow so-that unwaking he-might-sleep
πρύμνης· ἂν δὲ καὶ αὐτὸς ἐβήσετο καὶ κατέλεκτο
of-the-stern up and also himself went and lay-down
σιγῇ· τοὶ δὲ καθῖζον ἐπὶ κληῖσιν ἕκαστοι
in-silence they and sat on the-benches each
κόσμῳ, πεῖσμα δ᾽ ἔλυσαν ἀπὸ τρητοῖο λίθοιο.
in-order the-cable and they-loosed from the-pierced stone
εὖθ᾽ οἱ ἀνακλινθέντες ἀνερρίπτουν ἅλα πηδῷ,
when they leaning-back tossed-up the-sea with-the-oar-blade

καὶ τῷ νήδυμος ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτε,
and on-him sweet sleep on eyelids fell
νήγρετος, ἥδιστος, θανάτῳ ἄγχιστα ἐοικώς.
unwaking most-sweet to-death most-nearly like
ἡ δ', ὥς τ' ἐν πεδίῳ τετράοροι ἅρσενες ἵπποι,
she and as — on a-plain four-yoked male horses
πάντες ἅμ' ὁρμηθέντες ὑπὸ πληγῇσιν ἱμάσθλης,
all together starting under the-strokes of-the-whip
ὑψόσ' ἀειρόμενοι ῥίμφα πρήσσουσι κέλευθον,
on-high lifting swiftly accomplish the-course
ὣς ἄρα τῆς πρύμνη μὲν ἀείρετο, κῦμα δ' ὄπισθε
so then of-her the-stern indeed was-lifted the-wave and behind
πορφύρεον μέγα θῦε πολυφλοίσβοιο θαλάσσης.
dark-gleaming great roared of-the-loud-resounding sea
ἡ δὲ μάλ' ἀσφαλέως θέεν ἔμπεδον· οὐδέ κεν ἴρηξ
she and very steadily ran firmly nor — a-hawk
κίρκος ὁμαρτήσειεν, ἐλαφρότατος πετεηνῶν.
falcon could-keep-pace lightest of-winged-things
ὣς ἡ ῥίμφα θέουσα θαλάσσης κύματ' ἔταμνεν,
so she swiftly running of-the-sea the-waves cut
ἄνδρα φέρουσα θεοῖς ἐναλίγκια μήδε' ἔχοντα·
a-man carrying to-the-gods like counsels having
ὃς πρὶν μὲν μάλα πολλὰ πάθ' ἄλγεα ὃν κατὰ θυμὸν
who before indeed very many suffered pains his-own in heart
ἀνδρῶν τε πτολέμους ἀλεγεινά τε κύματα πείρων,
of-men both wars grievous and waves passing-through
δὴ τότε γ' ἀτρέμας εὖδε, λελασμένος ὅσσ' ἐπεπόνθει.
indeed then indeed undisturbed slept forgetting as-much-as he-had-suffered

Εὖτ' ἀστὴρ ὑπερέσχε φαάντατος, ὅς τε μάλιστα
When the-star rose-above brightest which — most
ἔρχεται ἀγγέλλων φάος Ἠοῦς ἠριγενείης,
comes announcing the-light of-Dawn early-born
τῆμος δὴ νήσῳ προσεπίλνατο ποντοπόρος νηῦς.
then indeed to-the-island drew-near seafaring ship
Φόρκυνος δέ τίς ἐστι λιμήν, ἁλίοιο γέροντος,
Of-Phorcys and a-certain is harbor of-the-sea of-the-old-man
ἐν δήμῳ Ἰθάκης· δύο δὲ προβλῆτες ἐν αὐτῷ
in the-land of-Ithaca two and jutting in it
ἀκταὶ ἀπορρῶγες, λιμένος ποτιπεπτηυῖαι,
headlands sheer of-the-harbor crouching-toward
αἵ τ' ἀνέμων σκεπόωσι δυσαήων μέγα κῦμα
which — from-the-winds shelter ill-blowing the-great wave
ἔκτοθεν· ἔντοσθεν δέ τ' ἄνευ δεσμοῖο μένουσι
outside within and — without a-mooring remain
νῆες ἐϋσσελμοι, ὅτ' ἂν ὅρμου μέτρον ἵκωνται.
ships well-benched when — of-anchorage the-measure they-reach
αὐτὰρ ἐπὶ κρατὸς λιμένος τανύφυλλος ἐλαίη,
but at the-head of-the-harbor a-long-leafed olive
ἀγχόθι δ' αὐτῆς ἄντρον ἐπήρατον ἠεροειδές,
near and it a-cave lovely misty
ἱρὸν νυμφάων αἳ νηϊάδες καλέονται.
sacred of-the-nymphs who naiads are-called
ἐν δὲ κρητῆρές τε καὶ ἀμφιφορῆες ἔασιν
in and mixing-bowls both and jars are
λάϊνοι· ἔνθα δ' ἔπειτα τιθαιβώσσουσι μέλισσαι.
of-stone there and then store-honey bees

ἐν δ' ἱστοὶ λίθεοι περιμήκεες, ἔνθα τε νύμφαι
in and looms of-stone very-long where — the-nymphs
φάρε' ὑφαίνουσιν ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι·
robes weave sea-purple a-wonder to-see
ἐν δ' ὕδατ' ἀενάοντα. δύω δέ τέ οἱ θύραι εἰσίν,
in and waters ever-flowing two and — its doors are
αἱ μὲν πρὸς Βορέαο καταιβαταὶ ἀνθρώποισιν,
the-ones indeed toward Boreas to-be-descended by-men
αἱ δ' αὖ πρὸς Νότου εἰσὶ θεώτεραι· οὐδέ τι κείνῃ
the-others and in-turn toward Notus are more-divine nor at-all that-way
ἄνδρες ἐσέρχονται, ἀλλ' ἀθανάτων ὁδός ἐστιν.
men enter but of-immortals the-way it-is
Ἔνθ' οἵ γ' εἰσέλασαν, πρὶν εἰδότες· ἡ μὲν ἔπειτα
There they indeed rowed-in before knowing she indeed then
ἠπείρῳ ἐπέκελσεν, ὅσον τ' ἐπὶ ἥμισυ πάσης,
on-the-land ran-aground as-much-as — over half of-all
σπερχομένη· τοῖον γὰρ ἐπείγετο χέρσ' ἐρετάων·
hastening such for she-was-driven by-the-hands of-rowers
οἱ δ' ἐκ νηὸς βάντες ἐϋζύγου ἤπειρόνδε
they and from the-ship going well-benched to-the-land
πρῶτον Ὀδυσσῆα γλαφυρῆς ἐκ νηὸς ἄειραν
first Odysseus hollow from ship lifted
αὐτῷ σύν τε λίνῳ καὶ ῥήγεϊ σιγαλόεντι,
himself with both linen and blanket glittering
κὰδ δ' ἄρ' ἐπὶ ψαμάθῳ ἔθεσαν δεδμημένον ὕπνῳ,
down and then on the-sand laid(-him) overcome by-sleep
ἐκ δὲ κτήματ' ἄειραν, ἃ οἱ Φαίηκες ἀγαυοὶ
out and possessions lifted which to-him the-Phaeacians lordly
ὤπασαν οἴκαδ' ἰόντι διὰ μεγάθυμον Ἀθήνην.
gave home going through great-hearted Athena

καὶ τὰ μὲν οὖν παρὰ πυθμέν᾽ ἐλαίης ἀθρόα θῆκαν
and them indeed then by the-trunk of-the-olive together set
ἐκτὸς ὁδοῦ, μή πώς τις ὁδιτάων ἀνθρώπων,
outside the-road lest somehow any of-wayfaring men
πρίν γ᾽ Ὀδυσῆ᾽ ἔγρεσθαι, ἐπελθὼν δηλήσαιτο·
before indeed Odysseus to-wake coming should-harm(-them)
αὐτοὶ δ᾽ αὖτ᾽ οἶκόνδε πάλιν κίον. οὐδ᾽ ἐνοσίχθων
themselves and in-turn homeward back went nor the-earth-shaker
λήθετ᾽ ἀπειλάων, τὰς ἀντιθέῳ Ὀδυσῆϊ
forgot the-threats which against-godlike Odysseus
πρῶτον ἐπηπείλησε, Διὸς δ᾽ ἐξείρετο βουλήν·
first he-threatened of-Zeus and he-asked the-counsel

XIII.3 · THE SHIP TURNED TO STONE

Poseidon complains to Zeus that the Phaeacians have brought Odysseus home with more treasure than he would have won at Troy. Zeus lets him do as he wishes and counsels him to turn the returning ship to stone in sight of the city. Poseidon strikes it as it comes near the shore. Alcinous recalls his father's prophecy and bids the Phaeacians give no more escorts and sacrifice twelve chosen bulls to Poseidon.

"Ζεῦ πάτερ, οὐκέτ᾽ ἔγω γε μετ᾽ ἀθανάτοισι θεοῖσι
Zeus father no-longer I indeed among immortal gods
τιμήεις ἔσομαι, ὅτε με βροτοὶ οὔ τι τίουσιν,
honored will-be when me mortals not at-all honor
Φαίηκες, τοί πέρ τοι ἐμῆς ἔξ εἰσι γενέθλης.
the-Phaeacians who even you-know of-my from are race

καὶ γὰρ νῦν Ὀδυσῆ᾽ ἐφάμην κακὰ πολλὰ παθόντα
and for now Odysseus I-said evils many having-suffered
οἴκαδ᾽ ἐλεύσεσθαι· νόστον δέ οἱ οὔ ποτ᾽ ἀπηύρων
home would-come the-return and to-him not ever I-took-away
πάγχυ, ἐπεὶ σὺ πρῶτον ὑπέσχεο καὶ κατένευσας.
wholly since you first promised and nodded-assent
οἱ δ᾽ εὕδοντ᾽ ἐν νηῒ θοῇ ἐπὶ πόντον ἄγοντες
they and sleeping in ship swift over the-sea bringing(-him)
κάτθεσαν εἰν Ἰθάκῃ, ἔδοσαν δέ οἱ ἄσπετα δῶρα,
set(-him)-down in Ithaca gave and to-him boundless gifts
χαλκόν τε χρυσόν τε ἅλις ἐσθῆτά θ᾽ ὑφαντήν,
bronze both gold and enough clothing and woven
πόλλ᾽, ὅσ᾽ ἂν οὐδέ ποτε Τροίης ἐξήρατ᾽ Ὀδυσσεύς,
much as-much-as — not-even ever from-Troy would-have-carried-off Odysseus
εἴ περ ἀπήμων ἦλθε, λαχὼν ἀπὸ λῃΐδος αἶσαν.᾽᾽
if indeed unharmed he-had-come having-won from the-spoil (his)-share
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Him and answering addressed cloud-gatherer Zeus
᾽᾽ Ὤ πόποι, ἐννοσίγαι᾽ εὐρυσθενές, οἷον ἔειπες.
Oh for-shame earth-shaker wide-ruling what you-have-said
οὔ τί σ᾽ ἀτιμάζουσι θεοί· χαλεπὸν δέ κεν εἴη
not at-all you dishonor the-gods hard and — it-would-be
πρεσβύτατον καὶ ἄριστον ἀτιμήσιν ἰάλλειν.
the-eldest and best with-dishonors to-assail
ἀνδρῶν δ᾽ εἴ πέρ τίς σε βίῃ καὶ κάρτεϊ εἴκων
of-men but if indeed any you to-violence and to-might yielding
οὔ τι τίει, σοὶ δ᾽ ἐστὶ καὶ ἐξοπίσω τίσις αἰεί.
not at-all honors to-you and is also hereafter vengeance always
ἔρξον ὅπως ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῷ.᾽᾽
act as you-wish and to-you dear is in-heart

Τὸν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
Him and answered then Poseidon earth-shaker
"Αἶψά κ' ἐγὼν ἔρξαιμι, κελαινεφές, ὡς ἀγορεύεις·
At-once — I would-act dark-clouded as you-say
ἀλλὰ σὸν αἰεὶ θυμὸν ὀπίζομαι ἠδ' ἀλεείνω.
but your always wrath I-regard and avoid
νῦν αὖ Φαιήκων ἐθέλω περικαλλέα νῆα,
now in-turn of-the-Phaeacians I-wish very-fair ship
ἐκ πομπῆς ἀνιοῦσαν, ἐν ἠεροειδέϊ πόντῳ
from escort returning in the-misty sea
ῥαῖσαι, ἵν' ἤδη σχῶνται, ἀπολλήξωσι δὲ πομπῆς
to-smite so-that already they-may-hold-back they-may-cease and from-escort
ἀνθρώπων, μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι."
of-men great and for-them a-mountain round-the-city to-put
Τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Him and answering addressed cloud-gatherer Zeus
" Ὦ πέπον, ὡς μὲν ἐμῷ θυμῷ δοκεῖ εἶναι ἄριστα,
O dear-one as indeed to-my heart seems to-be best
ὁππότε κεν δὴ πάντες ἐλαυνομένην προΐδωνται
when — indeed all being-driven see
λαοὶ ἀπὸ πτόλιος, θεῖναι λίθον ἐγγύθι γαίης
the-people from the-city to-make(-her) a-stone near the-land
νηΐ θοῇ ἴκελον, ἵνα θαυμάζωσιν ἅπαντες
to-a-ship swift like so-that may-marvel all
ἄνθρωποι, μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι."
men great and for-them a-mountain round-the-city to-put
Αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε Ποσειδάων ἐνοσίχθων,
But when this indeed heard Poseidon earth-shaker
βῆ ῥ' ἴμεν ἐς Σχερίην, ὅθι Φαίηκες γεγάασιν.
went then to-go to Scheria where the-Phaeacians are-born

ἔνθ᾽ ἔμεν᾽· ἡ δὲ μάλα σχεδὸν ἦλυθε ποντοπόρος νηῦς
there he-waited she and very near came seafaring ship
ῥίμφα διωκομένη· τῆς δὲ σχεδὸν ἦλθ᾽ ἐνοσίχθων,
swiftly being-driven her and near came the-earth-shaker
ὅς μιν λᾶαν ἔθηκε καὶ ἐρρίζωσεν ἔνερθε
who her a-stone made and rooted(-her) below
χειρὶ καταπρηνεῖ ἐλάσας· ὁ δὲ νόσφι βεβήκει.
with-hand flat having-struck he and away went
Οἱ δὲ πρὸς ἀλλήλους ἔπεα πτερόεντ᾽ ἀγόρευον
They and to each-other words winged spoke
Φαίηκες δολιχήρετμοι, ναυσίκλυτοι ἄνδρες.
the-Phaeacians long-oared ship-famed men
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
thus and one would-say looking at near another
“ Ὤ μοι, τίς δὴ νῆα θοὴν ἐπέδησ᾽ ἐνὶ πόντῳ
Ah me who indeed the-ship swift has-fettered on the-sea
οἴκαδ᾽ ἐλαυνομένην; καὶ δὴ προὐφαίνετο πᾶσα.”
home being-driven and indeed she-was-appearing all
Ὣς ἄρα τις εἴπεσκε· τὰ δ᾽ οὐκ ἴσαν ὡς ἐτέτυκτο.
So then one would-say these-things but not they-knew how it-had-come-about
τοῖσιν δ᾽ Ἀλκίνοος ἀγορήσατο καὶ μετέειπεν·
to-them and Alcinous addressed-the-assembly and spoke-among(-them)
“ Ὤ πόποι, ἦ μάλα δή με παλαίφατα θέσφαθ᾽ ἱκάνει
Oh for-shame truly very indeed me old-spoken prophecies come-upon
πατρὸς ἐμοῦ, ὃς ἔφασκε Ποσειδάων᾽ ἀγάσασθαι
of-father my who said Poseidon to-be-angry
ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονές εἰμεν ἁπάντων.
with-us because escorts safe we-are of-all
φῇ ποτὲ Φαιήκων ἀνδρῶν περικαλλέα νῆα,
he-said one-day of-the-Phaeacian men a-very-fair ship

ἐκ πομπῆς ἀνιοῦσαν, ἐν ἠεροειδέϊ πόντῳ
from escort returning in the-misty sea
ῥαισέμεναι, μέγα δ' ἦμιν ὄρος πόλει ἀμφικαλύψειν.
he-would-smite great and for-us a-mountain round-the-city would-put
ὣς ἀγόρευ' ὁ γέρων· τὰ δὲ δὴ νῦν πάντα τελεῖται.
so spoke the old-man these-things and indeed now all are-being-fulfilled
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
but come as — I say let-us-obey all
πομπῆς μὲν παύσασθε βροτῶν, ὅτε κέν τις ἵκηται
from-escort indeed cease of-mortals when — any comes
ἡμέτερον προτὶ ἄστυ· Ποσειδάωνι δὲ ταύρους
our to town to-Poseidon and bulls
δώδεκα κεκριμένους ἱερεύσομεν, αἴ κ' ἐλεήσῃ,
twelve chosen let-us-sacrifice if — he-may-pity(-us)
μηδ' ἡμῖν περίμηκες ὄρος πόλει ἀμφικαλύψῃ."
nor for-us very-long a-mountain round-the-city may-be-put

XIII.4 · ODYSSEUS WAKES IN ITHACA

Odysseus wakes inside a mist that Athena has poured around him and does not know his own country. He curses the Phaeacians and counts his gifts. Athena comes to him as a young shepherd and tells him the land is Ithaca. Glad but guarded, he invents a story: he is a Cretan who killed a son of Idomeneus and fled, and Phoenician sailors set him down here.

Ὣς ἔφαθ', οἱ δ' ἔδεισαν, ἑτοιμάσσαντο δὲ ταύρους.
So he-spoke they and feared made-ready and the-bulls
ὣς οἱ μέν ῥ' εὔχοντο Ποσειδάωνι ἄνακτι
so they indeed then prayed to-Poseidon lord
δήμου Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
of-the-land of-the-Phaeacians leaders and rulers

ἑσταότες περὶ βωμόν. ὁ δ' ἔγρετο δῖος Ὀδυσσεὺς
standing around the-altar he and woke noble Odysseus
εὕδων ἐν γαίῃ πατρωΐῃ, οὐδέ μιν ἔγνω,
sleeping in land native nor it he-knew
ἤδη δὴν ἀπεών· περὶ γὰρ θεὸς ἠέρα χεῦε
already long being-away around for a-goddess a-mist poured
Παλλὰς Ἀθηναίη, κούρη Διός, ὄφρα μιν αὐτὸν
Pallas Athena daughter of-Zeus so-that him himself
ἄγνωστον τεύξειεν ἕκαστά τε μυθήσαιτο,
unrecognizable she-might-make each-thing and might-tell(-him)
μή μιν πρὶν ἄλοχος γνοίη ἀστοί τε φίλοι τε,
lest him before wife should-know townsmen both friends and
πρὶν πᾶσαν μνηστῆρας ὑπερβασίην ἀποτῖσαι.
before all the-suitors' transgression to-pay
τοὔνεκ' ἄρ' ἀλλοειδέα φαινέσκετο πάντα ἄνακτι,
therefore then of-other-form appeared all-things to-the-lord
ἀτραπιτοί τε διηνεκέες λιμένες τε πάνορμοι
paths both continuous harbors and for-mooring
πέτραι τ' ἠλίβατοι καὶ δένδρεα τηλεθόωντα.
rocks and sheer and trees flourishing
στῆ δ' ἄρ' ἀναΐξας καί ῥ' εἴσιδε πατρίδα γαῖαν·
he-stood and then springing-up and then looked-at native land
ᾤμωξέν τ' ἄρ' ἔπειτα καὶ ὦ πεπλήγετο μηρὼ
groaned and then then and his struck thighs
χερσὶ καταπρηνέσσ', ὀλοφυρόμενος δ' ἔπος ηὔδα·
with-hands flat lamenting and word spoke
" Ὤ μοι ἐγώ, τέων αὖτε βροτῶν ἐς γαῖαν ἱκάνω;
Ah me I of-what in-turn mortals to land have-I-come
ἦ ῥ' οἵ γ' ὑβρισταί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι,
truly then they indeed insolent both and savage nor just

ἦε φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής;
or hospitable and their mind is god-fearing
πῇ δὴ χρήματα πολλὰ φέρω τάδε; πῇ τε καὶ αὐτὸς
where indeed goods many am-I-carrying these where and also myself
πλάζομαι; αἴθ' ὄφελον μεῖναι παρὰ Φαιήκεσσιν
am-I-wandering would-that I-ought to-have-stayed among the-Phaeacians
αὐτοῦ· ἐγὼ δέ κεν ἄλλον ὑπερμενέων βασιλήων
there I and — another of-mighty kings
ἐξικόμην, ὅς κέν μ' ἐφίλει καὶ ἔπεμπε νέεσθαι.
would-have-reached who — me would-have-loved and sent to-return
νῦν δ' οὔτ' ἄρ πῃ θέσθαι ἐπίσταμαι, οὐδὲ μὲν αὐτοῦ
now but neither then anywhere to-put(-them) do-I-know nor indeed here
καλλείψω, μή πώς μοι ἕλωρ ἄλλοισι γένηται.
I-will-leave(-them) lest somehow for-me a-prey to-others they-become
ὦ πόποι, οὐκ ἄρα πάντα νοήμονες οὐδὲ δίκαιοι
Oh for-shame not then all wise nor just
ἦσαν Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
were of-the-Phaeacians leaders and rulers
οἵ μ' εἰς ἄλλην γαῖαν ἀπήγαγον, ἦ τέ μ' ἔφαντο
who me to another land carried-away truly — me they-said
ἄξειν εἰς Ἰθάκην εὐδείελον, οὐδ' ἐτέλεσσαν.
would-bring to Ithaca clear-seen nor they-accomplished(-it)
Ζεὺς σφέας τίσαιτο ἱκετήσιος, ὅς τε καὶ ἄλλους
Zeus them may-punish of-suppliants who — also other
ἀνθρώπους ἐφορᾷ καὶ τίνυται ὅς τις ἁμάρτῃ.
men oversees and punishes who any transgresses
ἀλλ' ἄγε δὴ τὰ χρήματ' ἀριθμήσω καὶ ἴδωμαι,
but come indeed the goods let-me-count and see
μή τί μοι οἴχωνται κοίλης ἐπὶ νηὸς ἄγοντες."
lest anything for-me they-have-gone hollow on ship taking

Ὣς εἰπὼν τρίποδας περικαλλέας ἠδὲ λέβητας
So having-spoken tripods very-fair and cauldrons
ἠρίθμει καὶ χρυσὸν ὑφαντά τε εἵματα καλά.
he-counted and gold woven and clothes fair
τῶν μὲν ἄρ᾽ οὔ τι πόθει· ὁ δ᾽ ὀδύρετο πατρίδα γαῖαν
of-them indeed then not at-all he-missed he but lamented native land
ἑρπύζων παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης,
creeping along the-shore of-the-loud-resounding sea
πόλλ᾽ ὀλοφυρόμενος. σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη,
much lamenting near and to-him came Athena
ἀνδρὶ δέμας εἰκυῖα νέῳ, ἐπιβώτορι μήλων,
to-a-man in-form like young a-herdsman of-sheep
παναπάλῳ, οἷοί τε ἀνάκτων παῖδες ἔασι,
very-delicate such-as — of-lords sons are
δίπτυχον ἀμφ᾽ ὤμοισιν ἔχουσ᾽ εὐεργέα λώπην·
double around shoulders having a-well-made mantle
ποσσὶ δ᾽ ὑπὸ λιπαροῖσι πέδιλ᾽ ἔχε, χερσὶ δ᾽ ἄκοντα.
feet and under shining sandals she-had in-hands and a-javelin
τὴν δ᾽ Ὀδυσεὺς γήθησεν ἰδὼν καὶ ἐναντίος ἦλθε,
her and Odysseus rejoiced seeing and to-meet(-her) came
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and her having-spoken words winged addressed
“ Ὦ φίλ᾽, ἐπεί σε πρῶτα κιχάνω τῷδ᾽ ἐνὶ χώρῳ,
O friend since you first I-meet this in place
χαῖρέ τε καὶ μή μοί τι κακῷ νόῳ ἀντιβολήσαις,
hail both and not to-me at-all with-evil mind may-you-meet
ἀλλὰ σάω μὲν ταῦτα, σάω δ᾽ ἐμέ· σοὶ γὰρ ἐγώ γε
but save indeed these-things save and me to-you for I indeed
εὔχομαι ὥς τε θεῷ καί σευ φίλα γούναθ᾽ ἱκάνω.
pray like — to-a-god and your dear knees I-come-to

καί μοι τοῦτ᾽ ἀγόρευσον ἐτήτυμον, ὄφρ᾽ ἐῢ εἰδῶ·
and to-me this tell truly so-that well I-may-know
τίς γῆ, τίς δῆμος, τίνες ἀνέρες ἐγγεγάασιν;
what land what people what men are-born-here
ἦ πού τις νήσων εὐδείελος, ἦέ τις ἀκτὴ
whether somewhere some of-the-islands clear-seen or some shore
κεῖθ᾽ ἁλὶ κεκλιμένη ἐριβώλακος ἠπείροιο;᾽᾽
lies on-the-sea leaning of-the-fertile mainland
Τὸν δ᾽ αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Him and in-turn addressed the-goddess flashing-eyed Athena
᾽᾽Νήπιός εἰς, ὦ ξεῖν᾽, ἢ τηλόθεν εἰλήλουθας,
Foolish you-are O stranger or from-afar have-come
εἰ δὴ τήνδε τε γαῖαν ἀνείρεαι. οὐδέ τι λίην
if indeed this — land you-ask nor at-all very
οὕτω νώνυμός ἐστιν· ἴσασι δέ μιν μάλα πολλοί,
so nameless it-is know and it very many
ἠμὲν ὅσοι ναίουσι πρὸς ἠῶ τ᾽ ἠέλιόν τε,
both as-many-as dwell toward dawn both sun and
ἠδ᾽ ὅσσοι μετόπισθε ποτὶ ζόφον ἠερόεντα.
and as-many-as behind toward gloom misty
ἦ τοι μὲν τρηχεῖα καὶ οὐχ ἱππήλατός ἐστιν,
truly indeed indeed rugged and not for-driving-horses it-is
οὐδὲ λίην λυπρή, ἀτὰρ οὐδ᾽ εὐρεῖα τέτυκται.
nor very poor but nor broad is-it-made
ἐν μὲν γάρ οἱ σῖτος ἀθέσφατος, ἐν δέ τε οἶνος
in indeed for for-it grain unspeakable in and — wine
γίγνεται· αἰεὶ δ᾽ ὄμβρος ἔχει τεθαλυῖά τ᾽ ἐέρση·
grows always and rain holds(-it) flourishing and dew

αἰγίβοτος δ' ἀγαθὴ καὶ βούβοτος· ἔστι μὲν ὕλη
goat-pasturing and good and cattle-pasturing is indeed wood
παντοίη, ἐν δ' ἀρδμοὶ ἐπηετανοὶ παρέασι.
of-all-kinds in and watering-places all-year-round are-at-hand
τῷ τοι, ξεῖν', Ἰθάκης γε καὶ ἐς Τροίην ὄνομ' ἵκει,
therefore you-know stranger of-Ithaca indeed even to Troy the-name reaches
τήν περ τηλοῦ φασὶν Ἀχαιΐδος ἔμμεναι αἴης."
which indeed far-off they-say from-Achaean to-be land
Ὣς φάτο, γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,
So she-spoke rejoiced and much-enduring noble Odysseus
χαίρων ᾗ γαίῃ πατρωΐῃ, ὥς οἱ ἔειπε
rejoicing in-his-own land native as to-him spoke
Παλλὰς Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο·
Pallas Athena daughter of-Zeus aegis-bearing
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and her having-spoken words winged addressed
οὐδ' ὅ γ' ἀληθέα εἶπε, πάλιν δ' ὅ γε λάζετο μῦθον,
nor he indeed truth spoke back but he indeed checked the-word
αἰεὶ ἐνὶ στήθεσσι νόον πολυκερδέα νωμῶν·
always in breast mind of-much-craft plying
"Πυνθανόμην Ἰθάκης γε καὶ ἐν Κρήτῃ εὐρείῃ,
I-heard-of Ithaca indeed even in Crete broad
τηλοῦ ὑπὲρ πόντου· νῦν δ' εἰλήλουθα καὶ αὐτὸς
far over the-sea now and I-have-come also myself
χρήμασι σὺν τοίσδεσσι· λιπὼν δ' ἔτι παισὶ τοσαῦτα
goods with these leaving and still to-children so-many
φεύγω, ἐπεὶ φίλον υἱα κατέκτανον Ἰδομενῆος,
I-flee since dear son I-killed of-Idomeneus

Ὀρσίλοχον πόδας ὠκύν, ὃς ἐν Κρήτῃ εὐρείῃ
Orsilochus in-feet swift who in Crete broad
ἀνέρας ἀλφηστὰς νίκα ταχέεσσι πόδεσσιν,
men toiling surpassed in-swift feet
οὕνεκά με στερέσαι τῆς ληΐδος ἤθελε πάσης
because me to-rob of-the spoil he-wished all
Τρωϊάδος, τῆς εἵνεκ᾽ ἐγὼ πάθον ἄλγεα θυμῷ,
Trojan which for-the-sake-of I suffered pains in-heart
ἀνδρῶν τε πτολέμους ἀλεγεινά τε κύματα πείρων,
of-men both wars grievous and waves passing-through
οὕνεκ᾽ ἄρ᾽ οὐχ ᾧ πατρὶ χαριζόμενος θεράπευον
because then not to-his father showing-favor I-served
δήμῳ ἔνι Τρώων, ἀλλ᾽ ἄλλων ἦρχον ἑταίρων.
the-land in of-the-Trojans but other I-led comrades
τὸν μὲν ἐγὼ κατιόντα βάλον χαλκήρεϊ δουρὶ
him indeed I coming-down struck with-bronze-tipped spear
ἀγρόθεν, ἐγγὺς ὁδοῖο λοχησάμενος σὺν ἑταίρῳ·
from-the-field near the-road lying-in-wait with a-comrade
νὺξ δὲ μάλα δνοφερὴ κάτεχ᾽ οὐρανόν, οὐδέ τις ἡμέας
night and very dark held heaven nor any us
ἀνθρώπων ἐνόησε, λάθον δέ ἑ θυμὸν ἀπούρας.
of-men noticed I-was-unseen and him of-life I-robbed
αὐτὰρ ἐπεὶ δὴ τόν γε κατέκτανον ὀξέϊ χαλκῷ,
but when indeed him indeed I-had-slain with-sharp bronze
αὐτίκ᾽ ἐγὼν ἐπὶ νῆα κιὼν Φοίνικας ἀγαυοὺς
at-once I to the-ship going the-Phoenicians lordly
ἐλλισάμην, καί σφιν μενοεικέα ληΐδα δῶκα·
entreated and to-them satisfying spoil gave

τούς μ' ἐκέλευσα Πύλονδε καταστῆσαι καὶ ἐφέσσαι
them me I-bade to-Pylos to-set-down and to-put-ashore
ἢ εἰς Ἤλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί.
or to Elis bright where rule the-Epeians
ἀλλ' ἦ τοι σφέας κεῖθεν ἀπώσατο ἶς ἀνέμοιο
but truly indeed them thence thrust-away the-might of-the-wind
πόλλ' ἀεκαζομένους, οὐδ' ἤθελον ἐξαπατῆσαι.
much against-their-will nor did-they-wish to-deceive(-me)
κεῖθεν δὲ πλαγχθέντες ἱκάνομεν ἐνθάδε νυκτός.
thence and driven-astray we-came here by-night
σπουδῇ δ' ἐς λιμένα προερέσσαμεν, οὐδέ τις ἡμῖν
with-effort and into the-harbor we-rowed nor any for-us
δόρπου μνῆστις ἔην, μάλα περ χατέουσιν ἐλέσθαι,
of-supper thought was very though needing to-take(-it)
ἀλλ' αὕτως ἀποβάντες ἐκείμεθα νηὸς ἄπαντες.
but just-so going-ashore we-lay from-the-ship all
ἔνθ' ἐμὲ μὲν γλυκὺς ὕπνος ἐπήλυθε κεκμηῶτα,
there me indeed sweet sleep came-upon worn-out
οἱ δὲ χρήματ' ἐμὰ γλαφυρῆς ἐκ νηὸς ἑλόντες
they and goods my hollow from ship taking
κάτθεσαν, ἔνθα περ αὐτὸς ἐπὶ ψαμάθοισιν ἐκείμην.
set(-them)-down where indeed myself on the-sands lay
οἱ δ' ἐς Σιδονίην εὖ ναιομένην ἀναβάντες
they and to Sidonia well inhabited embarking
ᾤχοντ'· αὐτὰρ ἐγὼ λιπόμην ἀκαχήμενος ἦτορ."
went but I was-left grieved at-heart

Athena smiles, takes the form of a tall woman, and praises his cunning as a match for her own. She has stood by him always, she says, and has come to hide his treasure and plan with him. Odysseus reproaches her for leaving him after Troy and doubts he is home. She shows him the harbor, the cave, and Mount Neriton, and he kisses the earth and prays to the nymphs.

Ὣς φάτο, μείδησεν δὲ θεὰ γλαυκῶπις Ἀθήνη,
So he-spoke smiled and the-goddess flashing-eyed Athena
χειρί τέ μιν κατέρεξε· δέμας δ' ἤϊκτο γυναικὶ
with-hand and him stroked in-form and was-like to-a-woman
καλῇ τε μεγάλῃ τε καὶ ἀγλαὰ ἔργα ἰδυίῃ·
fair both tall and also glorious works knowing
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
"Κερδαλέος κ' εἴη καὶ ἐπίκλοπος ὅς σε παρέλθοι
Crafty — would-be and wily who you should-surpass
ἐν πάντεσσι δόλοισι, καὶ εἰ θεὸς ἀντιάσειε.
in all wiles even if a-god should-meet(-you)
σχέτλιε, ποικιλομῆτα, δόλων ἆτ', οὐκ ἄρ' ἔμελλες,
bold-one of-subtle-counsel of-wiles insatiate not then were-you-to
οὐδ' ἐν σῇ περ ἐὼν γαίῃ, λήξειν ἀπατάων
not-even in your though being land to-cease from-deceits
μύθων τε κλοπίων, οἵ τοι πεδόθεν φίλοι εἰσίν.
tales and thievish which to-you from-the-ground-up dear are

ἀλλ᾽ ἄγε, μηκέτι ταῦτα λεγώμεθα, εἰδότες ἄμφω
but come no-longer these-things let-us-speak-of knowing both
κέρδε᾽, ἐπεὶ σὺ μέν ἐσσι βροτῶν ὄχ᾽ ἄριστος ἁπάντων
craft since you indeed are of-mortals by-far best of-all
βουλῇ καὶ μύθοισιν, ἐγὼ δ᾽ ἐν πᾶσι θεοῖσι
in-counsel and in-words I and among all gods
μήτι τε κλέομαι καὶ κέρδεσιν· οὐδὲ σύ γ᾽ ἔγνως
for-wit both am-famed and craft nor you indeed knew
Παλλάδ᾽ Ἀθηναίην, κούρην Διός, ἥ τέ τοι αἰεὶ
Pallas Athena daughter of-Zeus who — you always
ἐν πάντεσσι πόνοισι παρίσταμαι ἠδὲ φυλάσσω,
in all toils stand-by and guard
καὶ δέ σε Φαιήκεσσι φίλον πάντεσσιν ἔθηκα.
and also you to-the-Phaeacians dear to-all made
νῦν αὖ δεῦρ᾽ ἰκόμην, ἵνα τοι σὺν μῆτιν ὑφήνω
now in-turn hither I-came so-that for-you with counsel I-may-weave
χρήματά τε κρύψω, ὅσα τοι Φαίηκες ἀγαυοὶ
goods and hide as-many-as to-you the-Phaeacians lordly
ὤπασαν οἴκαδ᾽ ἰόντι ἐμῇ βουλῇ τε νόῳ τε,
gave home going by-my counsel both mind and
εἴπω θ᾽ ὅσσα τοι αἶσα δόμοις ἔνι ποιητοῖσι
may-tell and as-many-as for-you fate house in well-built
κήδε᾽ ἀνασχέσθαι· σὺ δὲ τετλάμεναι καὶ ἀνάγκῃ,
troubles to-endure you and endure even by-necessity
μηδέ τῳ ἐκφάσθαι μήτ᾽ ἀνδρῶν μήτε γυναικῶν,
nor to-any to-tell neither of-men nor of-women
πάντων, οὕνεκ᾽ ἄρ᾽ ἦλθες ἀλώμενος, ἀλλὰ σιωπῇ
of-all that then you-came wandering but in-silence
πάσχειν ἄλγεα πολλά, βίας ὑποδέγμενος ἀνδρῶν.”
suffer pains many violence submitting-to of-men

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Her and answering addressed of-many-wiles Odysseus
" Ἀργαλέον σε, θεά, γνῶναι βροτῷ ἀντιάσαντι,
Hard you goddess to-know for-a-mortal meeting(-you)
καὶ μάλ' ἐπισταμένῳ· σὲ γὰρ αὐτὴν παντὶ ἐΐσκεις.
even very knowing you for yourself in-every(-shape) liken
τοῦτο δ' ἐγὼν εὖ οἶδ', ὅτι μοι πάρος ἠπίη ἦσθα,
this but I well know that to-me before kind you-were
ἦος ἐνὶ Τροίῃ πολεμίζομεν υἷες Ἀχαιῶν.
while in Troy we-warred sons of-the-Achaeans
αὐτὰρ ἐπεὶ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπήν,
but when of-Priam the-city we-had-sacked steep
βῆμεν δ' ἐν νήεσσι, θεὸς δ' ἐκέδασσεν Ἀχαιούς,
we-went and in ships the-god and scattered the-Achaeans
οὔ σέ γ' ἔπειτα ἴδον, κούρη Διός, οὐδ' ἐνόησα
not you indeed thereafter I-saw daughter of-Zeus nor noticed
νηὸς ἐμῆς ἐπιβᾶσαν, ὅπως τί μοι ἄλγος ἀλάλκοις.
ship my setting-foot-on so-that any to-me pain you-might-ward-off
ἀλλ' αἰεὶ φρεσὶν ἦσιν ἔχων δεδαϊγμένον ἦτορ
but always in-mind my having torn heart
ἠλώμην, ἧός με θεοὶ κακότητος ἔλυσαν·
I-wandered until me the-gods from-misery released
πρίν γ' ὅτε Φαιήκων ἀνδρῶν ἐν πίονι δήμῳ
before indeed when of-the-Phaeacian men in rich land
θάρσυνάς τε ἔπεσσι καὶ ἐς πόλιν ἤγαγες αὐτή.
you-encouraged both with-words and to the-city led(-me) yourself

νῦν δέ σε πρὸς πατρὸς γουνάζομαι — οὐ γὰρ ὀΐω
now and you by father I-entreat not for I-think
ἥκειν εἰς Ἰθάκην εὐδείελον, ἀλλά τιν' ἄλλην
to-have-come to Ithaca clear-seen but some other
γαῖαν ἀναστρέφομαι· σὲ δὲ κερτομέουσαν ὀΐω
land I-roam-about you and mocking I-think
ταῦτ' ἀγορευέμεναι, ἵν' ἐμὰς φρένας ἠπεροπεύσῃς —
these-things to-say so-that my mind you-may-deceive
εἰπέ μοι εἰ ἐτεόν γε φίλην ἐς πατρίδ' ἱκάνω."
tell me if truly indeed dear to native-land I-have-come
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
Him and answered then the-goddess flashing-eyed Athena
"Αἰεί τοι τοιοῦτον ἐνὶ στήθεσσι νόημα·
Always you-know such in breast thought
τῷ σε καὶ οὐ δύναμαι προλιπεῖν δύστηνον ἐόντα,
therefore you also not am-I-able to-forsake wretched being
οὕνεκ' ἐπητής ἐσσι καὶ ἀγχίνοος καὶ ἐχέφρων.
because sensible you-are and quick-witted and prudent
ἀσπασίως γάρ κ' ἄλλος ἀνὴρ ἀλαλήμενος ἐλθὼν
gladly for — another man having-wandered coming
ἵετ' ἐνὶ μεγάροις ἰδέειν παῖδάς τ' ἄλοχόν τε·
would-hasten in halls to-see children both wife and
σοὶ δ' οὔ πω φίλον ἐστὶ δαήμεναι οὐδὲ πυθέσθαι,
to-you but not yet dear is-it to-learn nor to-inquire
πρίν γ' ἔτι σῆς ἀλόχου πειρήσεαι, ἥ τέ τοι αὔτως
before indeed still your wife you-test who — you-know just-so
ἧσται ἐνὶ μεγάροισιν, ὀϊζυραὶ δέ οἱ αἰεὶ
sits in the-halls woeful and for-her always
φθίνουσιν νύκτες τε καὶ ἤματα δάκρυ χεούσῃ.
waste-away nights both and days tear shedding

αὐτὰρ ἐγὼ τὸ μὲν οὔ ποτ' ἀπίστεον, ἀλλ' ἐνὶ θυμῷ
but I this indeed not ever doubted but in heart
ᾔδε', ὃ νοστήσεις ὀλέσας ἄπο πάντας ἑταίρους·
knew that you-will-return having-lost — all comrades
ἀλλά τοι οὐκ ἐθέλησα Ποσειδάωνι μάχεσθαι
but you-know not I-wished with-Poseidon to-fight
πατροκασιγνήτῳ, ὅς τοι κότον ἔνθετο θυμῷ,
my-father's-brother who against-you wrath laid-up in-heart
χωόμενος ὅτι οἱ υἱὸν φίλον ἐξαλάωσας.
angered that his son dear you-blinded
ἀλλ' ἄγε τοι δείξω Ἰθάκης ἕδος, ὄφρα πεποίθῃς.
but come to-you I-will-show of-Ithaca the-site so-that you-may-be-convinced
Φόρκυνος μὲν ὅδ' ἐστὶ λιμήν, ἁλίοιο γέροντος,
of-Phorcys indeed this is harbor of-the-sea of-the-old-man
ἥδε δ' ἐπὶ κρατὸς λιμένος τανύφυλλος ἐλαίη·
this and at the-head of-the-harbor long-leafed olive
ἀγχόθι δ' αὐτῆς ἄντρον ἐπήρατον ἠεροειδές,
near and it a-cave lovely misty
ἱρὸν νυμφάων, αἳ νηϊάδες καλέονται·
sacred of-the-nymphs who Naiads are-called
τοῦτο δέ τοι σπέος ἐστὶ κατηρεφές, ἔνθα σὺ πολλὰς
this and you-know cave is roofed where you many
ἔρδεσκες νύμφῃσι τελήεσσας ἑκατόμβας·
used-to-offer to-the-nymphs perfect hecatombs
τοῦτο δὲ Νήριτόν ἐστιν ὄρος καταειμένον ὕλῃ."
this and Neriton is the-mountain clothed with-wood
Ὣς εἰποῦσα θεὰ σκέδασ' ἠέρα, εἵσατο δὲ χθών·
So having-spoken the-goddess scattered the-mist was-seen and the-land
γήθησέν τ' ἄρ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς,
rejoiced and then then much-enduring noble Odysseus

χαίρων ἦ γαίῃ, κύσε δὲ ζείδωρον ἄρουραν.
rejoicing in-his-own land kissed and the-grain-giving earth
αὐτίκα δὲ νύμφῃς ἠρήσατο, χεῖρας ἀνασχών·
at-once and to-the-nymphs prayed hands lifting-up
"Νύμφαι νηϊάδες, κοῦραι Διός, οὔ ποτ' ἐγώ γε
Nymphs Naiads daughters of-Zeus not ever I indeed
ὄψεσθ' ὔμμ' ἐφάμην· νῦν δ' εὐχωλῇς ἀγανῇσι
would-see you I-said now and with-prayers gentle
χαίρετ'· ἀτὰρ καὶ δῶρα διδώσομεν, ὡς τὸ πάρος περ,
hail but also gifts we-will-give as the before indeed
αἴ κεν ἐᾷ πρόφρων με Διὸς θυγάτηρ ἀγελείη
if — lets kindly me of-Zeus the-daughter driver-of-spoil
αὐτόν τε ζώειν καί μοι φίλον υἱὸν ἀέξῃ."
myself both to-live and to-me dear son makes-grow

XIII.6 · ODYSSEUS DISGUISED

They hide the treasure in the cave and plot the suitors' death. Athena tells Odysseus to go first to the loyal swineherd while she fetches Telemachus from Sparta; young men lie in wait to kill him before he reaches home. She withers his skin, takes his hair, and dresses him as an old beggar, then leaves for Lacedaemon.

Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Him and in-turn addressed the-goddess flashing-eyed Athena
"Θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
Take-heart not to-you these-things in mind your let-be-of-concern

ἀλλὰ χρήματα μὲν μυχῷ ἄντρου θεσπεσίοιο
but the-goods indeed in-the-recess of-the-cave wondrous
θείομεν αὐτίκα νῦν, ἵνα περ τάδε τοι σόα μίμνῃ·
let-us-put at-once now so-that indeed these-things for-you safe may-remain
αὐτοὶ δὲ φραζώμεθ' ὅπως ὄχ' ἄριστα γένηται."
ourselves and let-us-consider how by-far best it-may-be
Ὣς εἰποῦσα θεὰ δῦνε σπέος ἠεροειδές,
So having-spoken the-goddess entered the-cave misty
μαιομένη κευθμῶνας ἀνὰ σπέος· αὐτὰρ Ὀδυσσεὺς
searching-out hiding-places through the-cave but Odysseus
ἆσσον πάντ' ἐφόρει, χρυσὸν καὶ ἀτειρέα χαλκὸν
nearer all brought gold and unwearying bronze
εἵματά τ' εὐποίητα, τά οἱ Φαίηκες ἔδωκαν.
clothes and well-made which to-him the-Phaeacians gave
καὶ τὰ μὲν εὖ κατέθηκε, λίθον δ' ἐπέθηκε θύρῃσι
and them indeed well he-laid-away a-stone and put-on the-doors
Παλλὰς Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο.
Pallas Athena daughter of-Zeus aegis-bearing
τὼ δὲ καθεζομένω ἱερῆς παρὰ πυθμέν' ἐλαίης
they-two and sitting of-the-sacred by the-trunk of-the-olive
φραζέσθην μνηστῆρσιν ὑπερφιάλοισιν ὄλεθρον.
devised for-the-suitors overbearing destruction
τοῖσι δὲ μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη·
to-them and of-speeches began the-goddess flashing-eyed Athena
"Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Zeus-born son-of-Laertes of-many-devices Odysseus
φράζευ ὅπως μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσεις,
consider how on-the-suitors shameless hands you-will-lay
οἳ δή τοι τρίετες μέγαρον κάτα κοιρανέουσι,
who indeed your for-three-years the-hall throughout lord-it

μνώμενοι ἀντιθέην ἄλοχον καὶ ἕδνα διδόντες·
wooing godlike wife and wedding-gifts giving
ἡ δὲ σὸν αἰεὶ νόστον ὀδυρομένη κατὰ θυμὸν
she and your always return lamenting in heart
πάντας μέν ῥ' ἔλπει καὶ ὑπίσχεται ἀνδρὶ ἑκάστῳ,
all indeed then she-gives-hope and promises to-man each
ἀγγελίας προϊεῖσα, νόος δέ οἱ ἄλλα μενοινᾷ."
messages sending-forth mind but her other-things purposes
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Her and answering addressed of-many-wiles Odysseus
"Ὢ πόποι, ἦ μάλα δὴ Ἀγαμέμνονος Ἀτρεΐδαο
Oh for-shame truly very indeed of-Agamemnon son-of-Atreus
φθίσεσθαι κακὸν οἶτον ἐνὶ μεγάροισιν ἔμελλον,
to-perish evil doom in the-halls I-was-about
εἰ μή μοι σὺ ἕκαστα, θεά, κατὰ μοῖραν ἔειπες.
if not to-me you each-thing goddess according-to due had-told
ἀλλ' ἄγε μῆτιν ὕφηνον, ὅπως ἀποτίσομαι αὐτούς·
but come counsel weave how I-shall-take-vengeance-on them
πὰρ δέ μοι αὐτὴ στῆθι, μένος πολυθαρσὲς ἐνεῖσα,
by and me yourself stand courage all-daring putting-in
οἷον ὅτε Τροίης λύομεν λιπαρὰ κρήδεμνα.
such-as when of-Troy we-loosed the-bright headbands
αἴ κέ μοι ὣς μεμαυῖα παρασταίης, γλαυκῶπι,
if — me thus eager you-would-stand-by flashing-eyed-one
καί κε τριηκοσίοισιν ἐγὼν ἄνδρεσσι μαχοίμην
even — against-three-hundred I men would-fight
σὺν σοί, πότνα θεά, ὅτε μοι πρόφρασσ' ἐπαρήγοις."
with you queenly goddess when to-me kindly you-would-help

Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
Him and answered then the-goddess flashing-eyed Athena
"Καὶ λίην τοι ἐγώ γε παρέσσομαι, οὐδέ με λήσεις,
Yes surely to-you I indeed will-be-present nor me will-you-escape
ὁππότε κεν δὴ ταῦτα πενώμεθα· καί τιν' ὀΐω
when — indeed these-things we-are-busy-with and some I-think
395 αἵματί τ' ἐγκεφάλῳ τε παλαξέμεν ἄσπετον οὖδας
with-blood both brain and to-spatter the-boundless floor
ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.
of-men suitors who your livelihood devour
ἀλλ' ἄγε σ' ἄγνωστον τεύξω πάντεσσι βροτοῖσι·
but come you unrecognizable I-will-make to-all mortals
κάρψω μὲν χρόα καλὸν ἐνὶ γναμπτοῖσι μέλεσσι,
I-will-wither indeed the-skin fair on supple limbs
ξανθὰς δ' ἐκ κεφαλῆς ὀλέσω τρίχας, ἀμφὶ δὲ λαῖφος
fair and from head I-will-destroy the-hair around and a-rag
400 ἕσσω ὅ κε στυγέῃσιν ἰδὼν ἄνθρωπον ἔχοντα,
I-will-put-on which — would-loathe seeing a-man having(-it)
κνυζώσω δέ τοι ὄσσε πάρος περικαλλὲ ἐόντε,
I-will-dim and your two-eyes before very-fair being
ὡς ἂν ἀεικέλιος πᾶσι μνηστῆρσι φανήῃς
so-that — unseemly to-all the-suitors you-may-appear
σῇ τ' ἀλόχῳ καὶ παιδί, τὸν ἐν μεγάροισιν ἔλειπες.
to-your and wife and child whom in the-halls you-left
αὐτὸς δὲ πρώτιστα συβώτην εἰσαφικέσθαι,
yourself and first-of-all the-swineherd go-to
405 ὅς τοι ὑῶν ἐπίουρος, ὁμῶς δέ τοι ἤπια οἶδε,
who your of-the-swine keeper alike and to-you kind-things knows
παῖδά τε σὸν φιλέει καὶ ἐχέφρονα Πηνελόπειαν.
child both your loves and sensible Penelope

δήεις τόν γε σύεσσι παρήμενον· αἱ δὲ νέμονται
you-will-find him indeed by-the-swine sitting they and feed
πὰρ Κόρακος πέτρῃ ἐπί τε κρήνῃ Ἀρεθούσῃ,
by of-Corax the-rock at and spring Arethusa
ἔσθουσαι βάλανον μενοεικέα καὶ μέλαν ὕδωρ
eating acorns satisfying and black water
πίνουσαι, τά θ' ὕεσσι τρέφει τεθαλυῖαν ἀλοιφήν.
drinking which — for-swine nourish flourishing fat
ἔνθα μένειν καὶ πάντα παρήμενος ἐξερέεσθαι,
there to-stay and all sitting-beside(-him) to-question
ὄφρ' ἂν ἐγὼν ἔλθω Σπάρτην ἐς καλλιγύναικα
while — I go Sparta to of-fair-women
Τηλέμαχον καλέουσα, τεὸν φίλον υἱόν, Ὀδυσσεῦ·
Telemachus calling your dear son Odysseus
ὅς τοι ἐς εὐρύχορον Λακεδαίμονα πὰρ Μενέλαον
who to-you to spacious Lacedaemon to Menelaus
ᾤχετο πευσόμενος μετὰ σὸν κλέος, εἴ που ἔτ' εἴης."
went to-inquire after your fame if somewhere still you-were

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Her and answering addressed of-many-wiles Odysseus
"Τίπτε τ' ἄρ' οὔ οἱ ἔειπες, ἐνὶ φρεσὶ πάντα ἰδυῖα;
Why — then not to-him you-told in mind all knowing
ἦ ἵνα που καὶ κεῖνος ἀλώμενος ἄλγεα πάσχῃ
was-it so-that somehow also he wandering pains should-suffer
πόντον ἐπ' ἀτρύγετον· βίοτον δέ οἱ ἄλλοι ἔδουσι;"
the-sea over barren the-livelihood and his others eat

Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
Him and answered then the-goddess flashing-eyed Athena
"Μὴ δή τοι κεῖνός γε λίην ἐνθύμιος ἔστω.
Not indeed you-know he indeed too-much in-mind let-be

αὐτή μιν πόμπευον, ἵνα κλέος ἐσθλὸν ἄροιτο
I-myself him escorted so-that fame good he-might-win
κεῖσ' ἐλθών· ἀτὰρ οὔ τιν' ἔχει πόνον, ἀλλὰ ἔκηλος
thither going but not any has toil but at-ease
ἧσται ἐν Ἀτρεΐδαο δόμοις, παρὰ δ' ἄσπετα κεῖται.
sits in of-the-son-of-Atreus the-house beside and boundless-things lie
ἦ μέν μιν λοχόωσι νέοι σὺν νηΐ μελαίνῃ,
truly indeed him lie-in-wait-for young-men with ship black
ἱέμενοι κτεῖναι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι·
eager to-kill(-him) before native land to-reach
ἀλλὰ τά γ' οὐκ ὀΐω, πρὶν καί τινα γαῖα καθέξει
but these-things indeed not I-think before even some the-earth will-hold
ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν."
of-men suitors who your livelihood devour
Ὣς ἄρα μιν φαμένη ῥάβδῳ ἐπεμάσσατ' Ἀθήνη.
So then him speaking with-a-wand touched Athena
κάρψεν μὲν χρόα καλὸν ἐνὶ γναμπτοῖσι μέλεσσι,
withered indeed the-skin fair on supple limbs
ξανθὰς δ' ἐκ κεφαλῆς ὄλεσε τρίχας, ἀμφὶ δὲ δέρμα
fair and from head destroyed the-hair around and a-skin
πάντεσσιν μελέεσσι παλαιοῦ θῆκε γέροντος,
on-all limbs of-an-old old-man she-put
κνύζωσεν δέ οἱ ὄσσε πάρος περικαλλέ' ἐόντε·
dimmed and his two-eyes before very-fair being
ἀμφὶ δέ μιν ῥάκος ἄλλο κακὸν βάλεν ἠδὲ χιτῶνα,
around and him a-rag other evil cast and a-tunic
ῥωγαλέα ῥυπόωντα, κακῷ μεμορυγμένα καπνῷ·
ragged filthy with-evil grimed smoke
ἀμφὶ δέ μιν μέγα δέρμα ταχείης ἔσσ' ἐλάφοιο,
around and him great skin of-a-swift she-put-on deer

ψιλόν· δῶκε δέ οἱ σκῆπτρον καὶ ἀεικέα πήρην,
bare(-of-hair) gave and to-him a-staff and unseemly wallet
πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ.
thickly ragged in and a-cord was for-a-strap
Τώ γ' ὣς βουλεύσαντε διέτμαγεν. ἡ μὲν ἔπειτα
They-two indeed so having-planned parted she indeed then
ἐς Λακεδαίμονα δῖαν ἔβη μετὰ παῖδ' Ὀδυσῆος. 440
to Lacedaemon bright went after the-son of-Odysseus

BOOK XIV

XIV.1 · THE SWINEHERD'S FARM

Odysseus climbs from the harbor to the farm of Eumaeus, the swineherd, who has built a great walled yard with twelve sties for his absent master's herds. The dogs rush at the stranger, and Odysseus sits down; Eumaeus drives them off with stones. He laments that he raises fat swine for others while his master wanders hungry, if he lives, and invites the old man in to eat.

Αὐτὰρ ὁ ἐκ λιμένος προσέβη τρηχεῖαν ἀταρπὸν
But he from the-harbor went-up rugged path
χῶρον ἀν' ὑλήεντα δι' ἄκριας, ᾗ οἱ Ἀθήνη
place through wooded along the-heights where to-him Athena
πέφραδε δῖον ὑφορβόν, ὅ οἱ βιότοιο μάλιστα
showed the-noble swineherd who for-him of-the-livelihood most
κήδετο οἰκήων, οὓς κτήσατο δῖος Ὀδυσσεύς.
cared of-the-servants whom had-acquired noble Odysseus
Τὸν δ' ἄρ' ἐνὶ προδόμῳ εὗρ' ἥμενον, ἔνθα οἱ αὐλὴ
Him and then in the-forecourt he-found sitting where his court
ὑψηλὴ δέδμητο, περισκέπτῳ ἐνὶ χώρῳ,
high was-built a-conspicuous in place
καλή τε μεγάλη τε, περίδρομος· ἦν ῥα συβώτης
fair both great and running-round which then the-swineherd
αὐτὸς δείμαθ' ὕεσσιν ἀποιχομένοιο ἄνακτος,
himself built for-the-swine the-departed lord's
νόσφιν δεσποίνης καὶ Λαέρταο γέροντος,
apart-from the-mistress and Laertes old
ῥυτοῖσιν λάεσσι καὶ ἐθρίγκωσεν ἀχέρδῳ.
with-dragged stones and coped(-it) with-wild-pear

σταυροὺς δ᾽ ἐκτὸς ἔλασσε διαμπερὲς ἔνθα καὶ ἔνθα,
stakes and outside he-drove throughout this-way and that-way
πυκνοὺς καὶ θαμέας, τὸ μέλαν δρυὸς ἀμφικεάσσας·
thick and close the black of-oak having-split-round
ἔντοσθεν δ᾽ αὐλῆς συφεοὺς δυοκαίδεκα ποίει
within and the-court sties twelve he-made
πλησίον ἀλλήλων, εὐνὰς συσίν· ἐν δὲ ἑκάστῳ
near each-other beds for-swine in and each
πεντήκοντα σύες χαμαιευνάδες ἐρχατόωντο,
fifty swine sleeping-on-the-ground were-penned
θήλειαι τοκάδες· τοὶ δ᾽ ἄρσενες ἐκτὸς ἴαυον,
females breeding the and males outside slept
πολλὸν παυρότεροι· τοὺς γὰρ μινύθεσκον ἔδοντες
much fewer them for kept-diminishing eating
ἀντίθεοι μνηστῆρες, ἐπεὶ προΐαλλε συβώτης
the-godlike suitors since sent(-them) the-swineherd
αἰεὶ ζατρεφέων σιάλων τὸν ἄριστον ἁπάντων·
always of-well-fed fatted-hogs the best of-all
οἱ δὲ τριηκόσιοί τε καὶ ἑξήκοντα πέλοντο.
they and three-hundred both and sixty were
πὰρ δὲ κύνες, θήρεσσιν ἐοικότες αἰὲν ἴαυον
beside and dogs to-wild-beasts like always slept
τέσσαρες, οὓς ἔθρεψε συβώτης, ὄρχαμος ἀνδρῶν.
four whom reared the-swineherd leader of-men
αὐτὸς δ᾽ ἀμφὶ πόδεσσιν ἑοῖς ἀράρισκε πέδιλα,
himself and around feet his-own was-fitting sandals
τάμνων δέρμα βόειον ἐϋχροές· οἱ δὲ δὴ ἄλλοι
cutting a-hide oxen's well-colored the and indeed others
ᾤχονθ᾽ ἄλλυδις ἄλλος ἅμ᾽ ἀγρομένοισι σύεσσιν,
had-gone this-way that-way with the-gathered swine

οἱ τρεῖς· τὸν δὲ τέταρτον ἀποπροέηκε πόλινδε
the three the and fourth he-had-sent-off to-the-city
σῦν ἀγέμεν μνηστῆρσιν ὑπερφιάλοισιν ἀνάγκῃ,
a-swine to-drive for-the-suitors overbearing by-necessity
ὄφρ' ἱερεύσαντες κρειῶν κορεσαίατο θυμόν.
so-that having-sacrificed of-meats they-might-sate heart
Ἐξαπίνης δ' Ὀδυσῆα ἴδον κύνες ὑλακόμωροι.
Suddenly and Odysseus saw the-dogs barking-loudly
οἱ μὲν κεκλήγοντες ἐπέδραμον· αὐτὰρ Ὀδυσσεὺς
they indeed baying ran-at(-him) but Odysseus
ἕζετο κερδοσύνῃ, σκῆπτρον δέ οἱ ἔκπεσε χειρός.
sat-down with-cunning the-staff and his fell from-hand
ἔνθα κεν ᾧ πὰρ σταθμῷ ἀεικέλιον πάθεν ἄλγος·
there — his-own by fold unseemly would-have-suffered pain
ἀλλὰ συβώτης ὦκα ποσὶ κραιπνοῖσι μετασπὼν
but the-swineherd quickly with-feet swift following
ἔσσυτ' ἀνὰ πρόθυρον, σκῦτος δέ οἱ ἔκπεσε χειρός.
rushed through the-gateway the-leather and his fell from-hand
τοὺς μὲν ὁμοκλήσας σεῦεν κύνας ἄλλυδις ἄλλον
them indeed shouting he-drove the-dogs this-way that-way
πυκνῇσιν λιθάδεσσιν· ὁ δὲ προσέειπεν ἄνακτα·
with-many stones he and addressed the-lord
" Ὦ γέρον, ἦ ὀλίγου σε κύνες διεδηλήσαντο
O old-man truly by-a-little you the-dogs would-have-torn-to-pieces
ἐξαπίνης, καί κέν μοι ἐλεγχείην κατέχευας.
suddenly and — on-me reproach you-would-have-poured
καὶ δέ μοι ἄλλα θεοὶ δόσαν ἄλγεά τε στοναχάς τε·
and also to-me other-things the-gods gave pains both groans and

ἀντιθέου γὰρ ἄνακτος ὀδυρόμενος καὶ ἀχεύων
godlike for lord grieving and sorrowing
ἧμαι, ἄλλοισιν δὲ σύας σιάλους ἀτιτάλλω
I-sit for-others and swine fat I-tend
ἔδμεναι· αὐτὰρ κεῖνος ἐελδόμενός που ἐδωδῆς
to-eat but he longing surely for-food
πλάζετ' ἐπ' ἀλλοθρόων ἀνδρῶν δῆμόν τε πόλιν τε,
wanders over of-strange-tongued men land both city and
εἴ που ἔτι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο.
if somewhere still he-lives and sees the-light of-the-sun
ἀλλ' ἕπεο, κλισίηνδ' ἴομεν, γέρον, ὄφρα καὶ αὐτός,
but follow to-the-hut let-us-go old-man so-that also yourself
σίτου καὶ οἴνοιο κορεσσάμενος κατὰ θυμόν,
with-bread and wine sated in heart
εἴπῃς ὁππόθεν ἐσσὶ καὶ ὁππόσα κήδε' ἀνέτλης."
you-may-tell whence you-are and how-many troubles you-have-endured

XIV.2 · EUMAEUS' HOSPITALITY

Eumaeus seats him on brushwood and a goatskin, saying that strangers and beggars all come from Zeus. A kind master would have given him a house and a wife, but Odysseus perished for Helen's sake. He roasts two pigs for the guest and tells how the suitors, sure the master is dead, waste his herds; Odysseus was richer than twenty men, and Eumaeus must send them the best boar.

Ὣς εἰπὼν κλισίηνδ' ἡγήσατο δῖος ὑφορβός,
So having-spoken to-the-hut led-the-way the-noble swineherd
εἶσεν δ' εἰσαγαγών, ῥῶπας δ' ὑπέχευε δασείας,
seated(-him) and leading(-him)-in brushwood and he-strewed-under thick
ἐστόρεσεν δ' ἐπὶ δέρμα ἰονθάδος ἀγρίου αἰγός,
spread and on(-it) the-skin of-a-shaggy wild goat

αὐτοῦ ἐνεύναιον, μέγα καὶ δασύ. χαῖρε δ' Ὀδυσσεὺς
his-own bedding great and thick rejoiced and Odysseus
ὅττι μιν ὣς ὑπέδεκτο, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
that him so he-received word and spoke out and named(-him)
"Ζεύς τοι δοίη, ξεῖνε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι
Zeus to-you may-give stranger and immortal gods other
ὅττι μάλιστ' ἐθέλεις, ὅτι με πρόφρων ὑπέδεξο."
whatever most you-wish since me kindly you-received
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Him and answering you-addressed Eumaeus swineherd
"Ξεῖν', οὔ μοι θέμις ἔστ', οὐδ' εἰ κακίων σέθεν ἔλθοι,
Stranger not for-me right is not-even if worse than-you should-come
ξεῖνον ἀτιμῆσαι· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
a-stranger to-dishonor from for Zeus are all
ξεῖνοί τε πτωχοί τε· δόσις δ' ὀλίγη τε φίλη τε
strangers both beggars and a-gift and small both dear and
γίγνεται ἠμετέρη· ἡ γὰρ δμώων δίκη ἐστὶν
is from-us this for of-servants the-way is
αἰεὶ δειδιότων, ὅτ' ἐπικρατέωσιν ἄνακτες
always fearing when hold-power lords
οἱ νέοι. ἦ γὰρ τοῦ γε θεοὶ κατὰ νόστον ἔδησαν,
the young truly for his indeed the-gods in return have-bound
ὅς κεν ἔμ' ἐνδυκέως ἐφίλει καὶ κτῆσιν ὄπασσεν,
who — me kindly would-have-loved and possessions would-have-given
οἰκόν τε κλῆρόν τε πολυμνήστην τε γυναῖκα,
house both plot and much-wooed and wife
οἷά τε ᾧ οἰκῆϊ ἄναξ εὔθυμος ἔδωκεν,
such-as — to-his servant a-lord kindly gives
ὅς οἱ πολλὰ κάμῃσι, θεὸς δ' ἐπὶ ἔργον ἀέξῃ,
who for-him much toils a-god and besides work increases

ὡς καὶ ἐμοὶ τόδε ἔργον ἀέξεται, ᾧ ἐπιμίμνω.
as also for-me this work increases at-which I-stay
τῷ κέ με πόλλ' ὄνησεν ἄναξ, εἰ αὐτόθ' ἐγήρα·
therefore — me much would-have-benefited the-lord if here he-grew-old
ἀλλ' ὄλεθ' — ὡς ὤφελλ' Ἑλένης ἀπὸ φῦλον ὀλέσθαι
but he-perished would-that ought of-Helen down the-race to-perish
πρόχνυ, ἐπεὶ πολλῶν ἀνδρῶν ὑπὸ γούνατ' ἔλυσε·
headlong since of-many men under the-knees she-loosed
70 καὶ γὰρ κεῖνος ἔβη Ἀγαμέμνονος εἵνεκα τιμῆς
and for he went of-Agamemnon for-the-sake-of honor
Ἴλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μάχοιτο."
Ilion to of-fine-horses so-that with-the-Trojans he-might-fight
Ὣς εἰπὼν ζωστῆρι θοῶς συνέεργε χιτῶνα,
So having-spoken with-the-belt swiftly he-girt-up the-tunic
βῆ δ' ἴμεν ἐς συφεούς, ὅθι ἔθνεα ἔρχατο χοίρων.
went and to-go to the-sties where the-tribes were-penned of-pigs
ἔνθεν ἑλὼν δύ' ἔνεικε καὶ ἀμφοτέρους ἱέρευσεν,
thence taking two he-brought and both sacrificed
75 εὖσέ τε μίστυλλέν τε καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρεν.
singed both cut-up and and around spits pierced(-them)
ὀπτήσας δ' ἄρα πάντα φέρων παρέθηκ' Ὀδυσῆϊ
having-roasted and then all bringing set(-it)-before Odysseus
θέρμ' αὐτοῖς ὀβελοῖσιν· ὁ δ' ἄλφιτα λευκὰ πάλυνεν·
hot on-the-very spits he and barley white sprinkled
ἐν δ' ἄρα κισσυβίῳ κίρνη μελιηδέα οἶνον,
in and then an-ivy-bowl mixed honey-sweet wine
αὐτὸς δ' ἀντίον ἷζεν, ἐποτρύνων δὲ προσηύδα·
himself and opposite sat urging and he-addressed(-him)

" Ἔσθιε νῦν, ὦ ξεῖνε, τά τε δμώεσσι πάρεστι,
Eat now O stranger what — for-servants is-at-hand
χοίρε᾽· ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσιν,
pigs but fat indeed swine the-suitors eat
οὐκ ὄπιδα φρονέοντες ἐνὶ φρεσὶν οὐδ᾽ ἐλεητύν.
not vengeance heeding in minds nor pity
οὐ μὲν σχέτλια ἔργα θεοὶ μάκαρες φιλέουσιν,
not indeed cruel deeds the-gods blessed love
ἀλλὰ δίκην τίουσι καὶ αἴσιμα ἔργ᾽ ἀνθρώπων.
but justice they-honor and righteous deeds of-men
καὶ μὲν δυσμενέες καὶ ἀνάρσιοι, οἵ τ᾽ ἐπὶ γαίης
and indeed hostile-men and foes who — on land
ἀλλοτρίης βῶσιν καί σφι Ζεὺς ληΐδα δώῃ,
another's go and to-them Zeus spoil gives
πλησάμενοι δέ τε νῆας ἔβαν οἰκόνδε νέεσθαι,
having-filled and — the-ships they-go homeward to-return
καὶ μὲν τοῖς ὄπιδος κρατερὸν δέος ἐν φρεσὶ πίπτει.
and indeed on-them of-vengeance strong fear in minds falls
οἵδε δὲ καί τι ἴσασι, θεοῦ δέ τιν᾽ ἔκλυον αὐδήν,
these and also something know of-a-god and some heard voice
κείνου λυγρὸν ὄλεθρον, ὅτ᾽ οὐκ ἐθέλουσι δικαίως
that-one's woeful destruction since not they-wish rightly
μνᾶσθαι οὐδὲ νέεσθαι ἐπὶ σφέτερ᾽, ἀλλὰ ἔκηλοι
to-woo nor to-return to their-own but at-ease
κτήματα δαρδάπτουσιν ὑπέρβιον, οὐδ᾽ ἔπι φειδώ.
possessions they-devour insolently nor is-there sparing
ὅσσαι γὰρ νύκτες τε καὶ ἡμέραι ἐκ Διός εἰσιν,
as-many for nights both and days from Zeus are
οὔ ποθ᾽ ἓν ἱρεύουσ᾽ ἱερήϊον, οὐδὲ δύ᾽ οἴω·
not ever one they-sacrifice victim nor two only

οἶνον δὲ φθινύθουσιν ὑπέρβιον ἐξαφύοντες.
wine and they-waste insolently drawing-off
ἦ γάρ οἱ ζωή γ' ἦν ἄσπετος· οὔ τινι τόσση
truly for his livelihood indeed was unspeakable not to-any so-much
ἀνδρῶν ἡρώων, οὔτ' ἠπείροιο μελαίνης
of-men heroes neither of-the-mainland black
οὔτ' αὐτῆς Ἰθάκης· οὐδὲ ξυνεείκοσι φωτῶν
nor itself of-Ithaca not-even together-twenty of-men
ἔστ' ἄφενος τοσσοῦτον· ἐγὼ δέ κέ τοι καταλέξω.
is wealth so-much I and — to-you will-recount
δώδεκ' ἐν ἠπείρῳ ἀγέλαι· τόσα πώεα οἰῶν,
twelve on the-mainland herds so-many flocks of-sheep
τόσσα συῶν συβόσια, τόσ' αἰπόλια πλατέ' αἰγῶν
so-many of-swine herds so-many goat-flocks wide of-goats
βόσκουσι ξεῖνοί τε καὶ αὐτοῦ βώτορες ἄνδρες.
pasture strangers both and his-own herding men
ἐνθάδε δ' αἰπόλια πλατέ' αἰγῶν ἕνδεκα πάντα
here and goat-flocks wide of-goats eleven all
ἐσχατιῇ βόσκονται, ἐπὶ δ' ἀνέρες ἐσθλοὶ ὄρονται.
at-the-border graze over and men good watch
τῶν αἰεί σφιν ἕκαστος ἐπ' ἤματι μῆλον ἀγινεῖ,
of-them always for-them each on day a-beast drives
ζατρεφέων αἰγῶν ὅς τις φαίνηται ἄριστος.
of-well-fed goats which any seems best
αὐτὰρ ἐγὼ σῦς τάσδε φυλάσσω τε ῥύομαί τε,
but I swine these guard both protect and
καί σφι συῶν τὸν ἄριστον ἐΰ κρίνας ἀποπέμπω."
and for-them of-swine the best well choosing send

Odysseus asks the master's name, since he may have seen him. Eumaeus answers that every vagabond brings Penelope lies; Odysseus is surely dead, and he will never find so gentle a master. Odysseus swears that his master will return before the month is out and claims a cloak and tunic as his reward. Eumaeus declines the oath, grieves for Telemachus, now in danger, and asks who the stranger is.

Ὣς φάθ', ὁ δ' ἐνδυκέως κρέα τ' ἤσθιε πῖνέ τε οἶνον
So he-spoke he and eagerly meat both ate drank and wine
ἁρπαλέως ἀκέων, κακὰ δὲ μνηστῆρσι φύτευεν.
greedily in-silence evils and for-the-suitors he-plotted
αὐτὰρ ἐπεὶ δείπνησε καὶ ἤραρε θυμὸν ἐδωδῇ,
but when he-had-dined and refreshed heart with-food
καί οἱ πλησάμενος δῶκε σκύφον, ᾧ περ ἔπινεν,
and for-him having-filled he-gave the-cup from-which indeed he-drank
οἴνου ἐνίπλειον· ὁ δ' ἐδέξατο, χαῖρε δὲ θυμῷ,
of-wine full he and received(-it) rejoiced and in-heart
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
" Ὦ φίλε, τίς γάρ σε πρίατο κτεάτεσσιν ἑοῖσιν,
O friend who for you bought with-possessions his-own
ὧδε μάλ' ἀφνειὸς καὶ καρτερὸς ὡς ἀγορεύεις;
so very wealthy and mighty as you-say
φῂς δ' αὐτὸν φθίσθαι Ἀγαμέμνονος εἵνεκα τιμῆς.
you-say and him to-have-perished of-Agamemnon for-the-sake-of honor
εἰπέ μοι, αἴ κέ ποθι γνώω τοιοῦτον ἐόντα.
tell me if — somehow I-may-know(-him) such being

Ζεὺς γάρ που τό γε οἶδε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
Zeus for surely this indeed knows and immortal gods other
εἴ κέ μιν ἀγγείλαιμι ἰδών· ἐπὶ πολλὰ δ' ἀλήθην."
if — him I-could-report having-seen over much and I-have-wandered
Τὸν δ' ἠμείβετ' ἔπειτα συβώτης, ὄρχαμος ἀνδρῶν·
Him and answered then the-swineherd leader of-men
"Ὦ γέρον, οὔ τις κεῖνον ἀνὴρ ἀλαλήμενος ἐλθὼν
O old-man not any of-him man wandering coming
ἀγγέλλων πείσειε γυναῖκά τε καὶ φίλον υἱόν,
reporting could-persuade wife both and dear son
ἀλλ' ἄλλως κομιδῆς κεχρημένοι ἄνδρες ἀλῆται
but otherwise of-tending needing men vagabonds
ψεύδοντ', οὐδ' ἐθέλουσιν ἀληθέα μυθήσασθαι.
lie nor wish truth to-tell
ὅς δέ κ' ἀλητεύων Ἰθάκης ἐς δῆμον ἵκηται,
whoever and — wandering of-Ithaca to land comes
ἐλθὼν ἐς δέσποιναν ἐμὴν ἀπατήλια βάζει·
going to mistress my deceitful-things babbles
ἡ δ' εὖ δεξαμένη φιλέει καὶ ἕκαστα μεταλλᾷ,
she and well receiving(-him) welcomes and each-thing inquires
καί οἱ ὀδυρομένῃ βλεφάρων ἄπο δάκρυα πίπτει,
and her lamenting the-eyelids from tears fall
ἢ θέμις ἐστὶ γυναικός, ἐπὴν πόσις ἄλλοθ' ὄληται.
as right is of-a-woman when the-husband elsewhere perishes
αἶψά κε καὶ σύ, γεραιέ, ἔπος παρατεκτήναιο.
quickly — also you old-man a-tale would-fashion
εἴ τίς τοι χλαῖνάν τε χιτῶνά τε εἵματα δοίη.
if any to-you cloak both tunic and clothes should-give

τοῦ δ' ἤδη μέλλουσι κύνες ταχέες τ' οἰωνοὶ
of-him and already are-likely dogs swift and birds
ῥινὸν ἀπ' ὀστεόφιν ἐρύσαι, ψυχὴ δὲ λέλοιπεν·
the-skin from bones to-have-torn the-soul and has-left
ἢ τόν γ' ἐν πόντῳ φάγον ἰχθύες, ὀστέα δ' αὐτοῦ
or him indeed in the-sea ate fishes the-bones and his
κεῖται ἐπ' ἠπείρου ψαμάθῳ εἰλυμένα πολλῇ.
lie on the-shore in-sand wrapped deep
ὣς ὁ μὲν ἔνθ' ἀπόλωλε, φίλοισι δὲ κήδε' ὀπίσσω
so he indeed there has-perished for-friends and troubles hereafter
πᾶσιν, ἐμοὶ δὲ μάλιστα, τετεύχαται· οὐ γὰρ ἔτ' ἄλλον
for-all for-me and most have-been-made not for still another
ἤπιον ὧδε ἄνακτα κιχήσομαι, ὁππόσ' ἐπέλθω,
gentle so lord I-shall-find wherever I-go
οὐδ' εἴ κεν πατρὸς καὶ μητέρος αὖτις ἵκωμαι
not-even if — of-father and of-mother again I-come
οἶκον, ὅθι πρῶτον γενόμην καί μ' ἔτρεφον αὐτοί.
to-the-house where first I-was-born and me reared they-themselves
οὐδέ νυ τῶν ἔτι τόσσον ὀδύρομαι, ἱέμενός περ
nor now for-them longer so-much do-I-grieve longing though
ὀφθαλμοῖσιν ἰδέσθαι ἐὼν ἐν πατρίδι γαίῃ·
with-eyes to-see(-them) being in native land
ἀλλά μ' Ὀδυσσῆος πόθος αἴνυται οἰχομένοιο.
but me for-Odysseus longing seizes gone
τὸν μὲν ἐγών, ὦ ξεῖνε, καὶ οὐ παρεόντ' ὀνομάζειν
him indeed I O stranger even not present to-name
αἰδέομαι· πέρι γάρ μ' ἐφίλει καὶ κήδετο θυμῷ·
am-ashamed beyond(-all) for me he-loved and cared-for in-heart
ἀλλά μιν ἠθεῖον καλέω καὶ νόσφιν ἐόντα."
but him dear-brother I-call even apart being

Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Him and in-turn addressed much-enduring noble Odysseus
" Ὦ φίλ', ἐπειδὴ πάμπαν ἀναίνεαι, οὐδ' ἔτι φῇσθα
O friend since wholly you-deny nor longer do-you-say
κεῖνον ἐλεύσεσθαι, θυμὸς δέ τοι αἰὲν ἄπιστος·
he will-come heart and your always unbelieving
ἀλλ' ἐγὼ οὐκ αὔτως μυθήσομαι, ἀλλὰ σὺν ὅρκῳ,
but I not just-so will-speak but with an-oath
ὡς νεῖται Ὀδυσεύς· εὐαγγέλιον δέ μοι ἔστω
that returns Odysseus reward-for-good-news and to-me let-be
αὐτίκ', ἐπεί κεν κεῖνος ἰὼν τὰ ἃ δώμαθ' ἵκηται·
at-once when — he coming the his-own house reaches
ἕσσαι με χλαῖνάν τε χιτῶνά τε, εἵματα καλά·
put-on me cloak both tunic and clothes fair
πρὶν δέ κε, καὶ μάλα περ κεχρημένος, οὔ τι δεχοίμην.
before but — even very though needing not at-all I-would-accept(-it)
ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσι
hateful for to-me he like of-Hades the-gates
γίγνεται, ὃς πενίῃ εἴκων ἀπατήλια βάζει.
is who to-poverty yielding deceitful-things babbles
ἴστω νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα,
let-know now Zeus first of-the-gods hospitable both table
ἱστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω·
hearth and of-Odysseus blameless which I-come-to
ἦ μέν τοι τάδε πάντα τελείεται ὡς ἀγορεύω.
truly indeed you-know these-things all will-be-fulfilled as I-say
τοῦδ' αὐτοῦ λυκάβαντος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεύς.
of-this very year will-come here Odysseus
τοῦ μὲν φθίνοντος μηνός, τοῦ δ' ἱσταμένοιο,
the indeed waning month the and beginning

οἶκαδε νοστήσει, καὶ τίσεται ὅς τις ἐκείνου
home he-will-return and will-take-vengeance-on who any his
ἐνθάδ' ἀτιμάζει ἄλοχον καὶ φαίδιμον υἱόν."
here dishonors wife and glorious son
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Him and answering you-addressed Eumaeus swineherd
"Ὦ γέρον, οὔτ' ἄρ' ἐγὼν εὐαγγέλιον τόδε τίσω,
O old-man neither then I reward-for-good-news this will-pay
οὔτ' Ὀδυσεὺς ἔτι οἶκον ἐλεύσεται· ἀλλὰ ἔκηλος
nor Odysseus longer home will-come but at-ease
πῖνε, καὶ ἄλλα παρὲξ μεμνώμεθα, μηδέ με τούτων
drink and of-other-things besides let-us-think nor me of-these
μίμνησκ'· ἦ γὰρ θυμὸς ἐνὶ στήθεσσιν ἐμοῖσιν
remind truly for heart in breast my
ἄχνυται, ὁππότε τις μνήσῃ κεδνοῖο ἄνακτος.
grieves whenever anyone reminds of-trusty lord
ἀλλ' ἦ τοι ὅρκον μὲν ἐάσομεν, αὐτὰρ Ὀδυσσεὺς
but truly indeed the-oath indeed we-will-let(-be) but Odysseus
ἔλθοι ὅπως μιν ἔγω γ' ἐθέλω καὶ Πηνελόπεια
may-come as him I indeed wish and Penelope
Λαέρτης θ' ὁ γέρων καὶ Τηλέμαχος θεοειδής.
Laertes and the old-man and Telemachus godlike
νῦν αὖ παιδὸς ἄλαστον ὀδύρομαι, ὃν τέκ' Ὀδυσσεύς,
now in-turn for-the-child unforgettably I-grieve whom begot Odysseus
Τηλεμάχου· τὸν ἐπεὶ θρέψαν θεοὶ ἔρνεϊ ἶσον,
Telemachus whom when reared the-gods to-a-sapling like
καί μιν ἔφην ἔσσεσθαι ἐν ἀνδράσιν οὔ τι χέρηα
and him I-said would-be among men not at-all worse
πατρὸς ἑοῖο φίλοιο, δέμας καὶ εἶδος ἀγητόν,
than-father his-own dear in-form and looks admirable

τὸν δέ τις ἀθανάτων βλάψε φρένας ἔνδον ἐΐσας
him and some of-the-immortals harmed the-mind within balanced
ἠέ τις ἀνθρώπων· ὁ δ' ἔβη μετὰ πατρὸς ἀκουὴν
or some of-men he and went for of-father tidings
ἐς Πύλον ἠγαθέην· τὸν δὲ μνηστῆρες ἀγαυοὶ
to Pylos sacred him and the-suitors lordly
οἴκαδ' ἰόντα λοχῶσιν, ὅπως ἀπὸ φῦλον ὄληται
home going lie-in-wait-for so-that from the-race may-perish
νώνυμον ἐξ Ἰθάκης Ἀρκεισίου ἀντιθέοιο.
nameless out-of Ithaca of-Arceisius godlike
ἀλλ' ἦ τοι κεῖνον μὲν ἐάσομεν, ἤ κεν ἁλώῃ
but truly indeed him indeed we-will-let(-be) whether — he-be-caught
ἦ κε φύγῃ καί κέν οἱ ὑπέρσχῃ χεῖρα Κρονίων.
or — he-escape and — for-him may-hold-over hand the-son-of-Cronus
ἀλλ' ἄγε μοι σύ, γεραιέ, τὰ σ' αὐτοῦ κήδε' ἐνίσπες
but come to-me you old-man the your own troubles tell
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' ἐῢ εἰδῶ·
and to-me this tell truly so-that well I-may-know
τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
who whence are-you of-men where your city and parents
ὁππoίης τ' ἐπὶ νηὸς ἀφίκεο· πῶς δέ σε ναῦται
on-what-kind and upon ship did-you-come how and you sailors
ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωντο;
brought to Ithaca who to-be did-they-declare
οὐ μὲν γάρ τί σε πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι."
not indeed for at-all you on-foot I-think here to-have-come

Odysseus says he is the son of a rich Cretan by a bought concubine, cheated of his inheritance but married well. War and raiding were his delight, and before Troy he led nine expeditions. After Troy and a single month at home he sailed with nine ships for Egypt.

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"Τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως ἀγορεύσω.
Therefore I to-you these-things very truly will-tell
εἴη μὲν νῦν νῶϊν ἐπὶ χρόνον ἠμὲν ἐδωδὴ
may-there-be indeed now for-us-two for time both food
ἠδὲ μέθυ γλυκερὸν κλισίης ἔντοσθεν ἐοῦσι,
and wine sweet the-hut within being
δαίνυσθαι ἀκέοντ', ἄλλοι δ' ἐπὶ ἔργον ἔποιεν·
to-feast in-quiet others and at work should-go
ῥηϊδίως κεν ἔπειτα καὶ εἰς ἐνιαυτὸν ἅπαντα
easily — then even for a-year whole
οὔ τι διαπρήξαιμι λέγων ἐμὰ κήδεα θυμοῦ,
not at-all I-could-finish telling my sorrows of-heart
ὅσσα γε δὴ ξύμπαντα θεῶν ἰότητι μόγησα.
as-many indeed truly all-together of-the-gods by-will I-have-toiled

" Ἐκ μὲν Κρητάων γένος εὔχομαι εὐρειάων,
From indeed of-Crete by-race I-claim broad
ἀνέρος ἀφνειοῖο πάϊς· πολλοὶ δὲ καὶ ἄλλοι
of-a-man wealthy the-son many and also others
υἱέες ἐν μεγάρῳ ἠμὲν τράφεν ἠδ' ἐγένοντο
sons in the-hall both were-reared and were-born
γνήσιοι ἐξ ἀλόχου· ἐμὲ δ' ὠνητὴ τέκε μήτηρ
legitimate from wife me but bought bore mother
παλλακίς, ἀλλά με ἶσον ἰθαιγενέεσσιν ἐτίμα
a-concubine but me equal with-the-trueborn honored
Κάστωρ Ὑλακίδης, τοῦ ἐγὼ γένος εὔχομαι εἶναι
Castor son-of-Hylax of-whom I by-race claim to-be
ὃς τότ' ἐνὶ Κρήτεσσι θεὸς ὣς τίετο δήμῳ
who then among the-Cretans a-god as was-honored in-the-land
ὄλβῳ τε πλούτῳ τε καὶ υἱάσι κυδαλίμοισιν.
for-prosperity both for-wealth and also for-sons glorious
ἀλλ' ἦ τοι τὸν κῆρες ἔβαν θανάτοιο φέρουσαι
but truly indeed him the-fates went of-death carrying
εἰς Ἀΐδαο δόμους· τοὶ δὲ ζωὴν ἐδάσαντο
to of-Hades the-halls they and the-livelihood divided
παῖδες ὑπέρθυμοι καὶ ἐπὶ κλήρους ἐβάλοντο,
sons overweening and over(-it) lots cast
αὐτὰρ ἐμοὶ μάλα παῦρα δόσαν καὶ οἰκί' ἔνειμαν.
but to-me very little gave and a-house allotted
ἠγαγόμην δὲ γυναῖκα πολυκλήρων ἀνθρώπων
I-took and a-wife of-wealthy men
εἵνεκ' ἐμῆς ἀρετῆς, ἐπεὶ οὐκ ἀποφώλιος ἦα
because-of my worth since not worthless I-was
οὐδὲ φυγοπτόλεμος· νῦν δ' ἤδη πάντα λέλοιπεν·
nor battle-shirking now but already all has-left(-me)

ἀλλ᾽ ἔμπης καλάμην γέ σ᾽ ὀΐομαι εἰσορόωντα
but still the-stubble indeed you I-think looking-at
γιγνώσκειν· ἦ γάρ με δύη ἔχει ἤλιθα πολλή.
to-recognize(-it) truly for me misery holds exceedingly much
ἦ μὲν δὴ θάρσος μοι Ἄρης τ᾽ ἔδοσαν καὶ Ἀθήνη
truly indeed truly courage to-me Ares both gave and Athena
καὶ ῥηξηνορίην· ὁπότε κρίνοιμι λόχονδε
and man-breaking-might whenever I-picked for-an-ambush
ἄνδρας ἀριστῆας, κακὰ δυσμενέεσσι φυτεύων,
men best evils for-foes planning
οὔ ποτέ μοι θάνατον προτιόσσετο θυμὸς ἀγήνωρ,
not ever to-me death foresaw heart proud
ἀλλὰ πολὺ πρώτιστος ἐπάλμενος ἔγχει ἔλεσκον
but far foremost leaping-on with-the-spear I-used-to-take
ἀνδρῶν δυσμενέων ὅ τέ μοι εἴξειε πόδεσσιν.
of-men hostile who — to-me yielded in-feet
τοῖος ἔα ἐν πολέμῳ· ἔργον δέ μοι οὐ φίλον ἔσκεν
such I-was in war work but to-me not dear was
οὐδ᾽ οἰκωφελίη, ἥ τε τρέφει ἀγλαὰ τέκνα,
nor thrift which — rears glorious children
ἀλλά μοι αἰεὶ νῆες ἐπήρετμοι φίλαι ἦσαν
but to-me always ships oared dear were
καὶ πόλεμοι καὶ ἄκοντες ἐΰξεστοι καὶ ὀϊστοί,
and wars and javelins well-polished and arrows
λυγρά, τά τ᾽ ἄλλοισίν γε καταριγηλὰ πέλονται.
grievous-things which — to-others indeed dreadful are
αὐτὰρ ἐμοὶ τὰ φίλ᾽ ἔσκε τά που θεὸς ἐν φρεσὶ θῆκεν·
but to-me these dear were which surely a-god in mind put
ἄλλος γάρ τ᾽ ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις.
another for — in-other man takes-delight deeds

πρὶν μὲν γὰρ Τροίης ἐπιβήμεναι υἷας Ἀχαιῶν
before indeed for Troy to-set-foot-on the-sons of-the-Achaeans
εἰνάκις ἀνδράσιν ἦρξα καὶ ὠκυπόροισι νέεσσιν
nine-times men I-led and in-swift-faring ships
ἄνδρας ἐς ἀλλοδαπούς, καί μοι μάλα τύγχανε πολλά.
men against foreign and to-me very fell-to-my-lot much
τῶν ἐξαιρεύμην μενοεικέα, πολλὰ δ' ὀπίσσω
of-which I-picked-out heart-pleasing-things much and afterward
λάγχανον· αἶψα δὲ οἶκος ὀφέλλετο, καί ῥα ἔπειτα
I-got-by-lot quickly and the-house increased and then thereafter
δεινός τ' αἰδοῖός τε μετὰ Κρήτεσσι τετύγμην.
dreaded both respected and among the-Cretans I-became
"Ἀλλ' ὅτε δὴ τήν γε στυγερὴν ὁδὸν εὐρύοπα Ζεὺς
But when indeed that indeed hateful journey far-seeing Zeus
ἐφράσαθ', ἣ πολλῶν ἀνδρῶν ὑπὸ γούνατ' ἔλυσε,
devised which of-many men under the-knees loosed
δὴ τότ' ἔμ' ἤνωγον καὶ ἀγακλυτὸν Ἰδομενῆα
indeed then me they-bade and renowned Idomeneus
νήεσσ' ἡγήσασθαι ἐς Ἴλιον· οὐδέ τι μῆχος
ships to-lead to Ilion nor any means
ἦεν ἀνήνασθαι, χαλεπὴ δ' ἔχε δήμου φῆμις.
was to-refuse harsh and held of-the-people talk
ἔνθα μὲν εἰνάετες πολεμίζομεν υἷες Ἀχαιῶν,
there indeed nine-years warred sons of-the-Achaeans
τῷ δεκάτῳ δὲ πόλιν Πριάμου πέρσαντες ἔβημεν
in-the tenth and the-city of-Priam having-sacked we-went
οἴκαδε σὺν νήεσσι, θεὸς δ' ἐκέδασσεν Ἀχαιούς.
homeward with ships a-god but scattered the-Achaeans
αὐτὰρ ἐμοὶ δειλῷ κακὰ μήδετο μητίετα Ζεύς·
but for-me wretched evils devised counselor Zeus

μῆνα γὰρ οἷον ἔμεινα τεταρπόμενος τεκέεσσιν
a-month for only I-stayed delighting in-children
κουριδίῃ τ᾽ ἀλόχῳ καὶ κτήμασιν· αὐτὰρ ἔπειτα
in-wedded and wife and in-possessions but then
Αἴγυπτόνδε με θυμὸς ἀνώγει ναυτίλλεσθαι,
to-Egypt me heart bade to-sail
νῆας ἐῢ στείλαντα σὺν ἀντιθέοις ἑτάροισιν.
ships well having-fitted-out with godlike comrades
ἐννέα νῆας στεῖλα, θοῶς δ᾽ ἐσαγείρατο λαός.
nine ships I-fitted-out quickly and gathered the-people
ἑξῆμαρ μὲν ἔπειτα ἐμοὶ ἑρίηρες ἑταῖροι
six-days indeed then my trusty comrades
δαίνυντ᾽· αὐτὰρ ἐγὼν ἱερήϊα πολλὰ παρεῖχον
feasted but I victims many provided
θεοῖσίν τε ῥέζειν αὐτοῖσί τε δαῖτα πένεσθαι.
for-the-gods both to-sacrifice for-themselves and a-feast to-prepare
ἑβδομάτῃ δ᾽ ἀναβάντες ἀπὸ Κρήτης εὐρείης
on-the-seventh and having-embarked from Crete broad
ἐπλέομεν Βορέῃ ἀνέμῳ ἀκραέϊ καλῷ
we-sailed with-Boreas wind fresh-blowing fair
ῥηϊδίως, ὡς εἴ τε κατὰ ῥόον· οὐδέ τις οὖν μοι
easily as if — down stream nor any then my
νηῶν πημάνθη, ἀλλ᾽ ἀσκηθέες καὶ ἄνουσοι
of-ships was-harmed but unscathed and free-of-sickness
ἥμεθα, τὰς δ᾽ ἄνεμός τε κυβερνῆταί τ᾽ ἴθυνον.
we-sat them and the-wind both the-helmsmen and steered

His men plundered the Egyptian fields, and the Egyptians killed or enslaved them; he was spared at the king's knees and lived there seven years. A Phoenician took him away to sell him, but Zeus wrecked the ship, and he drifted on the mast to Thesprotia. King Pheidon there told him of Odysseus' coming return, and sailors bound for Dulichium enslaved him; he escaped them at Ithaca.

"Πεμπταῖοι δ' Αἴγυπτον ἐϋρρείτην ἱκόμεσθα,
On-the-fifth-day and Egypt fair-flowing we-reached
στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιελίσσας.
I-moored and in Egypt river the-ships curved
ἔνθ' ἦ τοι μὲν ἐγὼ κελόμην ἑρίηρας ἑταίρους
there truly indeed indeed I bade trusty comrades
αὐτοῦ πὰρ νήεσσι μένειν καὶ νῆας ἔρυσθαι,
there by the-ships to-stay and the-ships to-guard
ὀπτῆρας δὲ κατὰ σκοπιὰς ὤτρυνα νέεσθαι·
scouts and over the-lookouts I-urged to-go
οἱ δ' ὕβρει εἴξαντες, ἐπισπόμενοι μένεϊ σφῷ,
they but to-insolence yielding following might their-own
αἶψα μάλ' Αἰγυπτίων ἀνδρῶν περικαλλέας ἀγροὺς
quickly very of-Egyptian men very-fair fields
πόρθεον, ἐκ δὲ γυναῖκας ἄγον καὶ νήπια τέκνα,
ravaged out and women they-led and infant children
αὐτούς τ' ἔκτεινον· τάχα δ' ἐς πόλιν ἵκετ' ἀϋτή.
themselves and they-killed quickly and to the-city came the-cry

οἱ δὲ βοῆς ἀΐοντες ἅμ᾽ ἠοῖ φαινομένηφιν
they and the-shout hearing with dawn appearing
ἦλθον· πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε καὶ ἵππων
came was-filled and all the-plain with-foot-soldiers both and horses
χαλκοῦ τε στεροπῆς· ἐν δὲ Ζεὺς τερπικέραυνος
of-bronze and with-the-flash in and Zeus thunder-delighting
φύζαν ἐμοῖς ἑτάροισι κακὴν βάλεν, οὐδέ τις ἔτλη
panic my in-comrades evil cast nor any dared
μεῖναι ἐναντίβιον· περὶ γὰρ κακὰ πάντοθεν ἔστη.
to-stand facing(-them) around for evils on-all-sides stood
ἔνθ᾽ ἡμέων πολλοὺς μὲν ἀπέκτανον ὀξέϊ χαλκῷ,
there of-us many indeed they-killed with-sharp bronze
τοὺς δ᾽ ἄναγον ζωούς, σφίσιν ἐργάζεσθαι ἀνάγκῃ.
others and they-led-up alive for-themselves to-work by-compulsion
αὐτὰρ ἐμοὶ Ζεὺς αὐτὸς ἐνὶ φρεσὶν ὧδε νόημα
but for-me Zeus himself in mind thus a-thought
ποίησ᾽ — ὡς ὄφελον θανέειν καὶ πότμον ἐπισπεῖν
made would I-ought to-have-died and fate to-have-met
αὐτοῦ ἐν Αἰγύπτῳ· ἔτι γάρ νύ με πῆμ᾽ ὑπέδεκτο —
there in Egypt still for now me woe awaited
αὐτίκ᾽ ἀπὸ κρατὸς κυνέην εὔτυκτον ἔθηκα
at-once from head the-helmet well-made I-put
καὶ σάκος ὤμοιϊν, δόρυ δ᾽ ἔκβαλον ἔκτοσε χειρός·
and the-shield from-shoulders the-spear and I-cast outside of-hand
αὐτὰρ ἐγὼ βασιλῆος ἐναντίον ἤλυθον ἵππων
but I of-the-king in-front-of came of-horses
καὶ κύσα γούναθ᾽ ἑλών· ὁ δ᾽ ἐρύσατο καί μ᾽ ἐλέησεν,
and kissed knees having-seized he and saved and me pitied
ἐς δίφρον δέ μ᾽ ἕσας ἄγεν οἴκαδε δάκρυ χέοντα.
into the-chariot and me having-set led home tears shedding

ἦ μέν μοι μάλα πολλοὶ ἐπήϊσσον μελίῃσιν,
truly indeed at-me very many rushed with-ash-spears
ἱέμενοι κτεῖναι — δὴ γὰρ κεχολώατο λίην —
eager to-kill indeed for they-were-enraged exceedingly
ἀλλ᾽ ἀπὸ κεῖνος ἔρυκε, Διὸς δ᾽ ὠπίζετο μῆνιν
but away he held(-them) of-Zeus and dreaded the-wrath
ξεινίου, ὅς τε μάλιστα νεμεσσᾶται κακὰ ἔργα.
of-strangers who — most resents evil deeds
285 “ Ἔνθα μὲν ἑπτάετες μένον αὐτόθι, πολλὰ δ᾽ ἄγειρα
There indeed seven-years I-stayed there much and I-gathered
χρήματ᾽ ἀν᾽ Αἰγυπτίους ἄνδρας· δίδοσαν γὰρ ἅπαντες.
wealth among Egyptian men gave for all
ἀλλ᾽ ὅτε δὴ ὀγδόατόν μοι ἐπιπλόμενον ἔτος ἦλθεν,
but when indeed the-eighth to-me revolving year came
δὴ τότε Φοῖνιξ ἦλθεν ἀνὴρ ἀπατήλια εἰδώς,
indeed then a-Phoenician came a-man deceits knowing
τρώκτης, ὃς δὴ πολλὰ κάκ᾽ ἀνθρώποισιν ἐώργει·
a-greedy-knave who indeed many evils to-men had-wrought
290 ὅς μ᾽ ἄγε παρπεπιθὼν ᾗσι φρεσίν, ὄφρ᾽ ἱκόμεσθα
who me led having-won-over with-his-own wits until we-reached
Φοινίκην, ὅθι τοῦ γε δόμοι καὶ κτήματ᾽ ἔκειτο.
Phoenicia where his indeed house and possessions lay
ἔνθα παρ᾽ αὐτῷ μεῖνα τελεσφόρον εἰς ἐνιαυτόν.
there beside him I-stayed complete for a-year
ἀλλ᾽ ὅτε δὴ μῆνές τε καὶ ἡμέραι ἐξετελεῦντο
but when indeed the-months both and the-days were-being-accomplished
ἄψ περιτελλομένου ἔτεος καὶ ἐπήλυθον ὧραι,
again revolving the-year and came-on the-seasons

ἐς Λιβύην μ᾽ ἐπὶ νηὸς ἐέσσατο ποντοπόροιο
to Libya me on a-ship he-set seafaring
ψεύδεα βουλεύσας, ἵνα οἱ σὺν φόρτον ἄγοιμι,
lies having-planned so-that for-him with(-him) a-cargo I-might-bring
κεῖθι δέ μ᾽ ὡς περάσειε καὶ ἄσπετον ὦνον ἕλοιτο.
there but me that he-might-sell and boundless price might-get
τῷ ἑπόμην ἐπὶ νηός, ὀϊόμενός περ, ἀνάγκῃ.
him I-followed on the-ship suspecting though by-necessity
ἡ δ᾽ ἔθεεν Βορέῃ ἀνέμῳ ἀκραέϊ καλῷ,
she and ran with-Boreas wind fresh-blowing fair
μέσσον ὑπὲρ Κρήτης· Ζεὺς δέ σφισι μήδετ᾽ ὄλεθρον.
mid-course beyond Crete Zeus but for-them devised destruction
ἀλλ᾽ ὅτε δὴ Κρήτην μὲν ἐλείπομεν, οὐδέ τις ἄλλη
but when indeed Crete indeed we-left nor any other
φαίνετο γαιάων, ἀλλ᾽ οὐρανὸς ἠδὲ θάλασσα,
appeared of-lands but sky and sea
δὴ τότε κυανέην νεφέλην ἔστησε Κρονίων
indeed then dark cloud set the-son-of-Cronus
νηὸς ὕπερ γλαφυρῆς, ἤχλυσε δὲ πόντος ὑπ᾽ αὐτῆς.
the-ship above hollow grew-dark and the-sea beneath it
Ζεὺς δ᾽ ἄμυδις βρόντησε καὶ ἔμβαλε νηῒ κεραυνόν·
Zeus and at-once thundered and hurled-at the-ship a-thunderbolt
ἡ δ᾽ ἐλελίχθη πᾶσα Διὸς πληγεῖσα κεραυνῷ,
she and whirled-round all of-Zeus struck by-the-thunderbolt
ἐν δὲ θείοιο πλῆτο· πέσον δ᾽ ἐκ νηὸς ἅπαντες.
in(-it) and with-sulfur was-filled fell and from the-ship all
οἱ δὲ κορώνῃσιν ἴκελοι περὶ νῆα μέλαιναν
they and to-sea-crows like around the-ship black
κύμασιν ἐμφορέοντο· θεὸς δ᾽ ἀποαίνυτο νόστον.
on-the-waves were-borne a-god and took-away homecoming

αὐτὰρ ἐμοὶ Ζεὺς αὐτός, ἔχοντί περ ἄλγεα θυμῷ,
but to-me Zeus himself having though pains in-heart
ἱστὸν ἀμαιμάκετον νηὸς κυανοπρῴροιο
the-mast huge of-the-ship dark-prowed
ἐν χείρεσσιν ἔθηκεν, ὅπως ἔτι πῆμα φύγοιμι.
in hands put so-that still woe I-might-escape
τῷ ῥα περιπλεχθεὶς φερόμην ὀλοοῖς ἀνέμοισιν.
to-it then clinging I-was-borne by-deadly winds
ἐννῆμαρ φερόμην, δεκάτῃ δέ με νυκτὶ μελαίνῃ
for-nine-days I-was-borne on-the-tenth and me night black
γαίῃ Θεσπρωτῶν πέλασεν μέγα κῦμα κυλίνδον.
to-the-land of-the-Thesprotians brought great wave rolling
ἔνθα με Θεσπρωτῶν βασιλεὺς ἐκομίσσατο Φείδων
there me of-the-Thesprotians king took-in Pheidon
ἥρως ἀπριάτην· τοῦ γὰρ φίλος υἱὸς ἐπελθὼν
the-hero without-ransom his for dear son coming-upon(-me)
αἴθρῃ καὶ καμάτῳ δεδμημένον ἦγεν ἐς οἶκον,
by-cold and by-weariness overcome led to the-house
χειρὸς ἀναστήσας, ὄφρ' ἵκετο δώματα πατρός·
by-the-hand having-raised(-me) until he-reached the-house of-father
ἀμφὶ δέ με χλαῖνάν τε χιτῶνά τε εἵματα ἕσσεν.
around and me cloak both tunic and as-clothes clothed
" Ἔνθ' Ὀδυσῆος ἐγὼ πυθόμην· κεῖνος γὰρ ἔφασκε
There of-Odysseus I learned he for said
ξεινίσαι ἠδὲ φιλῆσαι ἰόντ' ἐς πατρίδα γαῖαν,
to-have-entertained and to-have-befriended(-him) going to native land
καί μοι κτήματ' ἔδειξεν ὅσα ξυναγείρατ' Ὀδυσσεύς,
and to-me possessions showed as-many-as gathered Odysseus
χαλκόν τε χρυσόν τε πολύκμητόν τε σίδηρον.
bronze both gold and wrought-with-toil and iron

καί νύ κεν ἐς δεκάτην γενεὴν ἕτερόν γ' ἔτι βόσκοι·
and now — to the-tenth generation another indeed still would-feed
τόσσα οἱ ἐν μεγάροις κειμήλια κεῖτο ἄνακτος.
so-many his in the-halls treasures lay of-the-lord
τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα θεοῖο
him and to Dodona he-said to-have-gone so-that of-the-god
ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσαι,
from the-oak high-leafed of-Zeus the-will he-might-hear
ὅππως νοστήσει' Ἰθάκης ἐς πίονα δῆμον
how he-should-return of-Ithaca to rich land
ἤδη δὴν ἀπεών, ἢ ἀμφαδὸν ἦε κρυφηδόν.
now long being-away whether openly or secretly
ὤμοσε δὲ πρὸς ἔμ' αὐτόν, ἀποσπένδων ἐνὶ οἴκῳ,
he-swore and to me myself pouring-libations in the-house
νῆα κατειρύσθαι καὶ ἑπαρτέας ἔμμεν ἑταίρους,
the-ship to-have-been-drawn-down and ready to-be comrades
οἳ δή μιν πέμψουσι φίλην ἐς πατρίδα γαῖαν.
who indeed him will-convey dear to native land
ἀλλ' ἐμὲ πρὶν ἀπέπεμψε· τύχησε γὰρ ἐρχομένη νηῦς
but me before sent-off happened for going a-ship
ἀνδρῶν Θεσπρωτῶν ἐς Δουλίχιον πολύπυρον.
of-men Thesprotian to Dulichium rich-in-wheat
ἔνθ' ὅ γέ μ' ἠνώγει πέμψαι βασιλῆϊ Ἀκάστῳ
there he indeed me bade to-send to-king Acastus
ἐνδυκέως· τοῖσιν δὲ κακὴ φρεσὶν ἤνδανε βουλὴ
kindly to-them but evil in-minds pleased a-plan
ἀμφ' ἐμοί, ὄφρ' ἔτι πάγχυ δύης ἐπὶ πῆμα γενοίμην.
concerning me so-that yet wholly of-misery into woe I-might-come
ἀλλ' ὅτε γαίης πολλὸν ἀπέπλω ποντοπόρος νηῦς,
but when from-land far sailed-away seafaring ship

αὐτίκα δούλιον ἦμαρ ἐμοὶ περιμηχανόωντο.
at-once of-slavery the-day for-me they-contrived
ἐκ μέν με χλαῖνάν τε χιτῶνά τε εἵματ' ἔδυσαν,
off indeed me cloak both tunic and as-clothes stripped
ἀμφὶ δέ μοι ῥάκος ἄλλο κακὸν βάλον ἠδὲ χιτῶνα,
around and me rag another vile threw and tunic
ῥωγαλέα, τὰ καὶ αὐτὸς ἐν ὀφθαλμοῖσιν ὄρηαι·
tattered which also yourself in eyes see
ἑσπέριοι δ' Ἰθάκης εὐδειέλου ἔργ' ἀφίκοντο.
at-evening and of-Ithaca clear-seen the-tilled-fields they-reached
ἔνθ' ἐμὲ μὲν κατέδησαν ἐϋσσέλμῳ ἐνὶ νηΐ
there me indeed they-bound well-benched in ship
ὅπλῳ ἐϋστρεφέϊ στερεῶς, αὐτοὶ δ' ἀποβάντες
with-a-rope well-twisted firmly themselves and having-disembarked
ἐσσυμένως παρὰ θῖνα θαλάσσης δόρπον ἕλοντο.
hastily by the-shore of-the-sea supper took
αὐτὰρ ἐμοὶ δεσμὸν μὲν ἀνέγναμψαν θεοὶ αὐτοὶ
but for-me the-bond indeed undid the-gods themselves
ῥηϊδίως· κεφαλῇ δὲ κατὰ ῥάκος ἀμφικαλύψας,
easily on-head and down the-rag having-wrapped
ξεστὸν ἐφόλκαιον καταβὰς ἐπέλασσα θαλάσσῃ
polished gangway going-down I-brought-to the-sea
στῆθος, ἔπειτα δὲ χερσὶ διήρεσσ' ἀμφοτέρῃσι
chest then and with-hands I-rowed with-both
νηχόμενος, μάλα δ' ὦκα θύρηθ' ἔα ἀμφὶς ἐκείνων.
swimming very and swiftly outside I-was apart-from them
ἔνθ' ἀναβάς, ὅθι τε δρίος ἦν πολυανθέος ὕλης,
there having-climbed-up where — a-thicket was of-flowering wood

κείμην πεπτηώς. οἱ δὲ μεγάλα στενάχοντες
I-lay crouching they and greatly groaning
φοίτων· ἀλλ᾽ οὐ γάρ σφιν ἐφαίνετο κέρδιον εἶναι
went-about but not for to-them seemed better to-be
μαίεσθαι προτέρω, τοὶ μὲν πάλιν αὖτις ἔβαινον
to-search further they indeed back again went
νηὸς ἔπι γλαφυρῆς· ἐμὲ δ᾽ ἔκρυψαν θεοὶ αὐτοὶ
the-ship on hollow me and hid the-gods themselves
ῥηϊδίως, καί με σταθμῷ ἐπέλασσαν ἄγοντες
easily and me to-the-fold brought leading
ἀνδρὸς ἐπισταμένου· ἔτι γάρ νύ μοι αἶσα βιῶναι."
of-a-man understanding still for now for-me fate to-live

XIV.6 · EUMAEUS' DOUBT

Eumaeus pities the stranger but will not believe his news of Odysseus, since an Aetolian once deceived him with such a story. Odysseus proposes a wager: a cloak and passage to Dulichium if the master comes, a fall from the cliff if not. Eumaeus scorns killing a guest he has fed. The herdsmen return, and he sacrifices a fat boar, praying for Odysseus' return, and honors the guest with the chine.

Τὸν δ᾽ ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Him and answering you-addressed Eumaeus swineherd
" Ἆ δειλὲ ξείνων, ἦ μοι μάλα θυμὸν ὄρινας
Ah wretched of-strangers truly my very heart you-have-stirred
ταῦτα ἕκαστα λέγων, ὅσα δὴ πάθες ἠδ᾽ ὅσ᾽ ἀλήθης.
these-things each telling how-much indeed you-suffered and how-much you-wandered

ἀλλὰ τά γ' οὐ κατὰ κόσμον ὀΐομαι, οὐδέ με πείσεις
but these indeed not in order I-think nor me will-you-persuade
εἰπὼν ἀμφ' Ὀδυσῆϊ· τί σε χρὴ τοῖον ἐόντα
having-spoken about Odysseus why you must such being
μαψιδίως ψεύδεσθαι; ἐγὼ δ' εὖ οἶδα καὶ αὐτὸς
idly to-lie I but well know also myself
νόστον ἐμοῖο ἄνακτος, ὅ τ' ἤχθετο πᾶσι θεοῖσι
the-return of-my lord that — he-was-hated by-all gods
πάγχυ μάλ', ὅττι μιν οὔ τι μετὰ Τρώεσσι δάμασσαν
utterly very that him not at-all among the-Trojans they-overcame
ἠὲ φίλων ἐν χερσίν, ἐπεὶ πόλεμον τολύπευσε.
or of-friends in arms when war he-wound-up
τῷ κέν οἱ τύμβον μὲν ἐποίησαν Παναχαιοί,
then — for-him a-barrow indeed would-have-made the-Panachaeans
ἠδέ κε καὶ ᾧ παιδὶ μέγα κλέος ἤρατ' ὀπίσσω.
and — also for-his-own son great glory he-would-have-won hereafter
νῦν δέ μιν ἀκλειῶς ἅρπυιαι ἀνηρείψαντο.
now but him ingloriously the-storm-winds have-snatched-up
αὐτὰρ ἐγὼ παρ' ὕεσσιν ἀπότροπος· οὐδὲ πόλινδε
but I beside the-swine apart nor to-the-city
ἔρχομαι, εἰ μή πού τι περίφρων Πηνελόπεια
go unless — somehow at-all wise Penelope
ἐλθέμεν ὀτρύνῃσιν, ὅτ' ἀγγελίη ποθὲν ἔλθῃ.
to-come bids when news from-somewhere comes
ἀλλ' οἱ μὲν τὰ ἕκαστα παρήμενοι ἐξερέουσιν,
but they indeed the-things each sitting-by question
ἠμὲν οἳ ἄχνυνται δὴν οἰχομένοιο ἄνακτος,
both who grieve long gone for-the-lord
ἠδ' οἳ χαίρουσιν βίοτον νήποινον ἔδοντες·
and who rejoice the-livelihood unpaid eating

ἀλλ᾽ ἐμοὶ οὐ φίλον ἐστὶ μεταλλῆσαι καὶ ἐρέσθαι,
but to-me not dear is to-inquire and to-ask
ἐξ οὗ δή μ᾽ Αἰτωλὸς ἀνὴρ ἐξήπαφε μύθῳ,
from when indeed me an-Aetolian man deceived with-a-tale
ὅς ῥ᾽ ἄνδρα κτείνας, πολλὴν ἐπὶ γαῖαν ἀληθείς, 380
who then a-man having-killed much over earth having-wandered
ἦλθεν ἐμὰ πρὸς δώματ᾽· ἐγὼ δέ μιν ἀμφαγάπαζον.
came my to house I and him welcomed
φῆ δέ μιν ἐν Κρήτεσσι παρ᾽ Ἰδομενῆϊ ἰδέσθαι
he-said and him among the-Cretans beside Idomeneus to-have-seen
νῆας ἀκειόμενον, τάς οἱ ξυνέαξαν ἄελλαι·
ships mending which his shattered storms
καὶ φάτ᾽ ἐλεύσεσθαι ἢ ἐς θέρος ἢ ἐς ὀπώρην,
and said he-would-come either by summer or by autumn
πολλὰ χρήματ᾽ ἄγοντα, σὺν ἀντιθέοις ἑτάροισι. 385
much wealth bringing with godlike comrades
καὶ σύ, γέρον πολυπενθές, ἐπεί σέ μοι ἤγαγε δαίμων,
and you old-man much-sorrowing since you to-me brought a-god
μήτε τί μοι ψεύδεσσι χαρίζεο μήτε τι θέλγε·
neither at-all me with-lies gratify nor at-all charm
οὐ γὰρ τοὔνεκ᾽ ἐγώ σ᾽ αἰδέσσομαι οὐδὲ φιλήσω,
not for for-that-reason I you will-respect nor will-befriend
ἀλλὰ Δία ξένιον δείσας αὐτόν τ᾽ ἐλεαίρων."
but Zeus of-strangers fearing yourself and pitying
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς· 390
Him and answering addressed of-many-wiles Odysseus
" Ἦ μάλα τίς τοι θυμὸς ἐνὶ στήθεσσιν ἄπιστος,
Truly very some your heart in breast unbelieving
οἷόν σ᾽ οὐδ᾽ ὀμόσας περ ἐπήγαγον οὐδέ σε πείθω.
such you not-even having-sworn though I-brought-over nor you persuade

ἀλλ᾽ ἄγε νῦν ῥήτρην ποιησόμεθ᾽· αὐτὰρ ὄπισθε
but come now a-bargain let-us-make but hereafter
μάρτυροι ἀμφοτέροισι θεοί, τοὶ Ὄλυμπον ἔχουσιν.
witnesses for-both the-gods who Olympus hold
εἰ μέν κεν νοστήσῃ ἄναξ τεὸς ἐς τόδε δῶμα,
if indeed — returns lord your to this house
ἕσσας με χλαῖνάν τε χιτῶνά τε εἵματα πέμψαι
having-clothed me cloak both tunic and as-clothes send
Δουλίχιόνδ᾽ ἰέναι, ὅθι μοι φίλον ἔπλετο θυμῷ·
to-Dulichium to-go where to-me dear is in-heart
εἰ δέ κε μὴ ἔλθῃσιν ἄναξ τεὸς ὡς ἀγορεύω,
if but — not comes lord your as I-say
δμῶας ἐπισσεύας βαλέειν μεγάλης κατὰ πέτρης,
servants setting-on throw great down rock
ὄφρα καὶ ἄλλος πτωχὸς ἀλεύεται ἠπεροπεύειν."
so-that also another beggar may-shun to-deceive

Τὸν δ᾽ ἀπαμειβόμενος προσεφώνεε δῖος ὑφορβός·
Him and answering addressed noble swineherd
"Ξεῖν᾽, οὕτω γάρ κέν μοι ἐϋκλείη τ᾽ ἀρετή τε
Stranger so for — for-me good-fame both virtue and
εἴη ἐπ᾽ ἀνθρώπους ἅμα τ᾽ αὐτίκα καὶ μετέπειτα,
would-be among men together both now and afterward
ὅς σ᾽ ἐπεὶ ἐς κλισίην ἄγαγον καὶ ξείνια δῶκα,
who you after to the-hut I-led and gifts-of-hospitality gave
αὖτις δὲ κτείναιμι φίλον τ᾽ ἀπὸ θυμὸν ἑλοίμην·
again and should-kill dear and from life should-take
πρόφρων κεν δὴ ἔπειτα Δία Κρονίωνα λιτοίμην.
readily — indeed then Zeus son-of-Cronus I-would-pray-to

νῦν δ᾽ ὥρη δόρποιο· τάχιστά μοι ἔνδον ἑταῖροι
now and the-hour of-supper soonest my inside comrades
εἶεν, ἵν᾽ ἐν κλισίῃ λαρὸν τετυκοίμεθα δόρπον.᾽᾽
may-be so-that in the-hut tasty we-may-make supper
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
So they indeed such-things to each-other spoke
ἀγχίμολον δὲ σύες τε καὶ ἀνέρες ἦλθον ὑφορβοί.
near and swine both and men came herdsmen
τὰς μὲν ἄρα ἔρξαν κατὰ ἤθεα κοιμηθῆναι,
them indeed then they-penned in haunts to-sleep
κλαγγὴ δ᾽ ἄσπετος ὦρτο συῶν αὐλιζομενάων
a-din and unspeakable arose of-swine being-penned
αὐτὰρ ὁ οἷς ἑτάροισιν ἐκέκλετο δῖος ὑφορβός·
but he to-his-own comrades called noble swineherd
᾽᾽ Ἄξεθ᾽ ὑῶν τὸν ἄριστον, ἵνα ξείνῳ ἱερεύσω
Bring of-swine the best so-that for-the-stranger I-may-sacrifice
τηλεδαπῷ· πρὸς δ᾽ αὐτοὶ ὀνησόμεθ᾽, οἵ περ ὀϊζὺν
from-afar besides and ourselves will-benefit who indeed misery
δὴν ἔχομεν πάσχοντες ὑῶν ἕνεκ᾽ ἀργιοδόντων·
long have suffering of-swine for-the-sake-of white-tusked
ἄλλοι δ᾽ ἡμέτερον κάματον νήποινον ἔδουσιν.᾽᾽
others and our toil unpaid eat
Ὣς ἄρα φωνήσας κέασε ξύλα νηλεῖ χαλκῷ,
So then having-spoken he-split wood with-pitiless bronze
οἱ δ᾽ ὗν εἰσῆγον μάλα πίονα πενταέτηρον.
they and a-boar brought-in very fat five-year-old
τὸν μὲν ἔπειτ᾽ ἔστησαν ἐπ᾽ ἐσχάρῃ· οὐδὲ συβώτης
him indeed then they-set at the-hearth nor the-swineherd
λήθετ᾽ ἄρ᾽ ἀθανάτων· φρεσὶ γὰρ κέχρητ᾽ ἀγαθῇσιν·
forgot then the-immortals with-mind for he-was-endowed good

ἀλλ᾽ ὅγ᾽ ἀπαρχόμενος κεφαλῆς τρίχας ἐν πυρὶ βάλλεν
but he beginning-the-offering of-the-head hairs in fire cast
ἀργιόδοντος ὑός, καὶ ἐπεύχετο πᾶσι θεοῖσιν
white-tusked of-the-boar and prayed to-all gods
νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε.
to-return Odysseus shrewd to-his-own home
κόψε δ᾽ ἀνασχόμενος σχίζῃ δρυός, ἣν λίπε κείων·
he-struck and raising(-it) with-a-billet of-oak which he-left splitting
τὸν δ᾽ ἔλιπε ψυχή. τοὶ δ᾽ ἔσφαξάν τε καὶ εὗσαν·
him and left life they and slaughtered both and singed
αἶψα δέ μιν διέχευαν· ὁ δ᾽ ὠμοθετεῖτο συβώτης,
quickly and him cut-up he and laid-raw-pieces the-swineherd
πάντων ἀρχόμενος μελέων, ἐς πίονα δημόν,
from-all beginning limbs in rich fat
καὶ τὰ μὲν ἐν πυρὶ βάλλε, παλύνας ἀλφίτου ἀκτῇ,
and these indeed in fire cast having-sprinkled of-barley with-meal
μίστυλλόν τ᾽ ἄρα τἆλλα καὶ ἀμφ᾽ ὀβελοῖσιν ἔπειραν,
cut-up both then the-rest and around spits pierced
ὤπτησάν τε περιφραδέως ἐρύσαντό τε πάντα,
roasted both carefully drew-off and all
βάλλον δ᾽ εἰν ἐλεοῖσιν ἀολλέα· ἂν δὲ συβώτης
threw and on platters together up and the-swineherd
ἵστατο δαιτρεύσων· περὶ γὰρ φρεσὶν αἴσιμα ᾔδη.
stood to-carve exceedingly for in-mind fitting-things he-knew
καὶ τὰ μὲν ἕπταχα πάντα διεμοιρᾶτο δαΐζων·
and them indeed in-seven all divided cutting
τὴν μὲν ἴαν νύμφῃσι καὶ Ἑρμῇ, Μαιάδος υἱεῖ,
the indeed one for-the-nymphs and for-Hermes of-Maia son
θῆκεν ἐπευξάμενος, τὰς δ᾽ ἄλλας νεῖμεν ἑκάστῳ·
set praying the and others he-distributed to-each

νώτοισιν δ' Ὀδυσῆα διηνεκέεσσι γέραιρεν
with-chines and Odysseus long honored
ἀργιόδοντος ὑός, κύδαινε δὲ θυμὸν ἄνακτος·
white-tusked of-the-boar glorified and the-heart of-the-lord
καί μιν φωνήσας προσέφη πολύμητις Ὀδυσσεύς·
and him having-spoken addressed of-many-wiles Odysseus
"Αἴθ' οὕτως, Εὔμαιε, φίλος Διὶ πατρὶ γένοιο
Would-that so Eumaeus dear to-Zeus father you-might-be
ὡς ἐμοί, ὅττι τε τοῖον ἐόντ' ἀγαθοῖσι γεραίρεις."
as to-me that — such being with-good-things you-honor
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Him and answering you-addressed Eumaeus swineherd
" Ἔσθιε, δαιμόνιε ξείνων, καὶ τέρπεο τοῖσδε,
Eat strange-man of-strangers and delight in-these
οἷα πάρεστι· θεὸς δὲ τὸ μὲν δώσει, τὸ δ' ἐάσει,
such-as are-at-hand a-god and this indeed will-give that and will-let-be
ὅττι κεν ᾧ θυμῷ ἐθέλῃ· δύναται γὰρ ἅπαντα."
whatever — in-his-own heart he-wishes he-can for all-things
Ἦ ῥα καὶ ἄργματα θῦσε θεοῖς αἰειγενέτῃσι,
He-spoke then and the-first-offerings burned to-the-gods ever-living
σπείσας δ' αἴθοπα οἶνον Ὀδυσσῆϊ πτολιπόρθῳ
having-poured-libation and sparkling wine to-Odysseus sacker-of-cities
ἐν χείρεσσιν ἔθηκεν· ὁ δ' ἕζετο ᾗ παρὰ μοίρῃ.
in hands put he and sat his-own by portion
σῖτον δέ σφιν ἔνειμε Μεσαύλιος, ὅν ῥα συβώτης
bread and to-them distributed Mesaulius whom then the-swineherd
αὐτὸς κτήσατο οἷος ἀποιχομένοιο ἄνακτος,
himself had-acquired alone the-departed lord's
νόσφιν δεσποίνης καὶ Λαέρταο γέροντος·
apart-from the-mistress and Laertes old

πὰρ δ᾽ ἄρα μιν Ταφίων πρίατο κτεάτεσσιν ἑοῖσιν.
from and then him the-Taphians he-bought with-possessions his-own
οἱ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
they and on food ready lying-before hands put-forth
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
but when of-drink and of-food out desire they-put
455 σῖτον μέν σφιν ἀφεῖλε Μεσαύλιος, οἱ δ᾽ ἐπὶ κοῖτον
bread indeed from-them took-away Mesaulius they and to bed
σίτου καὶ κρειῶν κεκορημένοι ἐσσεύοντο.
with-bread and with-meats sated hastened

XIV.7 · THE TALE OF THE CLOAK

The night is cold and wet. To test Eumaeus, Odysseus tells how he once lay in an ambush before Troy without a cloak, and how Odysseus got him one by a trick, sending Thoas running to the ships. Eumaeus praises the tale, makes him a bed by the fire, and covers him with a thick cloak, then goes out armed to sleep beside the swine.

Νὺξ δ᾽ ἄρ᾽ ἐπῆλθε κακὴ σκοτομήνιος, ὗε δ᾽ ἄρα Ζεὺς
Night and then came-on evil moonless rained and then Zeus
πάννυχος, αὐτὰρ ἄη Ζέφυρος μέγας αἰὲν ἔφυδρος.
all-night but blew Zephyrus great ever wet
τοῖς δ᾽ Ὀδυσεὺς μετέειπε, συβώτεω πειρητίζων,
to-them and Odysseus spoke-among the-swineherd testing
460 εἴ πώς οἱ ἐκδὺς χλαῖναν πόροι, ἤ τιν᾽ ἑταίρων
if somehow for-him stripping-off cloak he-would-give or some of-comrades
ἄλλον ἐποτρύνειεν, ἐπεί ἑο κήδετο λίην·
another would-urge since for-him he-cared exceedingly

"Κέκλυθι νῦν, Εὔμαιε καὶ ἄλλοι πάντες ἑταῖροι,
Hear now Eumaeus and others all comrades
εὐξάμενός τι ἔπος ἐρέω· οἶνος γὰρ ἀνώγει
boasting some word I-will-say wine for bids
ἠλεός, ὅς τ' ἐφέηκε πολύφρονά περ μάλ' ἀεῖσαι
crazing which — sets-on wise though very to-sing
καί θ' ἁπαλὸν γελάσαι, καί τ' ὀρχήσασθαι ἀνῆκε,
and — softly to-laugh and — to-dance sets-on
καί τι ἔπος προέηκεν ὅ περ τ' ἄρρητον ἄμεινον.
and some word throws-out which indeed — unspoken better
ἀλλ' ἐπεὶ οὖν τὸ πρῶτον ἀνέκραγον, οὐκ ἐπικεύσω.
but since then the first I-have-cried-out not I-will-hide(-it)
εἴθ' ὣς ἡβώοιμι βίη τέ μοι ἔμπεδος εἴη,
would-that so I-were-young strength and to-me firm were
ὡς ὅθ' ὑπὸ Τροίην λόχον ἤγομεν ἀρτύναντες.
as when under Troy an-ambush we-led having-prepared
ἡγείσθην δ' Ὀδυσεύς τε καὶ Ἀτρεΐδης Μενέλαος,
led and Odysseus both and son-of-Atreus Menelaus
τοῖσι δ' ἅμα τρίτος ἦρχον ἐγών· αὐτοὶ γὰρ ἄνωγον.
with-them and together third led I themselves for bade
ἀλλ' ὅτε δή ῥ' ἱκόμεσθα ποτὶ πτόλιν αἰπύ τε τεῖχος,
but when indeed then we-came to the-city steep and the-wall
ἡμεῖς μὲν περὶ ἄστυ κατὰ ῥωπήϊα πυκνά,
we indeed around the-town among thickets dense
ἂν δόνακας καὶ ἕλος, ὑπὸ τεύχεσι πεπτηῶτες
among reeds and marsh under arms crouching
κείμεθα. νὺξ δ' ἄρ' ἐπῆλθε κακὴ Βορέαο πεσόντος,
lay night and then came-on evil of-Boreas having-fallen
πηγυλίς· αὐτὰρ ὕπερθε χιὼν γένετ' ἠΰτε πάχνη,
frosty but from-above snow came like hoarfrost

ψυχρή, καὶ σακέεσσι περιτρέφετο κρύσταλλος.
cold and on-the-shields formed-around ice
ἔνθ' ἄλλοι πάντες χλαίνας ἔχον ἠδὲ χιτῶνας,
there others all cloaks had and tunics
εὗδον δ' εὔκηλοι, σάκεσιν εἰλυμένοι ὤμους·
slept and at-ease with-shields wrapped shoulders
480 αὐτὰρ ἐγὼ χλαῖναν μὲν ἰὼν ἑτάροισιν ἔλειπον
but I the-cloak indeed going with-comrades left
ἀφραδίῃς, ἐπεὶ οὐκ ἐφάμην ῥιγωσέμεν ἔμπης,
through-folly since not I-thought to-be-cold nevertheless
ἀλλ' ἑπόμην σάκος οἷον ἔχων καὶ ζῶμα φαεινόν.
but I-followed shield only having and kilt shining
ἀλλ' ὅτε δὴ τρίχα νυκτὸς ἔην, μετὰ δ' ἄστρα βεβήκει,
but when indeed the-third-part of-the-night it-was past and the-stars had-gone
καὶ τότ' ἐγὼν Ὀδυσῆα προσηύδων ἐγγὺς ἐόντα
and then I Odysseus addressed near being
485 ἀγκῶνι νύξας· ὁ δ' ἄρ' ἐμμαπέως ὑπάκουσε·
with-elbow nudging he and then readily listened
"'Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Zeus-born son-of-Laertes of-many-devices Odysseus
οὔ τοι ἔτι ζωοῖσι μετέσσομαι, ἀλλά με χεῖμα
not you-know longer among-the-living shall-I-be but me the-cold
δάμναται· οὐ γὰρ ἔχω χλαῖναν· παρά μ' ἤπαφε δαίμων
overcomes not for I-have a-cloak astray me beguiled a-god
οἰοχίτων' ἔμεναι· νῦν δ' οὐκέτι φυκτὰ πέλονται.'
with-tunic-only to-be now and no-longer escapes are
490 "Ὣς ἐφάμην, ὁ δ' ἔπειτα νόον σχέθε τόνδ' ἐνὶ θυμῷ,
So I-spoke he and then a-plan held this in heart
οἷος κεῖνος ἔην βουλευέμεν ἠδὲ μάχεσθαι·
such he was to-counsel and to-fight

φθεγξάμενος δ' ὀλίγῃ ὀπί με πρὸς μῦθον ἔειπε·
speaking and with-small voice me to speech said
'Σίγα νῦν, μή τίς σευ Ἀχαιῶν ἄλλος ἀκούσῃ.'
Be-silent now lest any you of-the-Achaeans other hear
" Ἦ καὶ ἐπ' ἀγκῶνος κεφαλὴν σχέθεν εἶπέ τε μῦθον·
He-spoke and on elbow head held said and word
'Κλῦτε, φίλοι· θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος.
Hear friends divine to-me in-sleep came a-dream
λίην γὰρ νηῶν ἑκὰς ἤλθομεν· ἀλλά τις εἴη
too for from-the-ships far we-have-come but someone may-be
εἰπεῖν Ἀτρεΐδῃ Ἀγαμέμνονι, ποιμένι λαῶν,
to-tell to-son-of-Atreus Agamemnon shepherd of-the-people
εἰ πλέονας παρὰ ναῦφιν ἐποτρύνειε νέεσθαι.'
if more from the-ships he-might-urge to-come
" Ὣς ἔφατ', ὦρτο δ' ἔπειτα Θόας, Ἀνδραίμονος υἱός,
So he-spoke rose and then Thoas of-Andraemon son
καρπαλίμως, ἀπὸ δὲ χλαῖναν θέτο φοινικόεσσαν,
swiftly off and cloak put crimson
βῆ δὲ θέειν ἐπὶ νῆας· ἐγὼ δ' ἐνὶ εἵματι κείνου
went and to-run to the-ships I and in the-garment of-him
κείμην ἀσπασίως, φάε δὲ χρυσόθρονος Ἠώς.
lay gladly shone and golden-throned Dawn
ὣς νῦν ἠβώοιμι βίη τέ μοι ἔμπεδος εἴη·
so now I-were-young strength and to-me firm were
δοίη κέν τις χλαῖναν ἐνὶ σταθμοῖσι συφορβῶν,
would-give — someone a-cloak in the-farmsteads of-the-swineherds
ἀμφότερον, φιλότητι καὶ αἰδοῖ φωτὸς ἑῆος·
both from-friendship and from-respect for-a-man good
νῦν δέ μ' ἀτιμάζουσι κακὰ χροΐ εἵματ' ἔχοντα."
now but me they-dishonor bad on-skin clothes having

Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Him and answering you-addressed Eumaeus swineherd
" Ὦ γέρον, αἶνος μέν τοι ἀμύμων, ὃν κατέλεξας,
O old-man the-tale indeed you-know blameless which you-have-told
οὐδέ τί πω παρὰ μοῖραν ἔπος νηκερδὲς ἔειπες·
nor at-all yet beyond due word profitless have-you-spoken
τῷ οὔτ' ἐσθῆτος δευήσεαι οὔτε τευ ἄλλου,
therefore neither of-clothing will-you-lack nor of-any other
ὧν ἐπέοιχ' ἱκέτην ταλαπείριον ἀντιάσαντα,
which befits a-suppliant much-suffering meeting(-one)
νῦν· ἀτὰρ ἠῶθέν γε τὰ σὰ ῥάκεα δνοπαλίξεις.
now but at-dawn indeed the your rags you-will-shake-about
οὐ γὰρ πολλαὶ χλαῖναι ἐπημοιβοί τε χιτῶνες
not for many cloaks for-change and tunics
ἐνθάδε ἔννυσθαι, μία δ' οἴη φωτὶ ἑκάστῳ.
here to-wear one but only for-man each
αὐτὰρ ἐπὴν ἔλθῃσιν Ὀδυσσῆος φίλος υἱός,
but when comes of-Odysseus dear son
αὐτός τοι χλαῖνάν τε χιτῶνά τε εἵματα δώσει,
himself to-you cloak both tunic and as-clothes will-give
πέμψει δ' ὅππῃ σε κραδίη θυμός τε κελεύει."
will-send and wherever you heart spirit and bids
Ὣς εἰπὼν ἀνόρουσε, τίθει δ' ἄρα οἱ πυρὸς ἐγγὺς
So having-spoken he-sprang-up set and then for-him of-the-fire near
εὐνήν, ἐν δ' ὀΐων τε καὶ αἰγῶν δέρματ' ἔβαλλεν.
a-bed on(-it) and of-sheep both and of-goats skins threw

ἔνθ᾽ Ὀδυσεὺς κατέλεκτ᾽· ἐπὶ δὲ χλαῖναν βάλεν αὐτῷ
there Odysseus lay-down over and a-cloak threw on-him
πυκνὴν καὶ μεγάλην, ἥ οἱ παρεκέσκετ᾽ ἀμοιβάς,
thick and great which for-him lay-by as-a-change
ἔννυσθαι ὅτε τις χειμὼν ἔκπαγλος ὄροιτο.
to-wear when some storm terrible should-arise
Ὣς ὁ μὲν ἔνθ᾽ Ὀδυσεὺς κοιμήσατο, τοὶ δὲ παρ᾽ αὐτὸν
So he indeed there Odysseus slept they and beside him
ἄνδρες κοιμήσαντο νεηνίαι· οὐδὲ συβώτῃ
men slept young nor for-the-swineherd
ἤνδανεν αὐτόθι κοῖτος, ὑῶν ἄπο κοιμηθῆναι,
was-pleasing there a-bed the-swine from to-sleep
ἀλλ᾽ ὅ γ᾽ ἄρ᾽ ἔξω ἰὼν ὡπλίζετο· χαῖρε δ᾽ Ὀδυσσεύς,
but he indeed then outside going armed-himself rejoiced and Odysseus
ὅττι ῥά οἱ βιότου περικήδετο νόσφιν ἐόντος.
that then his livelihood cared-greatly-for away being
πρῶτον μὲν ξίφος ὀξὺ περὶ στιβαροῖς βάλετ᾽ ὤμοις,
first indeed a-sword sharp around sturdy he-threw shoulders
ἀμφὶ δὲ χλαῖναν ἑέσσατ᾽ ἀλεξάνεμον, μάλα πυκνήν,
around and a-cloak he-put-on wind-sheltering very thick
ἂν δὲ νάκην ἕλετ᾽ αἰγὸς ἐϋτρεφέος μεγάλοιο,
up and a-fleece took of-a-goat well-fed great
εἵλετο δ᾽ ὀξὺν ἄκοντα, κυνῶν ἀλκτῆρα καὶ ἀνδρῶν.
took and sharp javelin of-dogs warder and of-men
βῆ δ᾽ ἴμεναι κείων ὅθι περ σύες ἀργιόδοντες
went and to-go to-lie where indeed swine white-tusked
πέτρῃ ὕπο γλαφυρῇ εὗδον, Βορέω ὑπ᾽ ἰωγῇ.
a-rock under hollow slept of-Boreas under shelter

BOOK XV

XV.1 · ATHENA IN SPARTA

Athena comes to Sparta, where Telemachus lies awake beside Nestor's son, and urges him home: Penelope's father and brothers press her to marry Eurymachus, and a woman builds up her new husband's house and forgets her first husband and children. The best of the suitors lie in ambush in the strait between Ithaca and Samos, so he must sail by night and away from the islands, and go first to the swineherd.

Ἡ δ' εἰς εὐρύχορον Λακεδαίμονα Παλλὰς Ἀθήνη
She and to spacious Lacedaemon Pallas Athena
ᾤχετ', Ὀδυσσῆος μεγαθύμου φαίδιμον υἱὸν
went of-Odysseus great-hearted the-glorious son
νόστου ὑπομνήσουσα καὶ ὀτρυνέουσα νέεσθαι.
of-return to-remind and to-urge to-go
εὗρε δὲ Τηλέμαχον καὶ Νέστορος ἀγλαὸν υἱὸν
found and Telemachus and of-Nestor glorious son
εὕδοντ' ἐν προδόμῳ Μενελάου κυδαλίμοιο, 5
sleeping in the-forecourt of-Menelaus glorious
ἦ τοι Νεστορίδην μαλακῷ δεδμημένον ὕπνῳ·
truly indeed the-son-of-Nestor soft overcome by-sleep
Τηλέμαχον δ' οὐχ ὕπνος ἔχε γλυκύς, ἀλλ' ἐνὶ θυμῷ
Telemachus but not sleep held sweet but in heart
νύκτα δι' ἀμβροσίην μελεδήματα πατρὸς ἔγειρεν.
night through immortal anxieties for-father kept-awake
ἀγχοῦ δ' ἱσταμένη προσέφη γλαυκῶπις Ἀθήνη·
near and standing addressed flashing-eyed Athena

"Τηλέμαχ', οὐκέτι καλὰ δόμων ἄπο τῆλ' ἀλάλησαι,
Telemachus no-longer well from-home away far you-wander
κτήματά τε προλιπὼν ἄνδρας τ' ἐν σοῖσι δόμοισιν
possessions both having-left men and in your house
οὕτω ὑπερφιάλους· μή τοι κατὰ πάντα φάγωσι
so overbearing lest your down all they-eat
κτήματα δασσάμενοι, σὺ δὲ τηϋσίην ὁδὸν ἔλθῃς.
possessions having-divided you and vain journey go
ἀλλ' ὄτρυνε τάχιστα βοὴν ἀγαθὸν Μενέλαον
but urge most-quickly at-the-war-cry good Menelaus
πεμπέμεν, ὄφρ' ἔτι οἴκοι ἀμύμονα μητέρα τέτμῃς.
to-send(-you) so-that still at-home blameless mother you-may-find
ἤδη γάρ ῥα πατήρ τε κασίγνητοί τε κέλονται
already for then father both brothers and bid(-her)
Εὐρυμάχῳ γήμασθαι· ὁ γὰρ περιβάλλει ἅπαντας
Eurymachus to-marry he for surpasses all
μνηστῆρας δώροισι καὶ ἐξώφελλεν ἔεδνα·
suitors in-gifts and has-increased bride-gifts
μή νύ τι σεῦ ἀέκητι δόμων ἐκ κτῆμα φέρηται.
lest now some of-you against-the-will the-house from possession she-carry
οἶσθα γὰρ οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός·
you-know for what-kind heart in breast of-a-woman
κείνου βούλεται οἶκον ὀφέλλειν ὅς κεν ὀπυίῃ,
of-him she-wishes the-house to-increase who — weds(-her)
παίδων δὲ προτέρων καὶ κουριδίοιο φίλοιο
of-children and former and of-wedded dear
οὐκέτι μέμνηται τεθνηότος οὐδὲ μεταλλᾷ.
no-longer remembers dead nor asks

ἀλλὰ σύ γ' ἐλθὼν αὐτὸς ἐπιτρέψειας ἕκαστα
but you indeed going yourself should-entrust each-thing
δμῳάων ἥ τίς τοι ἀρίστη φαίνεται εἶναι,
of-the-maids who any to-you best seems to-be
εἰς ὅ κέ τοι φήνωσι θεοὶ κυδρὴν παράκοιτιν.
until (the-time)-when — to-you show the-gods glorious wife
ἄλλο δέ τοί τι ἔπος ἐρέω, σὺ δὲ σύνθεο θυμῷ.
other and to-you some word I-will-say you and lay(-it)-up in-heart
μνηστήρων σ' ἐπιτηδὲς ἀριστῆες λοχόωσιν
of-the-suitors you purposely the-best lie-in-wait-for
ἐν πορθμῷ Ἰθάκης τε Σάμοιό τε παιπαλοέσσης,
in the-strait of-Ithaca both of-Samos and rugged
ἱέμενοι κτεῖναι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι.
eager to-kill(-you) before native land to-reach
ἀλλὰ τά γ' οὐκ ὀΐω· πρὶν καί τινα γαῖα καθέξει
but these-things indeed not I-think before even some the-earth will-hold
ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.
of-men suitors who your livelihood devour
ἀλλὰ ἑκὰς νήσων ἀπέχειν εὐεργέα νῆα,
but far from-the-islands keep-away well-built ship
νυκτὶ δ' ὁμῶς πλείειν· πέμψει δέ τοι οὖρον ὄπισθεν
by-night and likewise sail will-send and to-you a-fair-wind behind
ἀθανάτων ὅς τίς σε φυλάσσει τε ῥύεταί τε.
of-the-immortals who any you guards both protects and
αὐτὰρ ἐπὴν πρώτην ἀκτὴν Ἰθάκης ἀφίκηαι,
but when first shore of-Ithaca you-reach
νῆα μὲν ἐς πόλιν ὀτρῦναι καὶ πάντας ἑταίρους,
the-ship indeed to the-city send-on and all comrades
αὐτὸς δὲ πρώτιστα συβώτην εἰσαφικέσθαι,
yourself and first-of-all the-swineherd go-to

ὅς τοι ὑῶν ἐπίουρος, ὁμῶς δέ τοι ἤπια οἶδεν.
who your of-the-swine keeper alike and to-you kindly-things knows
ἔνθα δὲ νύκτ᾽ ἀέσαι· τὸν δ᾽ ὀτρῦναι πόλιν εἴσω
there and the-night spend him and send city into
ἀγγελίην ἐρέοντα περίφρονι Πηνελοπείῃ,
news to-tell to-wise Penelope
οὕνεκά οἱ σῶς ἐσσὶ καὶ ἐκ Πύλου εἰλήλουθας.”
that to-her safe you-are and from Pylos have-come

XV.2 · THE GIFTS OF MENELAUS

Telemachus wants to leave at once but is persuaded to wait for the gifts. Menelaus agrees to send him off, saying a host should neither keep a guest who wants to go nor hurry one who wants to stay, and offers to escort him through Hellas, which Telemachus declines. Menelaus gives him a two-handled cup and a silver mixing bowl made by Hephaestus, and Helen brings the largest of her robes.

Ἡ μὲν ἄρ᾽ ὣς εἰποῦσ᾽ ἀπέβη πρὸς μακρὸν Ὄλυμπον,
She indeed then so having-spoken departed to high Olympus
αὐτὰρ ὁ Νεστορίδην ἐξ ἡδέος ὕπνου ἔγειρεν
but he the-son-of-Nestor from sweet sleep woke
λὰξ ποδὶ κινήσας, καί μιν πρὸς μῦθον ἔειπεν·
with-the-heel with-foot stirring and him to speech said
“ Ἔγρεο, Νεστορίδη Πεισίστρατε, μώνυχας ἵππους
Wake son-of-Nestor Peisistratus single-hoofed horses
ζεῦξον ὑφ᾽ ἅρματ᾽ ἄγων, ὄφρα πρήσσωμεν ὁδοῖο.”
yoke under the-chariot leading so-that we-may-make the-journey

Τὸν δ' αὖ Νεστορίδης Πεισίστρατος ἀντίον ηὔδα·
Him and in-turn son-of-Nestor Peisistratus in-reply spoke
"Τηλέμαχ', οὔ πως ἔστιν ἐπειγομένους περ ὁδοῖο
Telemachus not in-any-way it-is-possible hastening though for-the-journey
νύκτα διὰ δνοφερὴν ἐλάαν· τάχα δ' ἔσσεται ἠώς.
night through dark to-drive soon and will-be dawn
ἀλλὰ μέν' εἰς ὅ κε δῶρα φέρων ἐπιδίφρια θήῃ
but wait until (the-time)-when — gifts bringing on-the-chariot puts
ἥρως Ἀτρείδης, δουρικλειτὸς Μενέλαος,
the-hero son-of-Atreus spear-famed Menelaus
καὶ μύθοις ἀγανοῖσι παραυδήσας ἀποπέμψῃ.
and with-words gentle speaking-kindly sends-off(-us)
τοῦ γάρ τε ξεῖνος μιμνήσκεται ἤματα πάντα
him for — a-guest remembers days all
ἀνδρὸς ξεινοδόκου, ὅς κεν φιλότητα παράσχῃ."
the-man host who — kindness provides
Ὣς ἔφατ', αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν Ἠώς.
So he-spoke at-once and golden-throned came Dawn
ἀγχίμολον δέ σφ' ἦλθε βοὴν ἀγαθὸς Μενέλαος,
near and to-them came at-the-war-cry good Menelaus
ἀνστὰς ἐξ εὐνῆς, Ἑλένης πάρα καλλικόμοιο.
having-risen from the-bed of-Helen beside lovely-haired
τὸν δ' ὡς οὖν ἐνόησεν Ὀδυσσῆος φίλος υἱός,
him and when then noticed of-Odysseus dear son

σπερχόμενός ῥα χιτῶνα περὶ χροΐ σιγαλόεντα
hastening then a-tunic around skin glossy
δῦνεν, καὶ μέγα φᾶρος ἐπὶ στιβαροῖς βάλετ' ὤμοις
put-on and great cloak on sturdy he-threw shoulders
ἥρως, βῆ δὲ θύραζε, παριστάμενος δὲ προσηύδα
the-hero went and to-the-door standing-by and addressed
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο·
Telemachus dear son of-Odysseus godlike
"Ἀτρεΐδη Μενέλαε διοτρεφές, ὄρχαμε λαῶν,
Son-of-Atreus Menelaus Zeus-nurtured leader of-the-people
ἤδη νῦν μ' ἀπόπεμπε φίλην ἐς πατρίδα γαῖαν·
already now me send-away dear to native land
ἤδη γάρ μοι θυμὸς ἐέλδεται οἴκαδ' ἱκέσθαι."
already for my heart longs home to-come
Τὸν δ' ἠμείβετ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος·
Him and answered then at-the-war-cry good Menelaus
"Τηλέμαχ', οὔ τί σ' ἐγώ γε πολὺν χρόνον ἐνθάδ' ἐρύξω
Telemachus not at-all you I indeed long time here will-keep
ἱέμενον νόστοιο· νεμεσσῶμαι δὲ καὶ ἄλλῳ
eager for-return I-blame and also another
ἀνδρὶ ξεινοδόκῳ, ὅς κ' ἔξοχα μὲν φιλέῃσιν,
man host who — exceedingly indeed loves
ἔξοχα δ' ἐχθαίρῃσιν· ἀμείνω δ' αἴσιμα πάντα.
exceedingly and hates better and fitting-things all
ἶσόν τοι κακόν ἐσθ', ὅς τ' οὐκ ἐθέλοντα νέεσθαι
equal you-know evil is who — not wishing to-go
ξεῖνον ἐποτρύνει καὶ ὃς ἐσσύμενον κατερύκει.
a-guest speeds and who hastening holds-back
χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.
must a-guest present welcome wishing and send

ἀλλὰ μέν᾽ εἰς ὅ κε δῶρα φέρων ἐπιδίφρια θείω
but wait until (the-time)-when — gifts bringing on-the-chariot I-put
καλά, σὺ δ᾽ ὀφθαλμοῖσιν ἴδῃς, εἴπω δὲ γυναιξὶ
fair you and with-eyes you-may-see I-may-tell and the-women
δεῖπνον ἐνὶ μεγάροις τετυκεῖν ἅλις ἔνδον ἐόντων.
a-meal in the-halls to-prepare enough within being
ἀμφότερον, κῦδός τε καὶ ἀγλαΐη καὶ ὄνειαρ,
both glory both and splendor and profit
δειπνήσαντας ἴμεν πολλὴν ἐπ᾽ ἀπείρονα γαῖαν.
having-dined to-go far over boundless earth
εἰ δ᾽ ἐθέλεις τραφθῆναι ἀν᾽ Ἑλλάδα καὶ μέσον Ἄργος,
if but you-wish to-turn through Hellas and middle Argos
ὄφρα τοι αὐτὸς ἕπωμαι, ὑποζεύξω δέ τοι ἵππους,
so-that you myself I-may-follow I-will-yoke and for-you horses
ἄστεα δ᾽ ἀνθρώπων ἡγήσομαι· οὐδέ τις ἡμέας
to-the-towns and of-men I-will-lead nor any us
αὔτως ἀππέμψει, δώσει δέ τι ἕν γε φέρεσθαι,
just-so will-send-off will-give but some one indeed to-carry
ἠέ τινα τριπόδων εὐχάλκων ἠὲ λεβήτων,
either some of-tripods fine-bronze or of-cauldrons
ἠὲ δύ᾽ ἡμιόνους ἠὲ χρύσειον ἄλεισον.᾽᾽
or two mules or golden cup

Τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
᾽᾽ Ἀτρεΐδη Μενέλαε διοτρεφές, ὄρχαμε λαῶν,
Son-of-Atreus Menelaus Zeus-nurtured leader of-the-people
βούλομαι ἤδη νεῖσθαι ἐφ᾽ ἡμέτερ᾽· οὐ γὰρ ὄπισθεν
I-wish already to-go to our-own not for behind
οὖρον ἰὼν κατέλειπον ἐπὶ κτεάτεσσιν ἐμοῖσιν·
a-guardian going I-left over possessions my

μὴ πατέρ᾽ ἀντίθεον διζήμενος αὐτὸς ὄλωμαι,
lest father godlike seeking myself I-perish
ἤ τί μοι ἐκ μεγάρων κειμήλιον ἐσθλὸν ὄληται.”
or some for-me from the-halls treasure good be-lost
Αὐτὰρ ἐπεὶ τό γ᾽ ἄκουσε βοὴν ἀγαθὸς Μενέλαος,
But when this indeed heard at-the-war-cry good Menelaus
αὐτίκ᾽ ἄρ᾽ ἧ ἀλόχῳ ἠδὲ δμῳῇσι κέλευσε
at-once then to-his-own wife and the-maids bade
δεῖπνον ἐνὶ μεγάροις τετυκεῖν ἅλις ἔνδον ἐόντων.
a-meal in the-halls to-prepare enough within being
ἀγχίμολον δέ οἱ ἦλθε Βοηθοΐδης Ἐτεωνεύς,
near and to-him came son-of-Boethous Eteoneus
ἀνστὰς ἐξ εὐνῆς, ἐπεὶ οὐ πολὺ ναῖεν ἀπ᾽ αὐτοῦ·
having-risen from bed since not far he-lived from him
τὸν πῦρ κῆαι ἄνωγε βοὴν ἀγαθὸς Μενέλαος
him fire to-kindle bade at-the-war-cry good Menelaus
ὀπτῆσαί τε κρεῶν· ὁ δ᾽ ἄρ᾽ οὐκ ἀπίθησεν ἀκούσας.
to-roast and of-meats he and then not disobeyed having-heard
αὐτὸς δ᾽ ἐς θάλαμον κατεβήσετο κηώεντα,
himself and into chamber went-down fragrant
οὐκ οἷος, ἅμα τῷ γ᾽ Ἑλένη κίε καὶ Μεγαπένθης.
not alone along with-him indeed Helen went and Megapenthes
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἵκανον ὅθι κειμήλια κεῖτο,
but when indeed then they-came where treasures lay
Ἀτρεΐδης μὲν ἔπειτα δέπας λάβεν ἀμφικύπελλον,
son-of-Atreus indeed then a-cup took two-handled
υἱὸν δὲ κρητῆρα φέρειν Μεγαπένθ᾽ ἄνωγεν
son and the-mixing-bowl to-carry Megapenthes bade
ἀργύρεον· Ἑλένη δὲ παρίστατο φωριαμοῖσιν,
silver Helen and stood-by the-chests

ἔνθ' ἔσαν οἱ πέπλοι παμποίκιλοι, οὓς κάμεν αὐτή.
where were her robes richly-embroidered which she-wrought herself
τῶν ἕν' ἀειραμένη Ἑλένη φέρε, δῖα γυναικῶν,
of-them one lifting Helen carried bright among-women
ὃς κάλλιστος ἔην ποικίλμασιν ἠδὲ μέγιστος,
which most-beautiful was in-embroideries and largest
ἀστὴρ δ' ὣς ἀπέλαμπεν· ἔκειτο δὲ νείατος ἄλλων.
a-star and as it-shone it-lay and lowest of-others
βὰν δ' ἰέναι προτέρω διὰ δώματος, ἦος ἵκοντο
went and to-go forward through the-house until they-came
Τηλέμαχον· τὸν δὲ προσέφη ξανθὸς Μενέλαος·
to-Telemachus him and addressed fair-haired Menelaus
"Τηλέμαχ', ἦ τοι νόστον, ὅπως φρεσὶ σῇσι μενοινᾷς,
Telemachus truly indeed return as in-mind your you-purpose
ὥς τοι Ζεὺς τελέσειεν, ἐρίγδουπος πόσις Ἥρης.
so for-you Zeus may-accomplish(-it) loud-thundering husband of-Hera
δώρων δ', ὅσσ' ἐν ἐμῷ οἴκῳ κειμήλια κεῖται,
of-gifts and as-many-as in my house treasures lie
δώσω ὃ κάλλιστον καὶ τιμηέστατόν ἐστι.
I-will-give which most-beautiful and most-precious is
δώσω τοι κρητῆρα τετυγμένον· ἀργύρεος δὲ
I-will-give you a-mixing-bowl wrought silver and
ἐστὶν ἅπας, χρυσῷ δ' ἐπὶ χείλεα κεκράανται,
is all with-gold and on rims finished
ἔργον δ' Ἡφαίστοιο· πόρεν δέ ἑ Φαίδιμος ἥρως,
the-work and of-Hephaestus gave and it Phaedimus the-hero
Σιδονίων βασιλεύς, ὅθ' ἑὸς δόμος ἀμφεκάλυψε
of-the-Sidonians king when his house sheltered
κεῖσέ με νοστήσαντα· τεῖν δ' ἐθέλω τόδ' ὀπάσσαι."
there me returning to-you and I-wish this to-give

Ὣς εἰπὼν ἐν χειρὶ τίθει δέπας ἀμφικύπελλον
So having-spoken in hand he-put the-cup two-handled
ἥρως Ἀτρεΐδης· ὁ δ' ἄρα κρητῆρα φαεινὸν
the-hero son-of-Atreus he and then the-mixing-bowl shining
θῆκ' αὐτοῦ προπάροιθε φέρων κρατερὸς Μεγαπένθης,
set of-him before bringing mighty Megapenthes
ἀργύρεον· Ἑλένη δὲ παρίστατο καλλιπάρῃος
silver Helen and stood-by fair-cheeked
πέπλον ἔχουσ' ἐν χερσίν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
the-robe holding in hands word and spoke out and named(-him)

XV.3 · HELEN'S OMEN

Helen gives the robe for Telemachus' bride to wear on her wedding day. After a meal the young men drive off, and Menelaus brings them wine for a parting libation and sends greetings to Nestor. As Telemachus wishes he could tell Odysseus of this kindness, an eagle carries off a tame goose on the right. Helen reads it: Odysseus will come home and take vengeance on the suitors, or is home already.

"Δῶρόν τοι καὶ ἐγώ, τέκνον φίλε, τοῦτο δίδωμι,
A-gift to-you also I child dear this give
μνῆμ' Ἑλένης χειρῶν, πολυηράτου ἐς γάμου ὥρην,
a-remembrance of-Helen of-hands of-much-longed-for for of-marriage the-time
σῇ ἀλόχῳ φορέειν· τῆος δὲ φίλῃ παρὰ μητρὶ
for-your wife to-wear meanwhile and dear with mother
κείσθω ἐνὶ μεγάρῳ. σὺ δέ μοι χαίρων ἀφίκοιο
let-it-lie in the-hall you and to-me rejoicing may-you-reach
οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν."
house well-built and your to native land

Ὣς εἰποῦσ᾽ ἐν χερσὶ τίθει, ὁ δ᾽ ἐδέξατο χαίρων.
So having-spoken in hands she-put he and received(-it) rejoicing
καὶ τὰ μὲν ἐς πείρινθα τίθει Πεισίστρατος ἥρως
and them indeed into the-wagon-basket put Peisistratus the-hero
δεξάμενος, καὶ πάντα ἑῷ θηήσατο θυμῷ·
receiving and all in-his-own gazed-at heart
τοὺς δ᾽ ἧγε πρὸς δῶμα κάρη ξανθὸς Μενέλαος.
them and led to house on-head fair-haired Menelaus
ἑζέσθην δ᾽ ἄρ᾽ ἔπειτα κατὰ κλισμούς τε θρόνους τε.
they-two-sat and then thereafter on armchairs both chairs and
χέρνιβα δ᾽ ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
water-for-hands and a-maid from-a-ewer poured-over bringing
καλῇ χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
fair golden over silver basin
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
to-wash beside and polished she-set-out table
σῖτον δ᾽ αἰδοίη ταμίη παρέθηκε φέρουσα·
bread and modest housekeeper set-beside bringing
εἴδατα πόλλ᾽ ἐπιθεῖσα, χαριζομένη παρεόντων·
foods many adding giving-freely from-what-was-there
πὰρ δὲ Βοηθοΐδης κρέα δαίετο καὶ νέμε μοίρας·
beside and the-son-of-Boethous meat carved and distributed portions
οἰνοχόει δ᾽ υἱὸς Μενελάου κυδαλίμοιο.
poured-wine and the-son of-Menelaus glorious
οἱ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
they and on food ready lying-before hands put-forth
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
but when of-drink and of-food out desire they-put

δὴ τότε Τηλέμαχος καὶ Νέστορος ἀγλαὸς υἱὸς
indeed then Telemachus and of-Nestor glorious son
ἵππους τε ζεύγνυντ' ἀνά θ' ἅρματα ποικίλ' ἔβαινον,
horses both they-yoked up and chariots inlaid mounted
ἐκ δ' ἔλασαν προθύροιο καὶ αἰθούσης ἐριδούπου.
out and drove from-the-gateway and portico echoing
τοὺς δὲ μετ' Ἀτρεΐδης ἔκιε ξανθὸς Μενέλαος,
them and after son-of-Atreus went fair-haired Menelaus
οἶνον ἔχων ἐν χειρὶ μελίφρονα δεξιτερῇφι,
wine holding in hand honey-sweet in-the-right
ἐν δέπαϊ χρυσέῳ, ὄφρα λείψαντε κιοίτην.
in a-cup golden so-that having-poured-libation they-might-go
στῆ δ' ἵππων προπάροιθε, δεδισκόμενος δὲ προσηύδα·
stood and the-horses before pledging and addressed
"Χαίρετον, ὦ κούρω, καὶ Νέστορι ποιμένι λαῶν
Farewell O youths-two and to-Nestor shepherd of-the-people
εἰπεῖν· ἦ γὰρ ἔμοι γε πατὴρ ὡς ἤπιος ἦεν,
say truly for to-me indeed a-father like gentle was
ἧος ἐνὶ Τροίῃ πολεμίζομεν υἷες Ἀχαιῶν."
while in Troy we-warred sons of-the-Achaeans
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
"Καὶ λίην κείνῳ γε, διοτρεφές, ὡς ἀγορεύεις,
Yes surely to-him indeed Zeus-nurtured as you-say
πάντα τάδ' ἐλθόντες καταλέξομεν· αἲ γὰρ ἐγὼν ὡς
all these having-come we-will-tell would-that for I so
νοστήσας Ἰθάκηνδε, κιχὼν Ὀδυσῆ' ἐνὶ οἴκῳ,
having-returned to-Ithaca finding Odysseus in the-house

εἴποιμ᾽ ὡς παρὰ σεῖο τυχὼν φιλότητος ἁπάσης
might-tell how from you having-met-with kindness all
ἔρχομαι, αὐτὰρ ἄγω κειμήλια πολλὰ καὶ ἐσθλά."
I-come but I-bring treasures many and good-things
Ὣς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις,
So then to-him speaking flew-up on-the-right a-bird
αἰετὸς ἀργὴν χῆνα φέρων ὀνύχεσσι πέλωρον,
an-eagle white goose carrying in-talons huge
ἥμερον ἐξ αὐλῆς· οἱ δ᾽ ἰύζοντες ἕποντο
tame from the-court they and shouting followed
ἀνέρες ἠδὲ γυναῖκες· ὁ δέ σφισιν ἐγγύθεν ἐλθὼν
men and women he and to-them near coming
δεξιὸς ἤϊξε πρόσθ᾽ ἵππων· οἱ δὲ ἰδόντες
on-the-right darted before the-horses they and seeing(-it)
γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη.
rejoiced and of-all in minds the-heart was-warmed
τοῖσι δὲ Νεστορίδης Πεισίστρατος ἤρχετο μύθων·
among-them and the-son-of-Nestor Peisistratus began of-speeches
"Φράζεο δή, Μενέλαε διοτρεφές, ὄρχαμε λαῶν,
Consider indeed Menelaus Zeus-nurtured leader of-the-people
ἢ νῶϊν τόδ᾽ ἔφηνε θεὸς τέρας ἦε σοὶ αὐτῷ."
whether to-us-two this showed the-god portent or to-you yourself
Ὣς φάτο, μερμήριξε δ᾽ ἀρηΐφιλος Μενέλαος,
So he-spoke pondered and dear-to-Ares Menelaus
ὅππως οἱ κατὰ μοῖραν ὑποκρίναιτο νοήσας.
how to-him according-to due he-should-interpret having-considered
τὸν δ᾽ Ἑλένη τανύπεπλος ὑποφθαμένη φάτο μῦθον·
him and Helen long-robed anticipating spoke word

"Κλῦτέ μευ· αὐτὰρ ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῷ
Hear me but I will-prophesy as in heart
ἀθάνατοι βάλλουσι καὶ ὡς τελέεσθαι ὀΐω.
the-immortals cast(-it) and as to-be-fulfilled I-think
ὡς ὅδε χῆν' ἥρπαξ' ἀτιταλλομένην ἐνὶ οἴκῳ
as this(-bird) the-goose snatched being-reared in the-house
ἐλθὼν ἐξ ὄρεος, ὅθι οἱ γενεή τε τόκος τε,
coming from the-mountain where his race both birth and
ὣς Ὀδυσεὺς κακὰ πολλὰ παθὼν καὶ πόλλ' ἐπαληθεὶς
so Odysseus evils many having-suffered and much having-wandered
οἴκαδε νοστήσει καὶ τίσεται· ἠὲ καὶ ἤδη
home he-will-return and will-take-vengeance or even already
οἴκοι, ἀτὰρ μνηστῆρσι κακὸν πάντεσσι φυτεύει."
at-home but for-the-suitors evil for-all he-is-planting
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Her and in-turn Telemachus prudent in-reply spoke
"Οὕτω νῦν Ζεὺς θείη, ἐρίγδουπος πόσις Ἥρης·
So now Zeus may-grant loud-thundering husband of-Hera
τῷ κέν τοι καὶ κεῖθι θεῷ ὡς εὐχετοώμην."
then — to-you also there a-god like I-would-pray

The friends spend the night at Pherae and reach Pylos the next day. Telemachus asks Nestor's son to leave him at the ship, and he agrees. As Telemachus sacrifices by the stern, a stranger comes to him, a seer of Melampus' line fleeing Argos after a killing.

῾Η καὶ ἐφ᾽ ἵπποιϊν μάστιν βάλεν· οἱ δὲ μάλ᾽ ὦκα
He-spoke and on the-two-horses the-whip laid they and very quickly
ἤϊξαν πεδίονδε διὰ πτόλιος μεμαῶτες.
darted to-the-plain through the-city eager
οἱ δὲ πανημέριοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντες.
they and all-day shook the-yoke on-both-sides holding
δύσετό τ᾽ ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί· 185
set and the-sun were-darkened and all the-streets
ἐς Φηρὰς δ᾽ ἵκοντο Διοκλῆος ποτὶ δῶμα,
to Pherae and they-came of-Diocles to house
υἱέος Ὀρτιλόχοιο, τὸν Ἀλφειὸς τέκε παῖδα.
son of-Ortilochus whom Alpheus begot as-child
ἔνθα δὲ νύκτ᾽ ἄεσαν, ὁ δὲ τοῖς πὰρ ξείνια θῆκεν.
there and the-night they-slept he and to-them by guest-gifts set
῾Ημος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
When and early-born appeared rosy-fingered Dawn
ἵππους τε ζεύγνυντ᾽ ἀνά θ᾽ ἅρματα ποικίλ᾽ ἔβαινον, 190
horses both they-yoked up and chariots inlaid mounted
ἐκ δ᾽ ἔλασαν προθύροιο καὶ αἰθούσης ἐριδούπου·
out and drove from-the-gateway and portico echoing
μάστιξεν δ᾽ ἐλάαν, τὼ δ᾽ οὐκ ἄκοντε πετέσθην.
he-whipped and to-drive they-two and not unwilling flew

αἶψα δ᾽ ἔπειθ᾽ ἵκοντο Πύλου αἰπὺ πτολίεθρον·
quickly and then they-reached of-Pylos the-steep citadel
καὶ τότε Τηλέμαχος προσεφώνεε Νέστορος υἱόν·
and then Telemachus addressed of-Nestor the-son
“Νεστορίδη, πῶς κέν μοι ὑποσχόμενος τελέσειας
Son-of-Nestor how — for-me having-promised might-you-fulfill
μῦθον ἐμόν; ξεῖνοι δὲ διαμπερὲς εὐχόμεθ᾽ εἶναι
word my guest-friends and throughout we-claim to-be
ἐκ πατέρων φιλότητος, ἀτὰρ καὶ ὁμήλικές εἰμεν·
from the-fathers by-friendship but also of-an-age we-are
ἥδε δ᾽ ὁδὸς καὶ μᾶλλον ὁμοφροσύνῃσιν ἐνήσει.
this and journey even more in-concord will-set
μή με παρὲξ ἄγε νῆα, διοτρεφές, ἀλλὰ λίπ᾽ αὐτοῦ,
not me past lead the-ship Zeus-nurtured but leave(-me) here
μή μ᾽ ὁ γέρων ἀέκοντα κατάσχῃ ᾧ ἐνὶ οἴκῳ
lest me the old-man unwilling keep his-own in house
ἱέμενος φιλέειν· ἐμὲ δὲ χρεὼ θᾶσσον ἱκέσθαι.”
eager to-entertain me but need sooner to-arrive
Ὣς φάτο, Νεστορίδης δ᾽ ἄρ᾽ ἑῷ συμφράσσατο θυμῷ,
So he-spoke the-son-of-Nestor and then with-his-own considered heart
ὅππως οἱ κατὰ μοῖραν ὑποσχόμενος τελέσειεν.
how to-him according-to due having-promised he-might-fulfill
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι·
thus and to-him thinking seemed more-profitable to-be
στρέψ᾽ ἵππους ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης,
he-turned the-horses to the-ship swift and the-shore of-the-sea
νηῒ δ᾽ ἐνὶ πρύμνῃ ἐξαίνυτο κάλλιμα δῶρα,
on-the-ship and in the-stern he-took-out beautiful gifts

ἐσθῆτα χρυσόν τε, τά οἱ Μενέλαος ἔδωκε·
clothing gold and which to-him Menelaus gave
καί μιν ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·
and him urging words winged addressed
"Σπουδῇ νῦν ἀνάβαινε κέλευέ τε πάντας ἑταίρους,
In-haste now go-aboard bid and all comrades
πρὶν ἐμὲ οἴκαδ' ἱκέσθαι ἀπαγγεῖλαί τε γέροντι. 210
before me home to-reach to-report and to-the-old-man
εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·
well for I this know in mind and in heart
οἷος κείνου θυμὸς ὑπέρβιος, οὔ σε μεθήσει,
such-as his heart overbearing not you he-will-let-go
ἀλλ' αὐτὸς καλέων δεῦρ' εἴσεται, οὐδέ ἑ φημι
but himself calling here will-come nor him I-say
ἆψ ἰέναι κενεόν· μάλα γὰρ κεχολώσεται ἔμπης."
back to-go empty very for he-will-be-angry all-the-same
Ὣς ἄρα φωνήσας ἔλασεν καλλίτριχας ἵππους 215
So then having-spoken he-drove fair-maned horses
ἆψ Πυλίων εἰς ἄστυ, θοῶς δ' ἄρα δώμαθ' ἵκανε.
back of-the-Pylians to the-town quickly and then the-house he-reached
Τηλέμαχος δ' ἑτάροισιν ἐποτρύνων ἐκέλευσεν·
Telemachus and the-comrades urging bade
" Ἐγκοσμεῖτε τὰ τεύχε', ἑταῖροι, νηῒ μελαίνῃ,
Set-in-order the gear comrades in-the-ship black
αὐτοί τ' ἀμβαίνωμεν, ἵνα πρήσσωμεν ὁδοῖο."
ourselves and let-us-embark so-that we-may-make the-journey
Ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο, 220
So he-spoke they and then him very indeed heard and obeyed
αἶψα δ' ἄρ' εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον.
quickly and then they-embarked and on the-benches sat

Ἦ τοι ὁ μὲν τὰ πονεῖτο καὶ εὔχετο, θῦε δ' Ἀθήνῃ
Truly indeed he indeed these-things labored-at and prayed sacrificed and to-Athena
νηΐ πάρα πρύμνῃ· σχεδόθεν δέ οἱ ἦλυθεν ἀνὴρ
the-ship beside at-the-stern near and to-him came a-man
τηλεδαπός, φεύγων ἐξ Ἄργεος ἄνδρα κατακτάς,
from-afar fleeing from Argos a-man having-killed
μάντις· ἀτὰρ γενεήν γε Μελάμποδος ἔκγονος ἦεν,
a-seer but by-race indeed of-Melampus descendant he-was
ὃς πρὶν μέν ποτ' ἔναιε Πύλῳ ἔνι, μητέρι μήλων,
who before indeed once dwelt Pylos in mother of-flocks
ἀφνειὸς Πυλίοισι μέγ' ἔξοχα δώματα ναίων·
wealthy among-the-Pylians greatly preeminent a-house dwelling-in
δὴ τότε γ' ἄλλων δῆμον ἀφίκετο, πατρίδα φεύγων
indeed then indeed of-others the-land he-came-to native-land fleeing
Νηλέα τε μεγάθυμον, ἀγαυότατον ζωόντων,
Neleus and great-hearted most-noble of-the-living
ὅς οἱ χρήματα πολλὰ τελεσφόρον εἰς ἐνιαυτὸν
who his wealth much complete for a-year
εἶχε βίῃ. ὁ δὲ τῆος ἐνὶ μεγάροις Φυλάκοιο
held by-force he and meanwhile in the-halls of-Phylacus
δεσμῷ ἐν ἀργαλέῳ δέδετο, κρατέρ' ἄλγεα πάσχων
a-bond in grievous was-bound mighty pains suffering
εἵνεκα Νηλῆος κούρης ἄτης τε βαρείης,
for-the-sake-of of-Neleus the-daughter infatuation and heavy
τήν οἱ ἐπὶ φρεσὶ θῆκε θεὰ δασπλῆτις Ἐρινύς.
which on-him in mind put the-goddess dread Erinys

ἀλλ᾽ ὁ μὲν ἔκφυγε κῆρα καὶ ἤλασε βοῦς ἐριμύκους
but he indeed escaped doom and drove cattle loud-lowing
ἐς Πύλον ἐκ Φυλάκης καὶ ἐτίσατο ἔργον ἀεικὲς
to Pylos from Phylace and avenged deed unseemly
ἀντίθεον Νηλῆα, κασιγνήτῳ δὲ γυναῖκα
on-godlike Neleus for-his-brother and a-wife
ἠγάγετο πρὸς δώμαθ᾽. ὁ δ᾽ ἄλλων ἵκετο δῆμον,
brought to the-house he and of-others came-to the-land
Ἄργος ἐς ἱππόβοτον· τόθι γάρ νύ οἱ αἴσιμον ἦεν
Argos to horse-pasturing there for now for-him fated it-was
ναιέμεναι πολλοῖσιν ἀνάσσοντ᾽ Ἀργείοισιν.
to-dwell over-many ruling Argives
ἔνθα δ᾽ ἔγημε γυναῖκα καὶ ὑψερεφὲς θέτο δῶμα,
there and he-married a-wife and high-roofed set-up a-house
γείνατο δ᾽ Ἀντιφάτην καὶ Μάντιον, υἷε κραταιώ.
begot and Antiphates and Mantius sons-two mighty
Ἀντιφάτης μὲν ἔτικτεν Ὀϊκλῆα μεγάθυμον,
Antiphates indeed begot Oicles great-hearted
αὐτὰρ Ὀϊκλείης λαοσσόον Ἀμφιάραον,
but Oicles host-rousing Amphiaraus
ὃν περὶ κῆρι φίλει Ζεύς τ᾽ αἰγίοχος καὶ Ἀπόλλων
whom exceedingly in-heart loved Zeus both aegis-bearing and Apollo
παντοίην φιλότητ᾽· οὐδ᾽ ἵκετο γήραος οὐδόν,
every-kind-of love nor did-he-reach of-old-age the-threshold
ἀλλ᾽ ὄλετ᾽ ἐν Θήβῃσι γυναίων εἵνεκα δώρων.
but perished in Thebes of-a-woman's for-the-sake-of gifts
τοῦ δ᾽ υἱεῖς ἐγένοντ᾽ Ἀλκμαίων Ἀμφίλοχός τε.
of-him and sons were-born Alcmaeon Amphilochus and
Μάντιος αὖ τέκετο Πολυφείδεά τε Κλεῖτόν τε·
Mantius in-turn begot Polypheides both Cleitus and

ἀλλ᾽ ἦ τοι Κλεῖτον χρυσόθρονος ἥρπασεν Ἠὼς
but truly indeed Cleitus golden-throned snatched Dawn
κάλλεος εἵνεκα οἷο, ἵν᾽ ἀθανάτοισι μετείη·
beauty for-the-sake-of his-own so-that among-the-immortals he-might-be
αὐτὰρ ὑπέρθυμον Πολυφείδεα μάντιν Ἀπόλλων
but high-spirited Polypheides seer Apollo
θῆκε βροτῶν ὄχ᾽ ἄριστον, ἐπεὶ θάνεν Ἀμφιάραος·
made of-mortals by-far best when died Amphiaraus
ὅς ῥ᾽ Ὑπερησίηνδ᾽ ἀπενάσσατο πατρὶ χολωθείς,
who then to-Hyperesia moved-away with-father angered
ἔνθ᾽ ὅ γε ναιετάων μαντεύετο πᾶσι βροτοῖσιν.
there he indeed dwelling prophesied for-all mortals

XV.5 · THE VOYAGE HOME

The seer, Theoclymenus, asks Telemachus who he is and begs passage, since his victim's kin pursue him. Telemachus names himself the son of Odysseus, if Odysseus was ever alive, and takes him aboard. They set sail with a fair wind from Athena, pass Pheae and Elis by night, and turn toward the islands, Telemachus wondering whether he will escape death.

Τοῦ μὲν ἄρ᾽ υἱὸς ἐπῆλθε, Θεοκλύμενος δ᾽ ὄνομ᾽ ἦεν,
His indeed then son came-up Theoclymenus and name was
ὃς τότε Τηλεμάχου πέλας ἵστατο· τὸν δ᾽ ἐκίχανεν
who then of-Telemachus near stood him and he-found
σπένδοντ᾽ εὐχόμενόν τε θοῇ παρὰ νηῒ μελαίνῃ,
pouring-libation praying and swift by ship black
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed

"Ὦ φίλ', ἐπεί σε θύοντα κιχάνω τῷδ' ἐνὶ χώρῳ,
O friend since you sacrificing I-meet this in place
λίσσομ' ὑπὲρ θυέων καὶ δαίμονος, αὐτὰρ ἔπειτα
I-beseech by the-offerings and the-god but then
σῆς τ' αὐτοῦ κεφαλῆς καὶ ἑταίρων, οἵ τοι ἕπονται,
your and own head and of-comrades who you follow
εἰπέ μοι εἰρομένῳ νημερτέα μηδ' ἐπικεύσῃς·
tell me asking true-things nor conceal(-it)
τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;"
who whence are-you of-men where your city and parents
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
"Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω.
Therefore I to-you stranger very truly will-tell
ἐξ Ἰθάκης γένος εἰμί, πατὴρ δέ μοί ἐστιν Ὀδυσσεύς,
from Ithaca by-race I-am father and to-me is Odysseus
εἴ ποτ' ἔην· νῦν δ' ἤδη ἀπέφθιτο λυγρῷ ὀλέθρῳ.
if ever he-was now but already he-has-perished by-woeful destruction
τοὔνεκα νῦν ἑτάρους τε λαβὼν καὶ νῆα μέλαιναν
therefore now comrades both taking and ship black
ἦλθον πευσόμενος πατρὸς δὴν οἰχομένοιο."
I-came to-inquire-about of-father long gone
Τὸν δ' αὖτε προσέειπε Θεοκλύμενος θεοειδής·
Him and in-turn addressed Theoclymenus godlike
"Οὕτω τοι καὶ ἐγὼν ἐκ πατρίδος, ἄνδρα κατακτὰς
So you-know also I from native-land a-man having-killed
ἔμφυλον· πολλοὶ δὲ κασίγνητοί τε ἔται τε
of-my-tribe many and brothers both kinsmen and
Ἄργος ἀν' ἱππόβοτον, μέγα δὲ κρατέουσιν Ἀχαιῶν.
Argos throughout horse-pasturing greatly and rule over-the-Achaeans

τῶν ὑπαλευάμενος θάνατον καὶ κῆρα μέλαιναν
from-them avoiding death and doom black
φεύγω, ἐπεί νύ μοι αἶσα κατ᾽ ἀνθρώπους ἀλάλησθαι.
I-flee since now for-me fate among men to-wander
ἀλλά με νηὸς ἔφεσσαι, ἐπεί σε φυγὼν ἱκέτευσα,
but me on-the-ship set since you fleeing I-supplicated
μή με κατακτείνωσι· διωκέμεναι γὰρ ὀΐω.”
lest me they-kill to-pursue for I-think
Τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
“Οὐ μὲν δή σ᾽ ἐθέλοντά γ᾽ ἀπώσω νηὸς ἐΐσης,
Not indeed truly you wishing indeed I-will-thrust from-the-ship balanced
ἀλλ᾽ ἕπευ· αὐτὰρ κεῖθι φιλήσεαι, οἷά κ᾽ ἔχωμεν.”
but follow but there you-will-be-welcomed with-such-as — we-have
Ὣς ἄρα φωνήσας οἱ ἐδέξατο χάλκεον ἔγχος,
So then having-spoken from-him received bronze spear
καὶ τό γ᾽ ἐπ᾽ ἰκριόφιν τάνυσεν νεὸς ἀμφιελίσσης·
and it indeed on the-deck laid-out of-the-ship curved
ἂν δὲ καὶ αὐτὸς νηὸς ἐβήσετο ποντοπόροιο.
up and also himself the-ship went seafaring
ἐν πρύμνῃ δ᾽ ἄρ᾽ ἔπειτα καθέζετο, πὰρ δὲ οἱ αὐτῷ
in the-stern and then thereafter sat beside and him himself
εἶσε Θεοκλύμενον· τοὶ δὲ πρυμνήσι᾽ ἔλυσαν.
seated Theoclymenus they and the-stern-cables loosed
Τηλέμαχος δ᾽ ἑτάροισιν ἐποτρύνας ἐκέλευσεν
Telemachus and the-comrades urging bade
ὅπλων ἅπτεσθαι· τοὶ δ᾽ ἐσσυμένως ἐπίθοντο.
the-tackle to-lay-hold-of they and eagerly obeyed

ἱστὸν δ᾽ εἰλάτινον κοίλης ἔντοσθε μεσόδμης
the-mast and of-fir hollow inside the-mast-box
στῆσαν ἀείραντες, κατὰ δὲ προτόνοισιν ἔδησαν,
set raising down and with-forestays bound
ἕλκον δ᾽ ἱστία λευκὰ ἐϋστρέπτοισι βοεῦσι.
hauled and sails white with-well-twisted ox-hide-ropes
τοῖσιν δ᾽ ἴκμενον οὖρον ἵει γλαυκῶπις Ἀθήνη,
for-them and favorable fair-wind sent flashing-eyed Athena
λάβρον ἐπαιγίζοντα δι᾽ αἰθέρος, ὄφρα τάχιστα
boisterous rushing through the-air so-that most-quickly
νηῦς ἀνύσειε θέουσα θαλάσσης ἁλμυρὸν ὕδωρ.
the-ship might-finish running of-the-sea the-salt water
βὰν δὲ παρὰ Κρουνοὺς καὶ Χαλκίδα καλλιρέεθρον.
went and past Cruni and Chalcis fair-flowing
Δύσετό τ᾽ ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί·
Set and the-sun were-darkened and all the-streets
ἡ δὲ Φεὰς ἐπέβαλλεν ἐπειγομένη Διὸς οὔρῳ
she and Pheae neared hastening of-Zeus by-the-wind
ἠδὲ παρ᾽ Ἤλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί.
and past Elis bright where rule the-Epeians
ἔνθεν δ᾽ αὖ νήσοισιν ἐπιπροέηκε θοῇσιν,
thence and in-turn toward-the-islands he-steered swift
ὁρμαίνων ἤ κεν θάνατον φύγοι ἦ κεν ἁλώῃ.
pondering whether — death he-should-escape or — be-caught

At the hut Odysseus tests Eumaeus by proposing to go and beg in the city and serve the suitors. Eumaeus protests that their servants are young men in fine clothes, and bids him stay until Telemachus comes. Asked about Odysseus' parents, he says Laertes lives on, praying to die, and that Anticleia, who raised him with her daughter Ctimene, died of grief; since the suitors came, the mistress has no kind word for servants.

Τὼ δ' αὖτ' ἐν κλισίῃ Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
Those-two and in-turn in the-hut Odysseus and noble swineherd
δορπείτην· παρὰ δέ σφιν ἐδόρπεον ἀνέρες ἄλλοι.
supped beside and them supped men other
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
but when of-drink and of-food out desire they-put
τοῖς δ' Ὀδυσεὺς μετέειπε, συβώτεω πειρητίζων,
to-them and Odysseus spoke-among the-swineherd testing
ἤ μιν ἔτ' ἐνδυκέως φιλέοι μεῖναί τε κελεύοι
whether him still kindly he-would-welcome to-stay and would-bid
αὐτοῦ ἐνὶ σταθμῷ, ἦ ὀτρύνειε πόλινδε·
there in the-farmstead or would-send to-the-city
"Κέκλυθι νῦν, Εὔμαιε, καὶ ἄλλοι πάντες ἑταῖροι·
Hear now Eumaeus and others all comrades
ἠῶθεν προτὶ ἄστυ λιλαίομαι ἀπονέεσθαι
at-dawn to the-town I-long to-go-away
πτωχεύσων, ἵνα μή σε κατατρύχω καὶ ἑταίρους.
to-beg so-that not you I-wear-out and comrades

ἀλλά μοι εὖ θ' ὑπόθευ καὶ ἅμ' ἡγεμόν' ἐσθλὸν ὄπασσον
but me well both advise and with(-me) a-guide good send

ὅς κέ με κεῖσ' ἀγάγῃ· κατὰ δὲ πτόλιν αὐτὸς ἀνάγκῃ
who — me there may-lead through and the-city myself by-necessity

πλάγξομαι, αἴ κέν τις κοτύλην καὶ πύρνον ὀρέξῃ.
I-will-wander if — anyone a-cup and a-loaf may-offer

καί κ' ἐλθὼν πρὸς δώματ' Ὀδυσσῆος θείοιο
and — coming to the-house of-Odysseus godlike

ἀγγελίην εἴποιμι περίφρονι Πηνελοπείῃ,
news I-would-tell to-wise Penelope

καί κε μνηστήρεσσιν ὑπερφιάλοισι μιγείην,
and — with-the-suitors overbearing would-mingle

εἴ μοι δεῖπνον δοῖεν ὀνείατα μυρί' ἔχοντες.
if me a-meal they-might-give good-things countless having

αἶψά κεν εὖ δρώοιμι μετὰ σφίσιν ἅσσ' ἐθέλοιεν.
quickly — well I-would-serve among them whatever they-might-wish

ἐκ γάρ τοι ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον·
out for to-you I-will-speak you and lay(-it)-up and me hear

Ἑρμείαο ἔκητι διακτόρου, ὅς ῥά τε πάντων
of-Hermes by-favor the-guide who then — of-all

ἀνθρώπων ἔργοισι χάριν καὶ κῦδος ὀπάζει,
men to-the-works grace and glory gives

δρηστοσύνῃ οὐκ ἄν μοι ἐρίσσειε βροτὸς ἄλλος,
in-service not — with-me would-vie mortal other

πῦρ τ' εὖ νῆσαι διά τε ξύλα δανὰ κεάσσαι,
fire both well to-pile apart and wood dry to-split

δαιτρεῦσαί τε καὶ ὀπτῆσαι καὶ οἰνοχοῆσαι,
to-carve both and to-roast and to-pour-wine

οἷά τε τοῖς ἀγαθοῖσι παραδρώωσι χέρηες."
such-as — for-the noble serve the-lesser

Τὸν δὲ μέγ' ὀχθήσας προσέφης, Εὔμαιε συβῶτα·
Him and greatly vexed you-addressed Eumaeus swineherd
" Ὤ μοι, ξεῖνε, τίη τοι ἐνὶ φρεσὶ τοῦτο νόημα
Ah me stranger why your in mind this thought
ἔπλετο; ἦ σύ γε πάγχυ λιλαίεαι αὐτόθ' ὀλέσθαι,
came truly you indeed utterly long there to-perish
εἰ δὴ μνηστήρων ἐθέλεις καταδῦναι ὅμιλον,
if indeed of-the-suitors you-wish to-enter the-throng
τῶν ὕβρις τε βίη τε σιδήρεον οὐρανὸν ἵκει.
whose insolence both violence and iron heaven reaches
οὔ τοι τοιοίδ' εἰσὶν ὑποδρηστῆρες ἐκείνων,
not you-know such are the-servants of-them
ἀλλὰ νέοι, χλαίνας εὖ εἱμένοι ἠδὲ χιτῶνας,
but young cloaks well clad and tunics
αἰεὶ δὲ λιπαροὶ κεφαλὰς καὶ καλὰ πρόσωπα,
always and sleek on-heads and fair faces
οἵ σφιν ὑποδρώωσιν· ἐΰξεστοι δὲ τράπεζαι
who them serve well-polished and tables
σίτου καὶ κρειῶν ἠδ' οἴνου βεβρίθασιν.
with-bread and with-meats and with-wine are-laden
ἀλλὰ μέν'· οὐ γάρ τίς τοι ἀνιᾶται παρεόντι,
but stay not for anyone at-you is-vexed being-present
οὔτ' ἐγὼ οὔτε τις ἄλλος ἑταίρων, οἵ μοι ἔασιν.
neither I nor any other of-comrades who to-me are
αὐτὰρ ἐπὴν ἔλθῃσιν Ὀδυσσῆος φίλος υἱός,
but when comes of-Odysseus dear son
κεἰνός σε χλαίνάν τε χιτῶνά τε εἵματα ἕσσει,
he you cloak both tunic and as-clothes will-clothe
πέμψει δ' ὅππη σε κραδίη θυμός τε κελεύει."
will-send and wherever you heart spirit and bids

Τὸν δ' ἠμείβετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
Him and answered then much-enduring noble Odysseus
"Αἴθ' οὕτως, Εὔμαιε, φίλος Διὶ πατρὶ γένοιο
Would-that so Eumaeus dear to-Zeus father you-might-be
ὡς ἐμοί, ὅττι μ' ἔπαυσας ἄλης καὶ ὀϊζύος αἰνῆς.
as to-me that me you-have-stopped from-wandering and misery dread
πλαγκτοσύνης δ' οὐκ ἔστι κακώτερον ἄλλο βροτοῖσιν·
than-roaming and not is worse other for-mortals
ἀλλ' ἕνεκ' οὐλομένης γαστρὸς κακὰ κήδε' ἔχουσιν
but for-the-sake-of cursed belly evil troubles have
ἀνέρες, ὅν τιν' ἵκηται ἄλη καὶ πῆμα καὶ ἄλγος.
men whom any comes-upon wandering and woe and pain
νῦν δ' ἐπεὶ ἰσχανάᾳς μεῖναι τέ με κεῖνον ἄνωγας,
now but since you-detain(-me) to-wait and me him you-bid
εἶπ' ἄγε μοι περὶ μητρὸς Ὀδυσσῆος θείοιο
tell come me about the-mother of-Odysseus godlike
πατρός θ', ὃν κατέλειπεν ἰὼν ἐπὶ γήραος οὐδῷ,
father and whom he-left going on of-old-age the-threshold
ἤ που ἔτι ζώουσιν ὑπ' αὐγὰς ἠελίοιο,
whether somewhere still they-live under the-rays of-the-sun
ἦ ἤδη τεθνᾶσι καὶ εἰν Ἀΐδαο δόμοισι."
or already they-are-dead and in of-Hades the-halls
Τὸν δ' αὖτε προσέειπε συβώτης, ὄρχαμος ἀνδρῶν·
Him and in-turn addressed the-swineherd leader of-men
"Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω.
Therefore I to-you stranger very truly will-tell
Λαέρτης μὲν ἔτι ζώει, Διὶ δ' εὔχεται αἰεὶ
Laertes indeed still lives to-Zeus but prays always
θυμὸν ἀπὸ μελέων φθίσθαι οἷς ἐν μεγάροισιν·
the-spirit from limbs to-perish his-own in halls

ἐκπάγλως γὰρ παιδὸς ὀδύρεται οἰχομένοιο
terribly for for-the-son he-mourns gone
κουριδίης τ᾽ ἀλόχοιο δαΐφρονος, ἥ ἑ μάλιστα
wedded and for-wife wise who him most
ἤκαχ᾽ ἀποφθιμένη καὶ ἐν ὠμῷ γήραϊ θῆκεν.
grieved having-died and in raw old-age set
ἡ δ᾽ ἄχεϊ οὗ παιδὸς ἀπέφθιτο κυδαλίμοιο,
she and from-grief for-her-own son perished glorious
λευγαλέῳ θανάτῳ, ὡς μὴ θάνοι ὅς τις ἐμοί γε
by-woeful death so not may-die who any to-me indeed
ἐνθάδε ναιετάων φίλος εἴη καὶ φίλα ἔρδοι.
here dwelling dear may-be and kindly-things may-do
ὄφρα μὲν οὖν δὴ κείνη ἔην, ἀχέουσά περ ἔμπης,
while indeed then indeed she was grieving though nevertheless
τόφρα τί μοι φίλον ἔσκε μεταλλῆσαι καὶ ἐρέσθαι,
so-long somewhat to-me dear it-was to-inquire and to-ask
οὕνεκά μ᾽ αὐτὴ θρέψεν ἅμα Κτιμένῃ τανυπέπλῳ,
because me she-herself reared together-with Ctimene long-robed
θυγατέρ᾽ ἰφθίμῃ, τὴν ὁπλοτάτην τέκε παίδων·
daughter stately whom youngest she-bore of-children
τῇ ὁμοῦ ἐτρεφόμην, ὀλίγον δέ τί μ᾽ ἧσσον ἐτίμα.
with-her together I-was-reared little and somewhat me less she-honored
αὐτὰρ ἐπεί ῥ᾽ ἤβην πολυήρατον ἱκόμεθ᾽ ἄμφω,
but when then youth lovely we-reached both
τὴν μὲν ἔπειτα Σάμηνδ᾽ ἔδοσαν καὶ μυρί᾽ ἔλοντο,
her indeed then to-Same they-gave and countless(-gifts) took

αὐτὰρ ἐμὲ χλαῖνάν τε χιτῶνά τε εἵματ' ἐκείνη
but me cloak both tunic and as-clothes she
καλὰ μάλ' ἀμφιέσασα, ποσὶν δ' ὑποδήματα δοῦσα
fair very having-clothed on-feet and sandals giving
ἀγρόνδε προΐαλλε· φίλει δέ με κηρόθι μᾶλλον.
to-the-field sent-forth loved and me in-heart more
νῦν δ' ἤδη τούτων ἐπιδεύομαι· ἀλλά μοι αὐτῷ
now but already of-these I-lack but for-me myself
ἔργον ἀέξουσιν μάκαρες θεοὶ ᾧ ἐπιμίμνω·
the-work prosper blessed gods at-which I-abide
τῶν ἔφαγόν τ' ἔπιόν τε καὶ αἰδοίοισιν ἔδωκα.
of-these I-ate both I-drank and also to-the-revered I-gave
ἐκ δ' ἄρα δεσποίνης οὐ μείλιχον ἔστιν ἀκοῦσαι
from and then the-mistress not sweet it-is to-hear
οὔτ' ἔπος οὔτε τι ἔργον, ἐπεὶ κακὸν ἔμπεσεν οἴκῳ,
either word or any deed since a-plague has-fallen-on the-house
ἄνδρες ὑπερφίαλοι· μέγα δὲ δμῶες χατέουσιν
men overbearing greatly and servants long
ἀντία δεσποίνης φάσθαι καὶ ἕκαστα πυθέσθαι
face-to-face with-the-mistress to-speak and each-thing to-learn
καὶ φαγέμεν πιέμεν τε, ἔπειτα δὲ καί τι φέρεσθαι
and to-eat to-drink and then and also something to-carry-off
ἀγρόνδ', οἷά τε θυμὸν ἀεὶ δμώεσσιν ἰαίνει."
to-the-field such-things-as — the-heart always for-servants warms

Eumaeus tells his story. He was the son of Ctesius, king of the island Syria. A Phoenician slave woman in his father's house, seduced by Phoenician traders, agreed to sail away with them and brought the child as her fare. Artemis struck her dead at sea, and the traders sold the boy to Laertes in Ithaca. Odysseus answers that Zeus has set good beside his ills.

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"Ὢ πόποι, ὡς ἄρα τυτθὸς ἐών, Εὔμαιε συβῶτα,
Oh for-shame how then little being Eumaeus swineherd
πολλὸν ἀπεπλάγχθης σῆς πατρίδος ἠδὲ τοκήων.
far you-were-driven-away from-your native-land and parents
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
but come to-me this tell and truly recount
ἠὲ διεπράθετο πτόλις ἀνδρῶν εὐρυάγυια,
whether was-sacked a-city of-men wide-wayed
ᾗ ἔνι ναιετάασκε πατὴρ καὶ πότνια μήτηρ,
which in dwelt father and queenly mother
ἦ σέ γε μουνωθέντα παρ' οἰέσιν ἢ παρὰ βουσὶν
or you indeed left-alone beside sheep or beside cattle
ἄνδρες δυσμενέες νηυσὶν λάβον ἠδ' ἐπέρασσαν
men hostile in-ships took and sold
τοῦδ' ἀνδρὸς πρὸς δώμαθ', ὅ δ' ἄξιον ὠνον ἔδωκε."
of-this man to the-house he and worthy price gave
Τὸν δ' αὖτε προσέειπε συβώτης, ὄρχαμος ἀνδρῶν·
Him and in-turn addressed the-swineherd leader of-men
"Ξεῖν', ἐπεὶ ἦ δὴ ταῦτά μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς,
Stranger since then indeed these-things me you-ask and inquire

σιγῇ νῦν ξυνίει καὶ τέρπεο, πῖνέ τε οἶνον
in-silence now heed and delight drink and wine
ἥμενος. αἵδε δὲ νύκτες ἀθέσφατοι· ἔστι μὲν εὕδειν,
sitting these and nights endless it-is-possible indeed to-sleep
ἔστι δὲ τερπομένοισιν ἀκούειν· οὐδέ τί σε χρή,
it-is-possible and for-those-delighting to-listen nor at-all you need
πρὶν ὥρη, καταλέχθαι· ἀνίη καὶ πολὺς ὕπνος.
before the-hour to-lie-down a-trouble even much sleep
τῶν δ' ἄλλων ὅτινα κραδίη καὶ θυμὸς ἀνώγει,
of-the and others whomever heart and spirit bids
εὑδέτω ἐξελθών· ἅμα δ' ἠοῖ φαινομένηφι
let-him-sleep going-out with and dawn appearing
δειπνήσας ἅμ' ὕεσσιν ἀνακτορίῃσιν ἑπέσθω.
having-breakfasted with swine the-lord's let-him-go
νῶϊ δ' ἐνὶ κλισίῃ πίνοντέ τε δαινυμένω τε
we-two and in the-hut drinking both feasting and
κήδεσιν ἀλλήλων τερπώμεθα λευγαλέοισι,
in-the-troubles of-each-other let-us-delight woeful
μνωομένω· μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνήρ,
recalling afterward for — even in-pains delights a-man
ὅς τις δὴ μάλα πολλὰ πάθῃ καὶ πόλλ' ἐπαληθῇ.
who any indeed very much suffers and much wanders
τοῦτο δέ τοι ἐρέω ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς.
this but to-you I-will-tell which me you-ask and inquire
"Νῆσός τις Συρίη κικλήσκεται, εἴ που ἀκούεις,
An-island a-certain Syria is-called if somewhere you-hear(-of-it)
Ὀρτυγίης καθύπερθεν, ὅθι τροπαὶ ἠελίοιο,
Ortygia above where the-turnings of-the-sun
οὔ τι περιπληθὴς λίην τόσον, ἀλλ' ἀγαθὴ μέν,
not at-all populous very so-much but good indeed

εὔβοτος, εὔμηλος, οἰνοπληθής, πολύπυρος.
good-for-herds good-for-flocks full-of-wine rich-in-wheat
πείνη δ' οὔ ποτε δῆμον ἐσέρχεται, οὐδέ τις ἄλλη
famine and not ever the-land enters nor any other
νοῦσος ἐπὶ στυγερὴ πέλεται δειλοῖσι βροτοῖσιν·
sickness upon(-them) hateful comes wretched to-mortals
ἀλλ' ὅτε γηράσκωσι πόλιν κάτα φῦλ' ἀνθρώπων,
but when grow-old the-city throughout the-tribes of-men
ἐλθὼν ἀργυρότοξος Ἀπόλλων Ἀρτέμιδι ξὺν
coming silver-bowed Apollo Artemis with
οἷς ἀγανοῖς βελέεσσιν ἐποιχόμενος κατέπεφνεν.
with-his gentle arrows assailing slays
ἔνθα δύω πόλιες, δίχα δέ σφισι πάντα δέδασται·
there two cities in-two and for-them all is-divided
τῇσιν δ' ἀμφοτέρῃσι πατὴρ ἐμὸς ἐμβασίλευε,
over-them and both father my was-king
Κτήσιος Ὀρμενίδης, ἐπιείκελος ἀθανάτοισιν.
Ctesius son-of-Ormenus like to-the-immortals
" Ἔνθα δὲ Φοίνικες ναυσίκλυτοι ἤλυθον ἄνδρες,
There and Phoenicians ship-famed came men
τρῶκται, μυρί' ἄγοντες ἀθύρματα νηῒ μελαίνῃ.
greedy-knaves countless bringing trinkets in-ship black
ἔσκε δὲ πατρὸς ἐμοῖο γυνὴ Φοίνισσ' ἐνὶ οἴκῳ,
there-was and of-father my a-woman Phoenician in the-house
καλή τε μεγάλη τε καὶ ἀγλαὰ ἔργα ἰδυῖα·
fair both tall and also glorious works knowing
τὴν δ' ἄρα Φοίνικες πολυπαίπαλοι ἠπερόπευον.
her and then Phoenicians wily beguiled

πλυνούσῃ τις πρῶτα μίγη κοίλῃ παρὰ νηΐ
as-she-washed one first lay-with(-her) hollow by ship
εὐνῇ καὶ φιλότητι, τά τε φρένας ἠπεροπεύει
in-bed and in-love which — the-minds beguile
θηλυτέρῃσι γυναιξί, καὶ ἥ κ' εὐεργὸς ἔῃσιν.
of-female women even who — upright be
εἰρώτα δὴ ἔπειτα τίς εἴη καὶ πόθεν ἔλθοι·
he-asked indeed then who she-might-be and whence she-came
ἡ δὲ μάλ' αὐτίκα πατρὸς ἐπέφραδεν ὑψερεφὲς δῶ·
she and very at-once of-father pointed-out the-high-roofed house
"'Ἐκ μὲν Σιδῶνος πολυχάλκου εὔχομαι εἶναι,
From indeed Sidon rich-in-bronze I-claim to-be
κούρη δ' εἶμ' Ἀρύβαντος ἐγὼ ῥυδὸν ἀφνειοῖο·
daughter and I-am of-Arybas I abundantly wealthy
ἀλλά μ' ἀνήρπαξαν Τάφιοι ληΐστορες ἄνδρες
but me snatched-away Taphian pirate men
ἀγρόθεν ἐρχομένην, πέρασαν δέ τε δεῦρ' ἀγαγόντες
from-the-field coming they-sold and — here bringing(-me)
τοῦδ' ἀνδρὸς πρὸς δώμαθ'· ὁ δ' ἄξιον ὦνον ἔδωκε.'
of-this man to the-house he and worthy price gave
"Τὴν δ' αὖτε προσέειπεν ἀνήρ, ὃς ἐμίσγετο λάθρῃ·
Her and in-turn addressed the-man who had-lain-with(-her) secretly
'Ἦ ῥά κε νῦν πάλιν αὖτις ἅμ' ἡμῖν οἴκαδ' ἕποιο,
Truly then — now back again with us home would-you-follow
ὄφρα ἴδῃ πατρὸς καὶ μητέρος ὑψερεφὲς δῶ
so-that you-may-see of-father and of-mother the-high-roofed house
αὐτούς τ'; ἦ γὰρ ἔτ' εἰσὶ καὶ ἀφνειοὶ καλέονται.'
themselves and truly for still they-are and wealthy are-called

"Τὸν δ' αὖτε προσέειπε γυνὴ καὶ ἀμείβετο μύθῳ·
Him and in-turn addressed the-woman and answered with-speech
'Εἴη κεν καὶ τοῦτ', εἴ μοι ἐθέλοιτέ γε, ναῦται,
May-be — even this if to-me you-would-be-willing indeed sailors
ὅρκῳ πιστωθῆναι ἀπήμονά μ' οἴκαδ' ἀπάξειν.'
by-an-oath to-pledge unharmed me home to-bring-back
" Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπώμνυον ὡς ἐκέλευεν.
So she-spoke they and then all swore as she-bade
αὐτὰρ ἐπεί ῥ' ὄμοσάν τε τελεύτησάν τε τὸν ὅρκον,
but when then they-swore both completed and the oath
τοῖς δ' αὖτις μετέειπε γυνὴ καὶ ἀμείβετο μύθῳ·
to-them and again spoke-among the-woman and answered with-speech
"'Σιγῇ νῦν, μή τίς με προσαυδάτω ἐπέεσσιν
In-silence now not any me let-address with-words
ὑμετέρων ἑτάρων, ξυμβλήμενος ἢ ἐν ἀγυιῇ,
of-your comrades meeting(-me) either in the-street
ἤ που ἐπὶ κρήνῃ· μή τις ποτὶ δῶμα γέροντι
or somewhere at the-spring lest any to the-house to-the-old-man
ἐλθὼν ἐξείπῃ, ὁ δ' ὀϊσάμενος καταδήσῃ
going tell he and suspecting bind(-me)
δεσμῷ ἐν ἀργαλέῳ, ὑμῖν δ' ἐπιφράσσετ' ὄλεθρον.
a-bond in grievous for-you and devise destruction
ἀλλ' ἔχετ' ἐν φρεσὶ μῦθον, ἐπείγετε δ' ὦνον ὁδαίων.
but keep in minds the-word hasten and the-purchase of-goods
ἀλλ' ὅτε κεν δὴ νηῦς πλείη βιότοιο γένηται,
but when — indeed the-ship full of-livelihood becomes
ἀγγελίη μοι ἔπειτα θοῶς ἐς δώμαθ' ἱκέσθω·
news to-me then quickly to the-house let-come
οἴσω γὰρ καὶ χρυσόν, ὅτις χ' ὑποχείριος ἔλθῃ·
I-will-bring for also gold whatever — under-hand comes

καὶ δέ κεν ἄλλ᾽ ἐπίβαθρον ἐγὼν ἐθέλουσά γε δοίην.
and also — another fare I willing indeed would-give
παῖδα γὰρ ἀνδρὸς ἑῆος ἐνὶ μεγάροις ἀτιτάλλω,
the-child for of-the-man good in halls I-tend
κερδαλέον δὴ τοῖον, ἅμα τροχόωντα θύραζε·
cunning indeed such with(-me) running out-of-doors
τόν κεν ἄγοιμ᾽ ἐπὶ νηός, ὁ δ᾽ ὑμῖν μυρίον ὦνον
him — I-would-bring on the-ship he and for-you countless price
ἄλφοι, ὅπῃ περάσητε κατ᾽ ἀλλοθρόους ἀνθρώπους.᾽
would-fetch wherever you-sell among strange-tongued men
“Ἡ μὲν ἄρ᾽ ὣς εἰποῦσ᾽ ἀπέβη πρὸς δώματα καλά,
She indeed then so having-spoken departed to house fair
οἱ δ᾽ ἐνιαυτὸν ἅπαντα παρ᾽ ἡμῖν αὖθι μένοντες
they and a-year whole among us there staying
ἐν νηῒ γλαφυρῇ βίοτον πολὺν ἐμπολόωντο.
in ship hollow livelihood much gathered-by-trade
ἀλλ᾽ ὅτε δὴ κοίλη νηῦς ἤχθετο τοῖσι νέεσθαι,
but when indeed the-hollow ship was-laden for-them to-go
καὶ τότ᾽ ἄρ᾽ ἄγγελον ἦκαν, ὃς ἀγγείλειε γυναικί.
and then then a-messenger they-sent who might-tell to-the-woman
ἦλυθ᾽ ἀνὴρ πολύϊδρις ἐμοῦ πρὸς δώματα πατρὸς
came a-man very-cunning my to house of-father
χρύσεον ὅρμον ἔχων, μετὰ δ᾽ ἠλέκτροισιν ἔερτο.
golden necklace having among and with-amber-beads it-was-strung
τὸν μὲν ἄρ᾽ ἐν μεγάρῳ δμῳαὶ καὶ πότνια μήτηρ
it indeed then in the-hall the-maids and queenly mother
χερσίν τ᾽ ἀμφαφόωντο καὶ ὀφθαλμοῖσιν ὁρῶντο,
with-hands both handled and with-eyes looked-at
ὦνον ὑπισχόμεναι· ὁ δὲ τῇ κατένευσε σιωπῇ.
price promising he and to-her nodded in-silence

ἦ τοι ὁ καννεύσας κοίλην ἐπὶ νῆα βεβήκει,
truly indeed he having-nodded hollow to ship had-gone
ἡ δ' ἐμὲ χειρὸς ἑλοῦσα δόμων ἐξῆγε θύραζε.
she and me by-the-hand taking from-the-house led out-of-doors
εὗρε δ' ἐνὶ προδόμῳ ἠμὲν δέπα ἠδὲ τραπέζας
found and in the-forecourt both cups and tables
ἀνδρῶν δαιτυμόνων, οἵ μευ πατέρ' ἀμφεπένοντο.
of-men feasting who my father attended
οἱ μὲν ἄρ' ἐς θῶκον πρόμολον, δήμοιό τε φῆμιν,
they indeed then to the-council had-gone of-the-people and the-assembly
ἡ δ' αἶψα τρι' ἄλεισα κατακρύψασ' ὑπὸ κόλπῳ
she and quickly three goblets having-hidden under bosom
ἔκφερεν· αὐτὰρ ἐγὼν ἑπόμην ἀεσιφροσύνῃσι.
carried-out but I followed in-folly
δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί·
set and the-sun were-darkened and all the-streets
ἡμεῖς δ' ἐς λιμένα κλυτὸν ἴλθομεν ὦκα κιόντες,
we and into the-harbor famous came quickly going
ἔνθ' ἄρα Φοινίκων ἀνδρῶν ἦν ὠκύαλος νηῦς.
where then of-the-Phoenician men was swift-sailing ship
οἱ μὲν ἔπειτ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα,
they indeed then having-embarked sailed-over wet ways
νὼ ἀναβησάμενοι· ἐπὶ δὲ Ζεὺς οὖρον ἴαλλεν.
us-two having-taken-aboard upon(-it) and Zeus a-fair-wind sent
ἑξῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ·
for-six-days indeed alike we-sailed nights both and day
ἀλλ' ὅτε δὴ ἕβδομον ἦμαρ ἐπὶ Ζεὺς θῆκε Κρονίων,
but when indeed seventh day on Zeus put son-of-Cronus
τὴν μὲν ἔπειτα γυναῖκα βάλ' Ἄρτεμις ἰοχέαιρα,
the indeed then woman struck Artemis arrow-pouring

ἄντλῳ δ' ἐνδούπησε πεσοῦσ' ὡς εἰναλίη κήξ.
into-the-bilge and she-thudded falling as a-sea tern
καὶ τὴν μὲν φώκῃσι καὶ ἰχθύσι κύρμα γενέσθαι
and her indeed for-seals and fishes a-prey to-become
ἔκβαλον· αὐτὰρ ἐγὼ λιπόμην ἀκαχήμενος ἦτορ·
they-threw-out but I was-left grieved at-heart
τοὺς δ' Ἰθάκῃ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ,
them and to-Ithaca brought bearing wind both and water
ἔνθα με Λαέρτης πρίατο κτεάτεσσιν ἑοῖσιν.
there me Laertes bought with-possessions his-own
οὕτω τήνδε τε γαῖαν ἐγὼν ἴδον ὀφθαλμοῖσι."
so this — land I saw with-eyes
Τὸν δ' αὖ διογενὴς Ὀδυσεὺς ἠμείβετο μύθῳ·
Him and in-turn Zeus-born Odysseus answered with-speech
"Εὔμαι', ἦ μάλα δή μοι ἐνὶ φρεσὶ θυμὸν ὄρινας
Eumaeus truly very indeed my in mind heart you-have-stirred
ταῦτα ἕκαστα λέγων, ὅσα δὴ πάθες ἄλγεα θυμῷ.
these-things each telling how-many indeed you-suffered pains in-heart
ἀλλ' ἦ τοι σοὶ μὲν παρὰ καὶ κακῷ ἐσθλὸν ἔθηκε
but truly indeed for-you indeed beside even evil good has-set
Ζεύς, ἐπεὶ ἀνδρὸς δώματ' ἀφίκεο πολλὰ μογήσας
Zeus since of-a-man the-house you-reached much having-toiled
ἠπίου, ὃς δή τοι παρέχει βρῶσίν τε πόσιν τε
gentle who indeed to-you provides food both drink and
ἐνδυκέως, ζώεις δ' ἀγαθὸν βίον· αὐτὰρ ἐγώ γε
kindly you-live and good life but I indeed
πολλὰ βροτῶν ἐπὶ ἄστε' ἀλώμενος ἐνθάδ' ἱκάνω."
many of-mortals to cities wandering here I-come

At dawn Telemachus' crew put in on Ithaca, and he sends the ship to the city while he visits the herdsmen. Theoclymenus asks where to go, and Telemachus names Eurymachus, the suitor most eager to marry his mother, when a hawk flies by on the right with a dove in its talons. Theoclymenus reads it as a sign of the house's kingship, and Telemachus entrusts him to Piraeus and walks to the swineherd's farm.

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
So they indeed such-things to each-other spoke
καδδραθέτην δ' οὐ πολλὸν ἐπὶ χρόνον, ἀλλὰ μίνυνθα·
they-two-slept and not much for time but briefly
αἶψα γὰρ Ἠὼς ἦλθεν ἐΰθρονος. οἱ δ' ἐπὶ χέρσου
quickly for Dawn came fair-throned they and on the-shore
Τηλεμάχου ἕταροι λύον ἱστία, κὰδ δ' ἕλον ἱστὸν
of-Telemachus the-comrades loosed the-sails down and took the-mast
καρπαλίμως, τὴν δ' εἰς ὅρμον προέρυσσαν ἐρετμοῖς·
swiftly her and to anchorage rowed-forward with-oars
ἐκ δ' εὐνὰς ἔβαλον, κατὰ δὲ πρυμνήσι' ἔδησαν·
out and the-mooring-stones they-cast down and the-stern-cables tied
ἐκ δὲ καὶ αὐτοὶ βαῖνον ἐπὶ ῥηγμῖνι θαλάσσης,
out and also themselves went on the-breakers of-the-sea
δεῖπνόν τ' ἐντύνοντο κερώντό τε αἴθοπα οἶνον.
a-meal both they-prepared mixed and sparkling wine
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
but when of-drink and of-food out desire they-put
τοῖσι δὲ Τηλέμαχος πεπνυμένος ἤρχετο μύθων·
to-them and Telemachus prudent began of-speeches

"Ὑμεῖς μὲν νῦν ἄστυδ' ἐλαύνετε νῆα μέλαιναν,
You indeed now to-the-town row ship black
αὐτὰρ ἐγὼν ἀγροὺς ἐπιείσομαι ἠδὲ βοτῆρας·
but I the-fields will-visit and the-herdsmen
ἑσπέριος δ' εἰς ἄστυ ἰδὼν ἐμὰ ἔργα κάτειμι.
at-evening and to the-town having-seen my works I-will-come-down
ἠῶθεν δέ κεν ὔμμιν ὁδοιπόριον παραθείμην,
at-dawn and — to-you journey-wage I-would-set-before
δαῖτ' ἀγαθὴν κρειῶν τε καὶ οἴνου ἡδυπότοιο."
a-feast good of-meats both and of-wine sweet-to-drink

Τὸν δ' αὖτε προσέειπε Θεοκλύμενος θεοειδής·
Him and in-turn addressed Theoclymenus godlike
"Πῇ γὰρ ἐγώ, φίλε τέκνον, ἴω; τεῦ δώμαθ' ἵκωμαι
Where for I dear child shall-I-go of-whom the-house shall-I-reach
ἀνδρῶν οἳ κραναὴν Ἰθάκην κάτα κοιρανέουσιν;
of-men who rocky Ithaca throughout lord-it
ἦ ἰθὺς σῆς μητρὸς ἴω καὶ σοῖο δόμοιο;"
or straight of-your mother shall-I-go and of-your house

Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
"Ἄλλως μέν σ' ἂν ἐγώ γε καὶ ἡμέτερόνδε κελοίμην
Otherwise indeed you — I indeed even to-our-house would-bid
ἔρχεσθ'· οὐ γάρ τι ξενίων ποθή· ἀλλὰ σοὶ αὐτῷ
to-come not for at-all of-hospitality lack but for-you yourself
χεῖρον, ἐπεί τοι ἐγὼ μὲν ἀπέσσομαι, οὐδέ σε μήτηρ
worse since you-know I indeed will-be-away nor you mother
ὄψεται· οὐ μὲν γάρ τι θαμὰ μνηστῆρσ' ἐνὶ οἴκῳ
will-see not indeed for at-all often to-the-suitors in the-house
φαίνεται, ἀλλ' ἀπὸ τῶν ὑπερωΐῳ ἱστὸν ὑφαίνει.
she-appears but apart-from them in-the-upper-room the-web she-weaves

ἀλλά τοι ἄλλον φῶτα πιφαύσκομαι ὅν κεν ἵκοιο,
but to-you another man I-will-name whom — you-might-go-to
Εὐρύμαχον, Πολύβοιο δαΐφρονος ἀγλαὸν υἱόν,
Eurymachus of-Polybus wise glorious son
τὸν νῦν ἶσα θεῷ Ἰθακήσιοι εἰσορόωσι·
whom now equal to-a-god the-Ithacans look-on
καὶ γὰρ πολλὸν ἄριστος ἀνὴρ μέμονέν τε μάλιστα
and for far best man he-is-eager and most
μητέρ' ἐμὴν γαμέειν καὶ Ὀδυσσῆος γέρας ἔξειν.
mother my to-marry and of-Odysseus the-honor to-have
ἀλλὰ τά γε Ζεὺς οἶδεν Ὀλύμπιος, αἰθέρι ναίων,
but these-things indeed Zeus knows Olympian in-the-upper-air dwelling
εἴ κέ σφι πρὸ γάμοιο τελευτήσει κακὸν ἦμαρ."
whether — for-them before the-marriage will-bring-to-pass an-evil day
Ὣς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις,
So then to-him speaking flew-up on-the-right a-bird
κίρκος, Ἀπόλλωνος ταχὺς ἄγγελος· ἐν δὲ πόδεσσι
a-hawk of-Apollo swift messenger in and feet
τίλλε πέλειαν ἔχων, κατὰ δὲ πτερὰ χεῦεν ἔραζε
was-plucking a-dove holding down and the-feathers poured to-the-ground
μεσσηγὺς νηός τε καὶ αὐτοῦ Τηλεμάχοιο.
between the-ship both and of-himself Telemachus
τὸν δὲ Θεοκλύμενος ἑτάρων ἀπονόσφι καλέσσας
him and Theoclymenus the-comrades apart-from calling
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
in — then his he-clung hand word and spoke out and named(-him)
"Τηλέμαχ', οὔ τοι ἄνευ θεοῦ ἔπτατο δεξιὸς ὄρνις
Telemachus not you-know without a-god flew on-the-right the-bird
ἔγνων γάρ μιν ἐσάντα ἰδὼν οἰωνὸν ἐόντα.
I-knew for it face-to-face seeing a-bird-of-omen being

ὑμετέρου δ᾽ οὐκ ἔστι γένος βασιλεύτερον ἄλλο
than-your and not is race more-kingly other
ἐν δήμῳ Ἰθάκης, ἀλλ᾽ ὑμεῖς καρτεροὶ αἰεί.᾽᾽
in the-land of-Ithaca but you mighty always
Τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
᾽᾽Αἰ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη·
If-only for this stranger word fulfilled may-it-be
τῷ κε τάχα γνοίης φιλότητά τε πολλά τε δῶρα
then — soon you-would-know kindness both many and gifts
ἐξ ἐμεῦ, ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι.᾽᾽
from me so-that — anyone you meeting would-call-blessed
Ἦ καὶ Πείραιον προσεφώνεε, πιστὸν ἑταῖρον·
He-spoke and Piraeus addressed trusty comrade
᾽᾽Πείραιε Κλυτίδη, σὺ δέ μοι τά περ ἄλλα μάλιστα
Piraeus son-of-Clytius you and to-me in-the indeed other-things most
πείθῃ ἐμῶν ἑτάρων, οἵ μοι Πύλον εἰς ἅμ᾽ ἕποντο·
obey of-my comrades who me Pylos to along followed
καὶ νῦν μοι τὸν ξεῖνον ἄγων ἐν δώμασι σοῖσιν
and now for-me the stranger leading in house your
ἐνδυκέως φιλέειν καὶ τιέμεν, εἰς ὅ κεν ἔλθω.᾽᾽
kindly entertain and honor until (the-time)-when — I-come
Τὸν δ᾽ αὖ Πείραιος δουρικλυτὸς ἀντίον ηὔδα·
Him and in-turn Piraeus spear-famed in-reply spoke
᾽᾽Τηλέμαχ᾽, εἰ γάρ κεν σὺ πολὺν χρόνον ἐνθάδε μίμνοις,
Telemachus if for — you long time here should-stay
τόνδε τ᾽ ἐγὼ κομιῶ, ξενίων δέ οἱ οὐ ποθὴ ἔσται.᾽᾽
this-one — I will-care-for of-hospitality and for-him not lack will-be

Ὣς εἰπὼν ἐπὶ νηὸς ἔβη, ἐκέλευσε δ' ἑταίρους
So having-spoken onto the-ship went bade and the-comrades
αὐτούς τ' ἀμβαίνειν ἀνά τε πρυμνήσια λῦσαι.
themselves both to-embark up and the-stern-cables to-loose
οἱ δ' αἶψ' εἴσβαινον καὶ ἐπὶ κληῖσι καθίζον.
they and at-once embarked and on the-benches sat
Τηλέμαχος δ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
Telemachus and beneath feet bound fair sandals
εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέϊ χαλκῷ,
took and valiant spear pointed with-sharp bronze
νηὸς ἀπ' ἰκριόφιν· τοὶ δὲ πρυμνήσι' ἔλυσαν.
the-ship from the-deck they and the-stern-cables loosed
οἱ μὲν ἀνώσαντες πλέον ἐς πόλιν, ὡς ἐκέλευσε
they indeed having-pushed-off sailed to the-city as bade
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο·
Telemachus dear son of-Odysseus godlike
τὸν δ' ὦκα προβιβάντα πόδες φέρον, ὄφρ' ἵκετ' αὐλήν,
him and swiftly striding-forward feet bore until he-reached the-court
ἔνθα οἱ ἦσαν ὗες μάλα μυρίαι, ἦσι συβώτης
where his were swine very countless among-which the-swineherd
ἐσθλὸς ἐὼν ἐνίαυεν, ἀνάκτεσιν ἤπια εἰδώς.
good being slept to-lords kindly-things knowing

BOOK XVI

XVI.1 · TELEMACHUS AT THE HUT

At dawn the dogs fawn on Telemachus as he comes to the hut, and Eumaeus drops his mixing bowls and kisses him like a father whose only son comes home from far away. Telemachus asks whether his mother still waits or has married, and Eumaeus answers that she waits in tears. The stranger offers his seat, but Telemachus bids him keep it, and asks Eumaeus who he is.

Τὼ δ' αὖτ' ἐν κλισίῃ Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
Those-two and in-turn in the-hut Odysseus and noble swineherd
ἐντύνοντο ἄριστον ἅμ' ἠοῖ, κηαμένω πῦρ,
were-preparing breakfast at dawn having-kindled fire
ἔκπεμψάν τε νομῆας ἅμ' ἀγρομένοισι σύεσσι·
sent-out and the-herdsmen with the-gathered swine
Τηλέμαχον δὲ περίσσαινον κύνες ὑλακόμωροι,
Telemachus but fawned-around dogs loud-barking
οὐδ' ὕλαον προσιόντα. νόησε δὲ δῖος Ὀδυσσεὺς
nor barked approaching noticed and noble Odysseus
σαίνοντάς τε κύνας, περί τε κτύπος ἦλθε ποδοῖϊν.
fawning both dogs around and the-sound came of-two-feet
αἶψα δ' ἄρ' Εὔμαιον ἔπεα πτερόεντα προσηύδα·
quickly and then Eumaeus words winged addressed
"Εὔμαι', ἦ μάλα τίς τοι ἐλεύσεται ἐνθάδ' ἑταῖρος
Eumaeus truly very some to-you will-come here comrade
ἢ καὶ γνώριμος ἄλλος, ἐπεὶ κύνες οὐχ ὑλάουσιν,
or also acquaintance other since dogs not bark
ἀλλὰ περισσαίνουσι· ποδῶν δ' ὑπὸ δοῦπον ἀκούω."
but fawn-around of-feet and beneath(-them) the-thud I-hear

Οὔ πω πᾶν εἴρητο ἔπος, ὅτε οἱ φίλος υἱὸς
Not yet all had-been-spoken the-word when his dear son
ἔστη ἐνὶ προθύροισι. ταφὼν δ' ἀνόρουσε συβώτης,
stood in the-gateway amazed and sprang-up the-swineherd
ἐκ δ' ἄρα οἱ χειρῶν πέσον ἄγγεα, τοῖς ἐπονεῖτο,
out and then his from-hands fell the-vessels with-which he-was-busy
κιρνὰς αἴθοπα οἶνον. ὁ δ' ἀντίος ἦλθεν ἄνακτος,
mixing sparkling wine he and to-meet came of-(his)-lord
κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλὰ
kissed and him on-head both and both eyes fair
χεῖράς τ' ἀμφοτέρας· θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ.
hands and both swelling and his fell tear
ὡς δὲ πατὴρ ὃν παῖδα φίλα φρονέων ἀγαπάζῃ
as and a-father his-own son kindly thinking welcomes
ἐλθόντ' ἐξ ἀπίης γαίης δεκάτῳ ἐνιαυτῷ,
coming from a-distant land in-the-tenth year
μοῦνον τηλύγετον, τῷ ἔπ' ἄλγεα πολλὰ μογήσῃ,
only late-born whom over pains many he-has-suffered
ὡς τότε Τηλέμαχον θεοειδέα δῖος ὑφορβὸς
so then Telemachus godlike noble swineherd
πάντα κύσεν περιφύς, ὡς ἐκ θανάτοιο φυγόντα·
all-over kissed embracing(-him) as from death having-escaped
καί ῥ' ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
and then lamenting words winged addressed
" Ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος. οὔ σ' ἔτ' ἐγώ γε
You-have-come Telemachus sweet light not you longer I indeed
ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηΐ Πύλονδε.
to-see I-thought after you-went by-ship to-Pylos

ἀλλ᾽ ἄγε νῦν εἴσελθε, φίλον τέκος, ὄφρα σε θυμῷ
but come now come-in dear child so-that you in-heart
τέρψομαι εἰσορόων νέον ἄλλοθεν ἔνδον ἐόντα.
I-may-delight looking-at newly from-elsewhere inside being
οὐ μὲν γάρ τι θάμ᾽ ἀγρὸν ἐπέρχεαι οὐδὲ νομῆας,
not indeed for at-all often the-field you-visit nor the-herdsmen
ἀλλ᾽ ἐπιδημεύεις· ὣς γάρ νύ τοι εὔαδε θυμῷ,
but you-stay-in-town so for now to-you it-pleased in-heart
ἀνδρῶν μνηστήρων ἐσορᾶν ἀΐδηλον ὅμιλον."
of-men of-suitors to-look-on destructive throng
Τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
" Ἔσσεται οὕτως, ἄττα· σέθεν δ᾽ ἕνεκ᾽ ἐνθάδ᾽ ἰκάνω,
It-shall-be so father of-you and for-the-sake-of here I-come
ὄφρα σέ τ᾽ ὀφθαλμοῖσιν ἴδω καὶ μῦθον ἀκούσω,
so-that you both with-eyes I-may-see and word may-hear
ἤ μοι ἔτ᾽ ἐν μεγάροις μήτηρ μένει, ἦέ τις ἤδη
whether my still in the-halls mother stays or some already
ἀνδρῶν ἄλλος ἔγημεν, Ὀδυσσῆος δέ που εὐνὴ
of-men other has-married of-Odysseus and surely the-bed
χήτει ἐνευναίων κάκ᾽ ἀράχνια κεῖται ἔχουσα."
for-lack of-sleepers foul cobwebs lies having
Τὸν δ᾽ αὖτε προσέειπε συβώτης, ὄρχαμος ἀνδρῶν·
Him and in-turn addressed the-swineherd leader of-men
"Καὶ λίην κείνη γε μένει τετληότι θυμῷ
Yes surely she indeed stays with-enduring heart
σοῖσιν ἐνὶ μεγάροισιν· ὀϊζυραὶ δέ οἱ αἰεὶ
your in halls woeful and for-her always
φθίνουσιν νύκτες τε καὶ ἤματα δάκρυ χεούσῃ."
waste-away nights both and days tear shedding

Ὣς ἄρα φωνήσας οἱ ἐδέξατο χάλκεον ἔγχος·
So then having-spoken from-him received bronze spear
αὐτὰρ ὅ γ' εἴσω ἴεν καὶ ὑπέρβη λάϊνον οὐδόν.
but he indeed inside went and crossed stone threshold
τῷ δ' ἕδρης ἐπιόντι πατὴρ ὑπόειξεν Ὀδυσσεύς·
to-him and from-the-seat approaching father gave-way Odysseus
Τηλέμαχος δ' ἑτέρωθεν ἐρήτυε φώνησέν τε·
Telemachus but from-the-other-side checked(-him) spoke and
"Ἧσ', ὦ ξεῖν'· ἡμεῖς δὲ καὶ ἄλλοθι δήομεν ἕδρην
Sit O stranger we and also elsewhere shall-find a-seat
σταθμῷ ἐν ἡμετέρῳ· πάρα δ' ἀνὴρ ὃς καταθήσει."
farmstead in our is-at-hand and a-man who will-set(-it)
Ὣς φάθ', ὁ δ' αὖτις ἰὼν κατ' ἄρ' ἕζετο· τῷ δὲ συβώτης
So he-spoke he and back going down then sat for-him and the-swineherd
χεῦεν ὕπο χλωρὰς ῥῶπας καὶ κῶας ὕπερθεν·
heaped beneath green brushwood and a-fleece on-top
ἔνθα καθέζετ' ἔπειτα Ὀδυσσῆος φίλος υἱός.
there sat then of-Odysseus dear son
τοῖσιν δ' αὖ κρειῶν πίνακας παρέθηκε συβώτης
for-them and in-turn of-meats platters set-beside the-swineherd
ὀπταλέων, ἅ ῥα τῇ προτέρῃ ὑπέλειπον ἔδοντες,
roasted which then on-the previous-day they-had-left eating
σῖτον δ' ἐσσυμένως παρενήνεεν ἐν κανέοισιν,
bread and hastily heaped-beside in baskets
ἐν δ' ἄρα κισσυβίῳ κίρνη μελιηδέα οἶνον·
in and then an-ivy-bowl mixed honey-sweet wine
αὐτὸς δ' ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο.
himself and opposite sat of-Odysseus godlike
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
they and on food ready lying-before hands put-forth

αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
but when of-drink and of-food out desire they-put
δὴ τότε Τηλέμαχος προσεφώνεε δῖον ὑφορβόν·
indeed then Telemachus addressed noble swineherd
"Ἄττα, πόθεν τοι ξεῖνος ὅδ' ἵκετο; πῶς δέ ἑ ναῦται
Father whence to-you stranger this came how and him sailors
ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωντο;
brought to Ithaca who to-be did-they-declare
οὐ μὲν γάρ τί ἑ πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι."
not indeed for at-all him on-foot I-think here to-have-come

XVI.2 · THE STRANGER'S INDIGNATION

Eumaeus says the guest is a Cretan wanderer and a suppliant. Telemachus will clothe and arm him but cannot protect him among the suitors. Odysseus asks why he submits to them, and Telemachus answers that his house has had a single son in each generation while the island lords waste it. He sends Eumaeus to tell Penelope alone that he is home; Laertes is to hear through her housekeeper.

Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Him and answering you-addressed Eumaeus swineherd
"Τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ' ἀγορεύσω.
Therefore I to-you child true-things all will-tell
ἐκ μὲν Κρητάων γένος εὔχεται εὐρειάων,
from indeed of-Crete by-race he-claims broad
φησὶ δὲ πολλὰ βροτῶν ἐπὶ ἄστεα διηνεκὲς ἐλθεῖν
he-says and many of-mortals to cities to-have-roamed
πλαζόμενος· ὣς γάρ οἱ ἐπέκλωσεν τά γε δαίμων.
wandering so for for-him spun these-things indeed the-god

νῦν αὖ Θεσπρωτῶν ἀνδρῶν ἐκ νηὸς ἀποδρὰς
now in-turn of-the-Thesprotian men from the-ship having-run-away
ἦλυθ' ἐμὸν πρὸς σταθμόν, ἐγὼ δέ τοι ἐγγυαλίξω·
he-came my to farmstead I and to-you will-hand(-him)-over
ἔρξον ὅπως ἐθέλεις· ἱκέτης δέ τοι εὔχεται εἶναι."
act as you-wish a-suppliant and your he-claims to-be
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
"Εὔμαι', ἦ μάλα τοῦτο ἔπος θυμαλγὲς ἔειπες·
Eumaeus truly very this word heart-grieving you-have-spoken
πῶς γὰρ δὴ τὸν ξεῖνον ἐγὼν ὑποδέξομαι οἴκῳ;
how for indeed the stranger I shall-receive in-the-house
αὐτὸς μὲν νέος εἰμὶ καὶ οὔ πω χερσὶ πέποιθα
myself indeed young I-am and not yet in-hands I-trust
ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ·
a-man to-ward-off when anyone first grows-angry
μητρὶ δ' ἐμῇ δίχα θυμὸς ἐνὶ φρεσὶ μερμηρίζει,
to-mother and my in-two heart in mind ponders
ἢ αὐτοῦ παρ' ἐμοί τε μένῃ καὶ δῶμα κομίζῃ,
whether there with me both she-should-stay and the-house tend
εὐνήν τ' αἰδομένη πόσιος δήμοιό τε φῆμιν,
the-bed both respecting of-husband of-the-people and the-voice
ἦ ἤδη ἅμ' ἕπηται Ἀχαιῶν ὅς τις ἄριστος
or already with(-him) she-should-go of-the-Achaeans who any best
μνᾶται ἐνὶ μεγάροισιν ἀνὴρ καὶ πλεῖστα πόρῃσιν.
woos in the-halls a-man and most gives
ἀλλ' ἦ τοι τὸν ξεῖνον, ἐπεὶ τεὸν ἵκετο δῶμα,
but truly indeed the stranger since your he-came house
ἕσσω μιν χλαῖνάν τε χιτῶνά τε, εἵματα καλά,
I-will-clothe him cloak both tunic and clothes fair

δώσω δὲ ξίφος ἄμφηκες καὶ ποσσὶ πέδιλα,
I-will-give and a-sword two-edged and for-feet sandals
πέμψω δ' ὅππη μιν κραδίη θυμός τε κελεύει.
I-will-send and wherever him heart spirit and bids
εἰ δ' ἐθέλεις, σὺ κόμισσον ἐνὶ σταθμοῖσιν ἐρύξας·
if but you-wish you care-for(-him) in the-farmstead keeping(-him)
εἵματα δ' ἐνθάδ' ἐγὼ πέμψω καὶ σῖτον ἅπαντα
clothes and here I will-send and food all
ἔδμεναι, ὡς ἂν μή σε κατατρύχῃ καὶ ἑταίρους.
to-eat so-that — not you he-may-wear-out and comrades
κεῖσε δ' ἂν οὔ μιν ἐγώ γε μετὰ μνηστῆρας ἐῴμι
there but — not him I indeed among the-suitors would-let
ἔρχεσθαι· λίην γὰρ ἀτάσθαλον ὕβριν ἔχουσι·
to-go too for reckless insolence they-have
μή μιν κερτομέωσιν, ἐμοὶ δ' ἄχος ἔσσεται αἰνόν.
lest him they-may-mock for-me and grief will-be dread
πρῆξαι δ' ἀργαλέον τι μετὰ πλεόνεσσιν ἐόντα
to-accomplish and hard anything among more being
ἄνδρα καὶ ἴφθιμον, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσι."
a-man even mighty since truly much stronger they-are
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Him and in-turn addressed much-enduring noble Odysseus
" Ὦ φίλ', ἐπεί θήν μοι καὶ ἀμείψασθαι θέμις ἐστίν,
O friend since surely for-me also to-answer right it-is
ἦ μάλα μευ καταδάπτετ' ἀκούοντος φίλον ἦτορ,
truly very my is-torn hearing dear heart
οἷά φατε μνηστῆρας ἀτάσθαλα μηχανάασθαι
what you-say the-suitors reckless-things to-devise
ἐν μεγάροις, ἀέκητι σέθεν τοιούτου ἐόντος.
in the-halls against-the-will of-you such being

εἰπέ μοι ἠὲ ἑκὼν ὑποδάμνασαι, ἦ σέ γε λαοὶ
tell me whether willingly you-submit or you indeed the-people
ἐχθαίρουσ᾽ ἀνὰ δῆμον, ἐπισπόμενοι θεοῦ ὀμφῇ,
hate throughout the-land following of-a-god the-voice
ἦ τι κασιγνήτοις ἐπιμέμφεαι, οἷσί περ ἀνὴρ
or at-all brothers do-you-blame in-whom indeed a-man
μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται.
fighting trusts even if great strife arise
αἲ γὰρ ἐγὼν οὕτω νέος εἴην τῷδ᾽ ἐπὶ θυμῷ,
would-that for I so young were with-this in heart
ἢ παῖς ἐξ Ὀδυσῆος ἀμύμονος ἠὲ καὶ αὐτός·
or a-son of Odysseus blameless or even himself
αὐτίκ᾽ ἔπειτ᾽ ἀπ᾽ ἐμεῖο κάρη τάμοι ἀλλότριος φώς,
at-once then from me the-head may-cut a-stranger man
εἰ μὴ ἐγὼ κείνοισι κακὸν πάντεσσι γενοίμην,
if not I to-them an-evil all should-become
ἐλθὼν ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.
going into the-hall of-the-son-of-Laertes Odysseus
εἰ δ᾽ αὖ με πληθυῖ δαμασαίατο μοῦνον ἐόντα,
if but in-turn me by-numbers they-should-overcome alone being
βουλοίμην κ᾽ ἐν ἐμοῖσι κατακτάμενος μεγάροισι
I-would-wish — in my slain halls
τεθνάμεν ἢ τάδε γ᾽ αἰὲν ἀεικέα ἔργ᾽ ὁράασθαι,
to-be-dead than these indeed always unseemly deeds to-look-on
ξείνους τε στυφελιζομένους δμῳάς τε γυναῖκας
strangers both being-mistreated serving and women
ῥυστάζοντας ἀεικελίως κατὰ δώματα καλά,
dragging shamefully through house fair

καὶ οἶνον διαφυσσόμενον, καὶ σῖτον ἔδοντας
and wine being-drawn-off and bread eating
μὰψ αὔτως, ἀτέλεστον, ἀνηνύστῳ ἐπὶ ἔργῳ."
idly just-so endlessly unachievable at task
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
"Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω.
Therefore I to-you stranger very truly will-tell
οὔτε τί μοι πᾶς δῆμος ἀπεχθόμενος χαλεπαίνει,
neither at-all with-me all the-people hating is-angry
οὔτε κασιγνήτοις ἐπιμέμφομαι, οἷσί περ ἀνὴρ
nor brothers do-I-blame in-whom indeed a-man
μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται.
fighting trusts even if great strife arise
ὧδε γὰρ ἡμετέρην γενεὴν μούνωσε Κρονίων·
thus for our line made-single the-son-of-Cronus
μοῦνον Λαέρτην Ἀρκείσιος υἱὸν ἔτικτε,
only Laertes Arceisius son begot
μοῦνον δ' αὖτ' Ὀδυσῆα πατὴρ τέκεν· αὐτὰρ Ὀδυσσεὺς
only and in-turn Odysseus father begot but Odysseus
μοῦνον ἔμ' ἐν μεγάροισι τεκὼν λίπεν οὐδ' ἀπόνητο.
only me in the-halls having-begotten left nor had-joy(-of-me)
τῷ νῦν δυσμενέες μάλα μυρίοι εἴσ' ἐνὶ οἴκῳ.
therefore now foes very countless are in the-house
ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
as-many-as for over-the-islands hold-power the-best
Δουλιχίῳ τε Σάμῃ τε καὶ ὑλήεντι Ζακύνθῳ,
over-Dulichium both Same and also wooded Zacynthus
ἠδ' ὅσσοι κραναὴν Ἰθάκην κάτα κοιρανέουσι,
and as-many-as rocky Ithaca throughout lord-it

τόσσοι μητέρ᾽ ἐμὴν μνῶνται, τρύχουσι δὲ οἶκον.
so-many mother my woo wear-out and the-house
ἡ δ᾽ οὔτ᾽ ἀρνεῖται στυγερὸν γάμον οὔτε τελευτὴν
she and neither refuses hateful marriage nor an-end
ποιῆσαι δύναται· τοὶ δὲ φθινύθουσιν ἔδοντες
to-make is-able they and waste-away eating
οἶκον ἐμόν· τάχα δή με διαρραίσουσι καὶ αὐτόν.
house my soon indeed me they-will-tear-apart even myself
ἀλλ᾽ ἦ τοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται·
but truly indeed indeed these-things of-the-gods on the-knees lie
ἄττα, σὺ δ᾽ ἔρχεο θᾶσσον, ἐχέφρονι Πηνελοπείῃ
father you but go quickly to-prudent Penelope
εἴφ᾽ ὅτι οἱ σῶς εἰμὶ καὶ ἐκ Πύλου εἰλήλουθα.
tell that to-her safe I-am and from Pylos have-come
αὐτὰρ ἐγὼν αὐτοῦ μενέω, σὺ δὲ δεῦρο νέεσθαι,
but I here will-stay you and hither come-back
οἴῃ ἀπαγγείλας· τῶν δ᾽ ἄλλων μή τις Ἀχαιῶν
to-her-alone having-reported of-the and others not any of-the-Achaeans
πευθέσθω· πολλοὶ γὰρ ἐμοὶ κακὰ μηχανόωνται.”
let-learn many for for-me evils devise
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Him and answering you-addressed Eumaeus swineherd
“Γιγνώσκω, φρονέω· τά γε δὴ νοέοντι κελεύεις.
I-know I-understand these-things indeed truly to-one-who-knows you-bid
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
but come to-me this tell and truly recount

ἦ καὶ Λαέρτῃ αὐτὴν ὁδὸν ἄγγελος ἔλθω
whether also to-Laertes the-same road messenger I-should-go
δυσμόρῳ, ὃς τῆος μὲν Ὀδυσσῆος μέγ' ἀχεύων
ill-fated who until-now indeed for-Odysseus greatly grieving
ἔργα τ' ἐποπτεύεσκε μετὰ δμώων τ' ἐνὶ οἴκῳ
the-works both used-to-oversee among servants and in the-house
πῖνε καὶ ἦσθ', ὅτε θυμὸς ἐνὶ στήθεσσιν ἀνώγοι·
drank and ate when heart in breast bade
αὐτὰρ νῦν, ἐξ οὗ σύ γε ᾤχεο νηΐ Πύλονδε,
but now from when you indeed went by-ship to-Pylos
οὔ πω μίν φασιν φαγέμεν καὶ πιέμεν αὔτως,
not yet him they-say to-have-eaten and to-have-drunk just-so
οὐδ' ἐπὶ ἔργα ἰδεῖν, ἀλλὰ στοναχῇ τε γόῳ τε
nor at the-works to-look but with-groaning both lament and
ἧσται ὀδυρόμενος, φθινύθει δ' ἀμφ' ὀστεόφι χρώς."
he-sits wailing wastes and around bones the-flesh

Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
" Ἄλγιον, ἀλλ' ἔμπης μιν ἐάσομεν, ἀχνύμενοί περ·
More-grievous but all-the-same him let-us-leave grieving though
εἰ γὰρ πως εἴη αὐτάγρετα πάντα βροτοῖσι,
if for somehow should-be self-chosen all for-mortals
πρῶτόν κεν τοῦ πατρὸς ἑλοίμεθα νόστιμον ἦμαρ.
first — of-the father we-would-choose of-return the-day

ἀλλὰ σύ γ᾽ ἀγγείλας ὀπίσω κίε, μηδὲ κατ᾽ ἀγροὺς
but you indeed having-reported back go nor through the-fields
πλάζεσθαι μετ᾽ ἐκεῖνον· ἀτὰρ πρὸς μητέρα εἰπεῖν
wander after him but to mother tell
ἀμφίπολον ταμίην ὀτρυνέμεν ὅττι τάχιστα
the-handmaid housekeeper to-send as quickly-as-possible
κρύβδην· κείνη γάρ κεν ἀπαγγείλειε γέροντι.”
secretly she for — could-report to-the-old-man

XVI.3 · FATHER AND SON

When Eumaeus has gone, Athena appears at the door, seen only by Odysseus and the dogs, and tells him to reveal himself. With her golden wand she restores his youth and dress. Telemachus takes him for a god, and Odysseus says he is his father, home in the twentieth year. They weep together, and Telemachus counts the suitors: over a hundred from four islands, with their attendants.

Ἦ ῥα καὶ ὦρσε συφορβόν· ὁ δ᾽ εἵλετο χερσὶ πέδιλα,
He-spoke then and roused the-swineherd he and took in-hands sandals
δησάμενος δ᾽ ὑπὸ ποσσὶ πόλινδ᾽ ἴεν. οὐδ᾽ ἄρ᾽ Ἀθήνην
having-bound and beneath feet to-the-city went nor then Athena
λῆθεν ἀπὸ σταθμοῖο κιὼν Εὔμαιος ὑφορβός,
escaped-the-notice-of from the-farmstead going Eumaeus swineherd
ἀλλ᾽ ἥ γε σχεδὸν ἦλθε· δέμας δ᾽ ἤϊκτο γυναικὶ
but she indeed near came in-form and was-like to-a-woman
καλῇ τε μεγάλῃ τε καὶ ἀγλαὰ ἔργα ἰδυίῃ.
fair both tall and also glorious works knowing
στῆ δὲ κατ᾽ ἀντίθυρον κλισίης Ὀδυσῆϊ φανεῖσα·
stood and at the-opposite-doorway of-the-hut to-Odysseus appearing
οὐδ᾽ ἄρα Τηλέμαχος ἴδεν ἀντίον οὐδ᾽ ἐνόησεν,
nor then Telemachus saw(-her) facing nor noticed

οὐ γὰρ πω πάντεσσι θεοὶ φαίνονται ἐναργεῖς,
not for in-any-way to-all the-gods appear manifest
ἀλλ᾽ Ὀδυσεὺς τε κύνες τε ἴδον, καί ῥ᾽ οὐχ ὑλάοντο
but Odysseus both dogs and saw and then not barked
κνυζηθμῷ δ᾽ ἐτέρωσε διὰ σταθμοῖο φόβηθεν.
with-whimpering and to-the-other-side through the-farmstead fled
ἡ δ᾽ ἄρ᾽ ἐπ᾽ ὀφρύσι νεῦσε· νόησε δὲ δῖος Ὀδυσσεύς,
she and then with brows nodded noticed and noble Odysseus
ἐκ δ᾽ ἦλθεν μεγάροιο παρὲκ μέγα τειχίον αὐλῆς,
out and came from-the-hall along the-great wall of-the-court
στῆ δὲ πάροιθ᾽ αὐτῆς· τὸν δὲ προσέειπεν Ἀθήνη·
stood and before her him and addressed Athena
“Διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
Zeus-born son-of-Laertes of-many-devices Odysseus
ἤδη νῦν σῷ παιδὶ ἔπος φάο μηδ᾽ ἐπίκευθε,
already now to-your son word speak nor conceal(-it)
ὡς ἂν μνηστῆρσιν θάνατον καὶ κῆρ᾽ ἀραρόντε
so-that — for-the-suitors death and doom having-planned
ἔρχησθον προτὶ ἄστυ περικλυτόν· οὐδ᾽ ἐγὼ αὐτὴ
you-two-may-go to the-city very-famous nor I myself
δηρὸν ἀπὸ σφῶϊν ἔσομαι μεμαυῖα μάχεσθαι.”
long from you-two shall-be eager to-fight
Ἡ καὶ χρυσείῃ ῥάβδῳ ἐπεμάσσατ᾽ Ἀθήνη.
She-spoke and with-golden wand touched(-him) Athena
φᾶρος μέν οἱ πρῶτον ἐϋπλυνὲς ἠδὲ χιτῶνα
a-cloak indeed to-him first well-washed and a-tunic
θῆκ᾽ ἀμφὶ στήθεσσι, δέμας δ᾽ ὤφελλε καὶ ἥβην.
she-put around breast the-frame and increased and the-youth
ἂψ δὲ μελαγχροιὴς γένετο, γναθμοὶ δὲ τάνυσθεν,
again and dark-skinned he-became the-jaws and filled-out

κυάνεαι δ᾽ ἐγένοντο γενειάδες ἀμφὶ γένειον.
dark and became the-beard-hairs around chin
ἡ μὲν ἄρ᾽ ὣς ἔρξασα πάλιν κίεν· αὐτὰρ Ὀδυσσεὺς
she indeed then so having-done back went but Odysseus
ἤϊεν ἐς κλισίην· θάμβησε δέ μιν φίλος υἱός,
went into the-hut marveled and at-him dear son
ταρβήσας δ᾽ ἑτέρωσε βάλ᾽ ὄμματα, μὴ θεὸς εἴη,
afraid and aside cast eyes lest a-god he-might-be
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
“ Ἀλλοῖός μοι, ξεῖνε, φάνης νέον ἠὲ πάροιθεν,
Different to-me stranger you-appeared just-now than before
ἄλλα δὲ εἵματ᾽ ἔχεις, καί τοι χρὼς οὐκέθ᾽ ὁμοῖος.
other and clothes you-have and your skin no-longer like
ἦ μάλα τις θεός ἐσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν·
truly very some god you-are who heaven broad hold
ἀλλ᾽ ἵληθ᾽, ἵνα τοι κεχαρισμένα δώομεν ἱρὰ
but be-gracious so-that to-you pleasing we-may-give offerings
ἠδὲ χρύσεα δῶρα, τετυγμένα· φείδεο δ᾽ ἡμέων.”
and golden gifts wrought spare and us
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
Him and answered then much-enduring noble Odysseus
“Οὔ τίς τοι θεός εἰμι· τί μ᾽ ἀθανάτοισιν ἐΐσκεις;
Not any you-know god I-am why me to-the-immortals do-you-liken
ἀλλὰ πατὴρ τεός εἰμι, τοῦ εἵνεκα σὺ στεναχίζων
but father your I-am whom for-the-sake-of you groaning
πάσχεις ἄλγεα πολλά, βίας ὑποδέγμενος ἀνδρῶν.”
suffer pains many the-violence submitting-to of-men

Ὣς ἄρα φωνήσας υἱὸν κύσε, κὰδ δὲ παρειῶν
So then having-spoken the-son he-kissed down and from-cheeks
δάκρυον ἧκε χαμᾶζε· πάρος δ' ἔχε νωλεμὲς αἰεί.
a-tear let-fall to-the-ground before but held(-it) steadily always
Τηλέμαχος δ'· οὐ γάρ πω ἐπείθετο ὃν πατέρ' εἶναι,
Telemachus but not for yet believed his father to-be
ἐξαῦτίς μιν ἔπεσσιν ἀμειβόμενος προσέειπεν·
again him with-words answering addressed
"Οὐ σύ γ' Ὀδυσσεύς ἐσσι, πατὴρ ἐμός, ἀλλά με δαίμων
Not you indeed Odysseus are father my but me a-god
θέλγει, ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος στεναχίζω.
beguiles so-that still more lamenting I-may-groan
οὐ γάρ πως ἂν θνητὸς ἀνὴρ τάδε μηχανόωτο
not for in-any-way — mortal man these-things could-contrive
ᾧ αὐτοῦ γε νόῳ, ὅτε μὴ θεὸς αὐτὸς ἐπελθὼν
by-his own indeed wit when not a-god himself coming
ῥηϊδίως ἐθέλων θείη νέον ἠὲ γέροντα.
easily wishing should-make young or old
ἦ γάρ τοι νέον ἧσθα γέρων καὶ ἀεικέα ἕσσο·
truly for you-know just-now you-were old and unseemly-things you-wore
νῦν δὲ θεοῖσιν ἔοικας, οἳ οὐρανὸν εὐρὺν ἔχουσι."
now but to-the-gods you-are-like who heaven broad hold
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"Τηλέμαχ', οὔ σε ἔοικε φίλον πατέρ' ἔνδον ἐόντα
Telemachus not you befits dear father within being
οὔτε τι θαυμάζειν περιώσιον οὔτ' ἀγάασθαι·
either at-all to-wonder exceedingly or to-be-amazed
οὐ μὲν γάρ τοι ἔτ' ἄλλος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεύς,
not indeed for you-know still other will-come here Odysseus

ἀλλ᾽ ὅδ᾽ ἐγὼ τοιόσδε, παθὼν κακά, πολλὰ δ᾽ ἀληθείς,
but here I such having-suffered evils much and having-wandered
ἦλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
I-have-come in-the-twentieth year to native land
αὐτάρ τοι τόδε ἔργον Ἀθηναίης ἀγελείης,
but you-know this the-work of-Athena driver-of-spoil
ἥ τέ με τοῖον ἔθηκεν, ὅπως ἐθέλει, δύναται γάρ,
who — me such made as she-wishes she-can for
ἄλλοτε μὲν πτωχῷ ἐναλίγκιον, ἄλλοτε δ᾽ αὖτε
at-times indeed to-a-beggar like at-times and in-turn
ἀνδρὶ νέῳ καὶ καλὰ περὶ χροῒ εἵματ᾽ ἔχοντι.
to-a-man young and fair about skin clothes having
ῥηΐδιον δὲ θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
easy and for-the-gods who heaven broad hold
ἠμὲν κυδῆναι θνητὸν βροτὸν ἠδὲ κακῶσαι.᾽᾽
both to-glorify mortal man and to-abase
Ὣς ἄρα φωνήσας κατ᾽ ἄρ᾽ ἕζετο, Τηλέμαχος δὲ
So then having-spoken down then sat Telemachus and
ἀμφιχυθεὶς πατέρ᾽ ἐσθλὸν ὀδύρετο, δάκρυα λείβων,
embracing father noble wept tears shedding
ἀμφοτέροισι δὲ τοῖσιν ὑφ᾽ ἵμερος ὦρτο γόοιο·
in-both and them beneath longing arose for-lament
κλαῖον δὲ λιγέως, ἀδινώτερον ἤ τ᾽ οἰωνοί,
they-wept and shrilly more-thickly than — birds
φῆναι ἢ αἰγυπιοὶ γαμψώνυχες, οἵσί τε τέκνα
sea-eagles or vultures crook-taloned whose — young
ἀγρόται ἐξείλοντο πάρος πετεηνὰ γενέσθαι·
countrymen have-taken-away before fledged to-become
ὣς ἄρα τοί γ᾽ ἐλεεινὸν ὑπ᾽ ὀφρύσι δάκρυον εἶβον.
so then they indeed pitiable beneath brows tear shed

καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,
and now — on-them-weeping would-have-set the-light of-the-sun
εἰ μὴ Τηλέμαχος προσεφώνεεν ὃν πατέρ' αἶψα·
if not Telemachus had-addressed his-own father quickly
"Ποίῃ γὰρ νῦν δεῦρο, πάτερ φίλε, νηΐ σε ναῦται
In-what-kind for now hither father dear ship you sailors
ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωντο;
brought to Ithaca who to-be did-they-declare
οὐ μὲν γάρ τί σε πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι."
not indeed for at-all you on-foot I-think here to-have-come
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Him and in-turn addressed much-enduring noble Odysseus
"Τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθείην καταλέξω.
Therefore I to-you child the-truth will-recount
Φαίηκές μ' ἄγαγον ναυσίκλυτοι, οἵ τε καὶ ἄλλους
Phaeacians me brought famed-for-ships who — also other
ἀνθρώπους πέμπουσιν, ὅτις σφέας εἰσαφίκηται·
men convey whoever them reaches
καί μ' εὕδοντ' ἐν νηΐ θοῇ ἐπὶ πόντον ἄγοντες
and me sleeping in ship swift over the-sea bringing
κάτθεσαν εἰς Ἰθάκην, ἔπορον δέ μοι ἀγλαὰ δῶρα,
set(-me)-down in Ithaca gave and to-me glorious gifts
χαλκόν τε χρυσόν τε ἅλις ἐσθῆτά θ' ὑφαντήν.
bronze both gold and enough clothing and woven
καὶ τὰ μὲν ἐν σπήεσσι θεῶν ἰότητι κέονται·
and them indeed in caves by-the-gods' will lie
νῦν αὖ δεῦρ' ἱκόμην ὑποθημοσύνῃσιν Ἀθήνης,
now in-turn hither I-came by-the-counsels of-Athena
ὄφρα κε δυσμενέεσσι φόνου πέρι βουλεύσωμεν.
so-that — for-foes of-slaughter about we-may-plan

ἀλλ᾽ ἄγε μοι μνηστῆρας ἀριθμήσας κατάλεξον,
but come to-me the-suitors having-counted recount
ὄφρ᾽ εἰδέω ὅσσοι τε καὶ οἵ τινες ἀνέρες εἰσί·
so-that I-may-know how-many both and who any men they-are
καί κεν ἐμὸν κατὰ θυμὸν ἀμύμονα μερμηρίξας
and — my in heart blameless having-pondered
φράσσομαι, ἤ κεν νῶϊ δυνησόμεθ᾽ ἀντιφέρεσθαι
I-may-consider whether — we-two shall-be-able to-oppose(-them)
μούνω ἄνευθ᾽ ἄλλων, ἦ καὶ διζησόμεθ᾽ ἄλλους.᾽᾽
alone-two without others or also we-shall-seek others
Τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
᾽᾽ Ὦ πάτερ, ἦ τοι σεῖο μέγα κλέος αἰὲν ἄκουον,
O father truly indeed of-you great fame always I-heard
χειρός τ᾽ αἰχμητὴν ἔμεναι καὶ ἐπίφρονα βουλήν·
in-hands both a-spearman to-be and wise in-counsel
ἀλλὰ λίην μέγα εἶπες· ἄγη μ᾽ ἔχει· οὐδέ κεν εἴη
but too great you-have-said amazement me holds nor — could-it-be
ἄνδρε δύω πολλοῖσι καὶ ἰφθίμοισι μάχεσθαι.
men two against-many and mighty to-fight
μνηστήρων δ᾽ οὔτ᾽ ἂρ δεκὰς ἀτρεκὲς οὔτε δύ᾽ οἶαι,
of-the-suitors and neither then ten exactly nor two only
ἀλλὰ πολὺ πλέονες· τάχα δ᾽ εἴσεαι ἐνθάδ᾽ ἀριθμόν.
but much more soon and you-will-know here the-number
ἐκ μὲν Δουλιχίοιο δύω καὶ πεντήκοντα
from indeed Dulichium two and fifty
κοῦροι κεκριμένοι, ἓξ δὲ δρηστῆρες ἕπονται·
youths chosen six and serving-men follow
ἐκ δὲ Σάμης πίσυρές τε καὶ εἴκοσι φῶτες ἔασιν,
from and Same four both and twenty men are

ἐκ δὲ Ζακύνθου ἔασιν ἐείκοσι κοῦροι Ἀχαιῶν,
from and Zacynthus are twenty youths of-the-Achaeans
ἐκ δ' αὐτῆς Ἰθάκης δυοκαίδεκα πάντες ἄριστοι,
from and itself Ithaca twelve all best
καί σφιν ἅμ' ἐστὶ Μέδων κῆρυξ καὶ θεῖος ἀοιδὸς
and them with is Medon herald and divine minstrel
καὶ δοιὼ θεράποντε, δαήμονε δαιτροσυνάων.
and two attendants skilled in-carving
τῶν εἴ κεν πάντων ἀντήσομεν ἔνδον ἐόντων,
these if — all we-meet within being
μὴ πολύπικρα καὶ αἰνὰ βίας ἀποτίσεαι ἐλθών.
lest very-bitterly and dreadfully the-violence you-avenge coming
ἀλλὰ σύ γ', εἰ δύνασαί τιν' ἀμύντορα μερμηρίξαι,
but you indeed if you-can some defender to-think-of
φράζευ, ὅ κέν τις νῶϊν ἀμύνοι πρόφρονι θυμῷ."
consider who — any for-us-two would-defend with-ready heart

XVI.4 · THE PLAN

Odysseus names Athena and Zeus as their allies. Telemachus is to go home at dawn and bear whatever the suitors do to the beggar; at Odysseus' nod he will carry the weapons from the hall, leaving two swords, two spears, and two shields, and tell no one that Odysseus is home.

Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Him and in-turn addressed much-enduring noble Odysseus
"Τοιγὰρ ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον·
Therefore I will-speak you and lay(-it)-up and me hear

καὶ φράσαι ἤ κεν νῶϊν Ἀθήνη σὺν Διὶ πατρὶ
and consider whether — for-us-two Athena with Zeus father
ἀρκέσει, ἦέ τιν᾽ ἄλλον ἀμύντορα μερμηρίξω.᾽᾽
will-suffice or some other defender I-should-think-of
Τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
᾽᾽ Ἐσθλώ τοι τούτω γ᾽ ἐπαμύντορε, τοὺς ἀγορεύεις,
Good you-know these-two indeed defenders whom you-name
ὕψι περ ἐν νεφέεσσι καθημένω· ὥ τε καὶ ἄλλοις
high though in clouds sitting who — also over-others
ἀνδράσι τε κρατέουσι καὶ ἀθανάτοισι θεοῖσι.᾽᾽
men both rule and immortal gods
Τὸν δ᾽ αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Him and in-turn addressed much-enduring noble Odysseus
᾽᾽Οὐ μέν τοι κείνω γε πολὺν χρόνον ἀμφὶς ἔσεσθον
Not indeed you-know those-two indeed long time apart will-be
φυλόπιδος κρατερῆς, ὁπότε μνηστῆρσι καὶ ἡμῖν
from-the-battle mighty when between-the-suitors and us
ἐν μεγάροισιν ἐμοῖσι μένος κρίνηται Ἄρηος.
in halls my the-might is-decided of-Ares
ἀλλὰ σὺ μὲν νῦν ἔρχευ ἅμ᾽ ἠοῖ φαινομένηφιν
but you indeed now go with dawn appearing
οἴκαδε, καὶ μνηστῆρσιν ὑπερφιάλοισιν ὁμίλει·
home and with-the-suitors overbearing mingle
αὐτὰρ ἐμὲ προτὶ ἄστυ συβώτης ὕστερον ἄξει,
but me to the-town the-swineherd later will-lead
πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι.
a-beggar wretched like and an-old-man

εἰ δέ μ' ἀτιμήσουσι δόμον κάτα, σὸν δὲ φίλον κῆρ
if and me they-dishonor the-house throughout your but dear heart
τετλάτω ἐν στήθεσσι κακῶς πάσχοντος ἐμεῖο,
let-endure in breast badly suffering me
ἤν περ καὶ διὰ δῶμα ποδῶν ἕλκωσι θύραζε
if indeed even through the-house by-the-feet they-drag(-me) out-of-doors
ἢ βέλεσι βάλλωσι· σὺ δ' εἰσορόων ἀνέχεσθαι.
or with-missiles pelt(-me) you but looking-on endure
ἀλλ' ἦ τοι παύεσθαι ἀνωγέμεν ἀφροσυνάων,
but truly indeed to-cease bid(-them) from-follies
μειλιχίοις ἐπέεσσι παραυδῶν· οἱ δέ τοι οὔ τι
with-gentle words coaxing they but you-know not at-all
πείσονται· δὴ γάρ σφι παρίσταται αἴσιμον ἦμαρ.
they-will-obey indeed for for-them stands-near fated day
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
another-thing and to-you I-will-tell you and in mind lay(-it) your
ὁππότε κεν πολύβουλος ἐνὶ φρεσὶ θῇσιν Ἀθήνη,
when — of-many-counsels in mind puts(-it) Athena
νεύσω μέν τοι ἐγὼ κεφαλῇ, σὺ δ' ἔπειτα νοήσας
will-nod indeed to-you I with-the-head you and then noticing
ὅσσα τοι ἐν μεγάροισιν Ἀρήϊα τεύχεα κεῖται
as-many-as your in the-halls warlike arms lie
ἐς μυχὸν ὑψηλοῦ θαλάμου καταθεῖναι ἀείρας
into the-inmost-part of-the-high chamber put lifting(-them)
πάντα μάλ'· αὐτὰρ μνηστῆρας μαλακοῖς ἐπέεσσι
all very but the-suitors with-soft words
παρφάσθαι, ὅτε κέν σε μεταλλῶσιν ποθέοντες·
beguile when — you they-question missing(-them)

"'Ἐκ καπνοῦ κατέθηκ', ἐπεὶ οὐκέτι τοῖσιν ἐῴκει
Out-of the-smoke I-have-put(-them) since no-longer to-those they-were-like
οἷά ποτε Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς,
such-as once to-Troy going left Odysseus
ἀλλὰ κατήκισται, ὅσσον πυρὸς ἵκετ' ἀϋτμή.
but they-are-defiled as-far-as of-the-fire reached the-breath
πρὸς δ' ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶ θῆκε Κρονίων,
besides and still also this greater in mind put the-son-of-Cronus
μή πως οἰνωθέντες, ἔριν στήσαντες ἐν ὑμῖν,
lest somehow flushed-with-wine strife setting-up among you
ἀλλήλους τρώσητε καταισχύνητέ τε δαῖτα
each-other you-wound shame and the-feast
καὶ μνηστύν· αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.'
and the-wooing itself for draws-on a-man iron
"Νῶϊν δ' οἷοισιν δύο φάσγανα καὶ δύο δοῦρε
For-us-two and alone two swords and two spears
καλλιπέειν καὶ δοιὰ βοάγρια χερσὶν ἑλέσθαι,
leave and two ox-hide-shields in-hands to-take
ὡς ἂν ἐπιθύσαντες ἑλοίμεθα· τοὺς δέ κ' ἔπειτα
so-that — rushing-on we-may-seize(-them) them and — then
Παλλὰς Ἀθηναίη θέλξει καὶ μητίετα Ζεύς.
Pallas Athena will-beguile and counselor Zeus
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
another-thing and to-you I-will-tell you and in mind lay(-it) your
εἰ ἐτεόν γ' ἐμός ἐσσι καὶ αἵματος ἡμετέροιο,
if truly indeed mine you-are and of-blood our
μή τις ἔπειτ' Ὀδυσῆος ἀκουσάτω ἔνδον ἐόντος,
not any then of-Odysseus let-hear within being

μήτ᾽ οὖν Λαέρτης ἴστω τό γε μήτε συβώτης
neither then Laertes let-know it indeed nor the-swineherd
μήτε τις οἰκήων μήτ᾽ αὐτὴ Πηνελόπεια,
nor any of-the-household nor herself Penelope
ἀλλ᾽ οἷοι σύ τ᾽ ἐγώ τε γυναικῶν γνώομεν ἰθύν·
but alone you both I and of-the-women let-us-learn the-bent
καί κέ τεο δμώων ἀνδρῶν ἔτι πειρηθεῖμεν,
and — some of-the-servants men still we-might-test
ἠμὲν ὅπου τις νῶϊ τίει καὶ δείδιε θυμῷ,
both where anyone us-two honors and fears in-heart
ἠδ᾽ ὅτις οὐκ ἀλέγει, σὲ δ᾽ ἀτιμᾷ τοῖον ἐόντα."
and who not heeds you and dishonors such being
Τὸν δ᾽ ἀπαμειβόμενος προσεφώνεε φαίδιμος υἱός·
Him and answering addressed glorious son
"Ὦ πάτερ, ἦ τοι ἐμὸν θυμὸν καὶ ἔπειτά γ᾽, ὀΐω,
O father truly indeed my heart even hereafter indeed I-think
γνώσεαι· οὐ μὲν γάρ τι χαλιφροσύναι γέ μ᾽ ἔχουσιν·
you-will-know not indeed for at-all slackness indeed me holds
ἀλλ᾽ οὔ τοι τόδε κέρδος ἐγὼν ἔσσεσθαι ὀΐω
but not you-know this a-gain I to-be think
ἡμῖν ἀμφοτέροισι· σὲ δὲ φράζεσθαι ἄνωγα.
for-us both you but to-consider I-bid
δηθὰ γὰρ αὔτως εἶσῃ ἑκάστου πειρητίζων,
long for in-vain you-will-go each testing
ἔργα μετερχόμενος· τοὶ δ᾽ ἐν μεγάροισιν ἔκηλοι
farms visiting they and in halls at-ease
χρήματα δαρδάπτουσιν ὑπέρβιον οὐδ᾽ ἔπι φειδώ.
possessions devour insolently nor on(-it) sparing
ἀλλ᾽ ἦ τοί σε γυναῖκας ἐγὼ δεδάασθαι ἄνωγα,
but truly indeed you the-women I to-learn bid

αἵ τέ σ᾽ ἀτιμάζουσι καὶ αἳ νηλείτιδές εἰσιν·
who both you dishonor and who guiltless are
ἀνδρῶν δ᾽ οὐκ ἂν ἔγω γε κατὰ σταθμοὺς ἐθέλοιμι
of-the-men but not — I indeed among farmsteads would-wish
ἡμέας πειράζειν, ἀλλ᾽ ὕστερα ταῦτα πένεσθαι,
us to-test but later these-things to-deal-with
εἰ ἐτεόν γέ τι οἶσθα Διὸς τέρας αἰγιόχοιο.”
if truly indeed at-all you-know of-Zeus a-portent aegis-bearing

XVI.5 · THE SUITORS’ COUNCIL

Telemachus’ ship reaches the harbor, and the news comes to Penelope. The suitors are dismayed, and the ambush ship comes back. Antinous proposes to kill Telemachus before he can rouse the people; Amphinomus says they must first ask the gods, and the suitors go back to the palace.

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
So they indeed such-things to each-other spoke
ἡ δ᾽ ἄρ᾽ ἔπειτ᾽ Ἰθάκηνδε κατήγετο νηῦς εὐεργής,
it and then thereafter to-Ithaca put-in the-ship well-built
ἣ φέρε Τηλέμαχον Πυλόθεν καὶ πάντας ἑταίρους.
which bore Telemachus from-Pylos and all comrades
οἱ δ᾽ ὅτε δὴ λιμένος πολυβενθέος ἐντὸς ἵκοντο,
they and when indeed the-harbor very-deep within came
νῆα μὲν οἵ γε μέλαιναν ἐπ᾽ ἠπείροιο ἔρυσσαν,
the-ship indeed they indeed black onto the-mainland drew
τεύχεα δέ σφ᾽ ἀπένεικαν ὑπέρθυμοι θεράποντες,
the-gear and for-them carried-off high-spirited attendants
αὐτίκα δ᾽ ἐς Κλυτίοιο φέρον περικαλλέα δῶρα.
at-once and to of-Clytius carried very-fair gifts

αὐτὰρ κήρυκα πρόεσαν δόμον εἰς Ὀδυσῆος,
but a-herald they-sent-forth the-house to of-Odysseus
ἀγγελίην ἐρέοντα περίφρονι Πηνελοπείῃ,
news to-tell to-wise Penelope
οὕνεκα Τηλέμαχος μὲν ἐπ' ἀγροῦ, νῆα δ' ἀνώγει
that Telemachus indeed in the-country the-ship and bade
ἄστυδ' ἀποπλείειν, ἵνα μὴ δείσασ' ἐνὶ θυμῷ
to-the-town to-sail-away so-that not fearing in heart
ἰφθίμη βασίλεια τέρεν κατὰ δάκρυον εἴβοι.
the-stately queen tender down tear might-shed
τὼ δὲ συναντήτην κῆρυξ καὶ δῖος ὑφορβὸς
they-two and met herald and noble swineherd
τῆς αὐτῆς ἕνεκ' ἀγγελίης, ἐρέοντε γυναικί.
of-the same for-the-sake-of message to-tell to-the-woman
ἀλλ' ὅτε δή ῥ' ἵκοντο δόμον θείου βασιλῆος,
but when indeed then they-came-to the-house of-the-godlike king
κῆρυξ μέν ῥα μέσῃσι μετὰ δμῳῇσιν ἔειπεν·
the-herald indeed then in-the-midst among the-maidservants spoke
"Ἤδη τοι, βασίλεια, φίλος πάϊς εἰλήλουθε."
Now you-know queen dear son has-come
Πηνελοπείῃ δ' εἶπε συβώτης ἄγχι παραστὰς
To-Penelope but told the-swineherd near standing-by
πάνθ' ὅσα οἱ φίλος υἱὸς ἀνώγει μυθήσασθαι.
all as-much-as his dear son bade to-tell
αὐτὰρ ἐπεὶ δὴ πᾶσαν ἐφημοσύνην ἀπέειπε,
but when indeed all the-charge he-had-delivered
βῆ ῥ' ἴμεναι μεθ' ὕας, λίπε δ' ἔρκεά τε μέγαρόν τε.
went then to-go after swine left and the-courts both the-hall and

Μνηστῆρες δ' ἀκάχοντο κατήφησάν τ' ἐνὶ θυμῷ,
The-suitors and were-grieved were-downcast and in heart
ἐκ δ' ἦλθον μεγάροιο παρὲκ μέγα τειχίον αὐλῆς,
out and they-came from-the-hall along the-great wall of-the-court
αὐτοῦ δὲ προπάροιθε θυράων ἑδριόωντο.
there and before the-doors sat
τοῖσιν δ' Εὐρύμαχος, Πολύβου πάϊς, ἦρχ' ἀγορεύειν·
among-them and Eurymachus of-Polybus son began to-speak
" Ὦ φίλοι, ἦ μέγα ἔργον ὑπερφιάλως τετέλεσται
O friends truly a-great deed insolently has-been-accomplished
Τηλεμάχῳ ὁδὸς ἥδε· φάμεν δέ οἱ οὐ τελέεσθαι.
by-Telemachus journey this we-said and for-him not to-be-accomplished
ἀλλ' ἄγε νῆα μέλαιναν ἐρύσσομεν ἥ τις ἀρίστη,
but come a-ship black let-us-draw which any best
ἐς δ' ἐρέτας ἁλιῆας ἀγείρομεν, οἵ κε τάχιστα
in and rowers seamen let-us-gather who — most-quickly
κείνοις ἀγγείλωσι θοῶς οἰκόνδε νέεσθαι."
to-those may-tell quickly homeward to-come
Οὔ πω πᾶν εἴρηθ', ὅτ' ἄρ' Ἀμφίνομος ἴδε νῆα,
Not yet all had-been-said when then Amphinomus saw the-ship
στρεφθεὶς ἐκ χώρης, λιμένος πολυβενθέος ἐντός,
turning from his-place the-harbor very-deep within
ἱστία τε στέλλοντας ἐρετμά τε χερσὶν ἔχοντας.
the-sails both furling oars and in-hands holding
ἡδὺ δ' ἄρ' ἐκγελάσας μετεφώνεεν οἷς ἑτάροισι·
sweetly and then laughing-out spoke-among his-own comrades

"Μή τιν' ἔτ' ἀγγελίην ὀτρύνομεν· οἵδε γὰρ ἔνδον.
Not any longer message let-us-send these for (are)-inside
ἤ τίς σφιν τόδ' ἔειπε θεῶν, ἢ εἴσιδον αὐτοὶ
either someone to-them this told of-the-gods or saw themselves
νῆα παρερχομένην, τὴν δ' οὐκ ἐδύναντο κιχῆναι."
the-ship passing-by it but not they-were-able to-overtake
Ὣς ἔφαθ', οἱ δ' ἀνστάντες ἔβαν ἐπὶ θῖνα θαλάσσης,
So he-spoke they and having-risen went to the-shore of-the-sea
αἶψα δὲ νῆα μέλαιναν ἐπ' ἠπείροιο ἔρυσσαν,
quickly and the-ship black onto the-mainland drew
τεύχεα δέ σφ' ἀπένεικαν ὑπέρθυμοι θεράποντες.
the-gear and for-them carried-off high-spirited attendants
αὐτοὶ δ' εἰς ἀγορὴν κίον ἀθρόοι, οὐδέ τιν' ἄλλον
themselves and to the-assembly went together nor any other
εἴων οὔτε νέων μεταΐξειν οὔτε γερόντων.
they-allowed either of-young to-sit-among or of-old
τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
to-them and Antinous spoke-among of-Eupeithes son
"Ὦ πόποι, ὡς τόνδ' ἄνδρα θεοὶ κακότητος ἔλυσαν.
Oh for-shame how this man the-gods from-misery have-released
ἤματα μὲν σκοποὶ ἷζον ἐπ' ἄκριας ἠνεμοέσσας
by-days indeed lookouts sat on heights windy
αἰὲν ἐπασσύτεροι· ἅμα δ' ἠελίῳ καταδύντι
always one-after-another with and the-sun setting
οὔ ποτ' ἐπ' ἠπείρου νύκτ' ἄσαμεν, ἀλλ' ἐνὶ πόντῳ
not ever on land the-night did-we-spend but on the-sea
νηῒ θοῇ πλείοντες ἐμίμνομεν Ἠῶ δῖαν,
in-ship swift sailing we-awaited Dawn bright

Τηλέμαχον λοχόωντες, ἵνα φθίσωμεν ἑλόντες
Telemachus lying-in-wait-for so-that we-might-destroy seizing(-him)
αὐτόν· τὸν δ' ἄρα τῆος ἀπήγαγεν οἶκαδε δαίμων,
himself him but then meanwhile has-brought-back home a-god
ἡμεῖς δ' ἐνθάδε οἱ φραζώμεθα λυγρὸν ὄλεθρον
we and here for-him let-us-devise woeful destruction
Τηλεμάχῳ, μηδ' ἧμας ὑπεκφύγοι· οὐ γὰρ ὄΐω
for-Telemachus nor us may-he-escape not for I-think
τούτου γε ζώοντος ἀνύσσεσθαι τάδε ἔργα.
he indeed living to-be-accomplished these deeds
αὐτὸς μὲν γὰρ ἐπιστήμων βουλῇ τε νόῳ τε,
himself indeed for skilled in-counsel both wit and
λαοὶ δ' οὐκέτι πάμπαν ἐφ' ἡμῖν ἦρα φέρουσιν.
the-people and no-longer at-all to us favor bear
ἀλλ' ἄγετε, πρὶν κεῖνον ὁμηγυρίσασθαι Ἀχαιοὺς
but come before he to-assemble the-Achaeans
εἰς ἀγορήν — οὐ γάρ τι μεθησέμεναί μιν ὄΐω,
to assembly not for at-all to-slacken him I-think
ἀλλ' ἀπομηνίσει, ἐρέει δ' ἐν πᾶσιν ἀναστὰς
but he-will-rage will-speak and among all standing-up
οὕνεκά οἱ φόνον αἰπὺν ἐράπτομεν οὐδ' ἐκίχημεν·
that for-him murder sheer we-wove nor caught(-him)
οἱ δ' οὐκ αἰνήσουσιν ἀκούοντες κακὰ ἔργα·
they and not will-approve hearing evil deeds
μή τι κακὸν ῥέξωσι καὶ ἡμέας ἐξελάσωσι
lest any evil they-do and us drive-out
γαίης ἡμετέρης, ἄλλων δ' ἀφικώμεθα δῆμον·
from-land our of-others and we-come-to the-land

ἀλλὰ φθέωμεν ἑλόντες ἐπ᾽ ἀγροῦ νόσφι πόληος
but let-us-be-first seizing(-him) in the-country apart-from the-city
ἢ ἐν ὁδῷ· βίοτον δ᾽ αὐτοὶ καὶ κτήματ᾽ ἔχωμεν,
or on the-road livelihood and ourselves and possessions let-us-have
δασσάμενοι κατὰ μοῖραν ἐφ᾽ ἡμέας, οἰκία δ᾽ αὖτε
dividing according-to due among us the-house but in-turn
κείνου μητέρι δοῖμεν ἔχειν ἠδ᾽ ὅστις ὀπυίοι.
his to-mother let-us-give to-have and whoever might-wed(-her)
εἰ δ᾽ ὑμῖν ὅδε μῦθος ἀφανδάνει, ἀλλὰ βόλεσθε
if but to-you this word displeases but you-wish
αὐτόν τε ζώειν καὶ ἔχειν πατρώϊα πάντα,
himself both to-live and to-have ancestral-things all
μή οἱ χρήματ᾽ ἔπειτα ἅλις θυμηδὲ᾽ ἔδωμεν
not his possessions then in-plenty heart-pleasing let-us-eat
ἐνθάδ᾽ ἀγειρόμενοι, ἀλλ᾽ ἐκ μεγάροιο ἕκαστος
here gathering but from his-hall each
μνάσθω ἐέδνοισιν διζήμενος· ἡ δέ κ᾽ ἔπειτα
let-woo with-bride-gifts seeking(-her) she and — then
γήμαιθ᾽ ὅς κε πλεῖστα πόροι καὶ μόρσιμος ἔλθοι.᾽᾽
may-marry who — most may-give and fated may-come
Ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
So he-spoke they and then all silent became in-silence
τοῖσιν δ᾽ Ἀμφίνομος ἀγορήσατο καὶ μετέειπε,
among-them and Amphinomus addressed-the-assembly and spoke-among(-them)
Νίσου φαίδιμος υἱός, Ἀρητιάδαο ἄνακτος,
of-Nisus glorious son of-the-son-of-Aretias the-lord
ὅς ῥ᾽ ἐκ Δουλιχίου πολυπύρου, ποιήεντος,
who then from Dulichium rich-in-wheat grassy

ἡγεῖτο μνηστῆρσι, μάλιστα δὲ Πηνελοπείῃ
led the-suitors most and Penelope
ἥνδανε μύθοισι· φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσιν·
pleased with-words with-mind for he-was-endowed good
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
he them with-good-intent addressed-the-assembly and spoke-among(-them)
" Ὦ φίλοι, οὐκ ἂν ἐγώ γε κατακτείνειν ἐθέλοιμι
O friends not — I indeed to-kill would-wish
Τηλέμαχον· δεινὸν δὲ γένος βασιλῄϊόν ἐστιν
Telemachus dread and the-race royal is
κτείνειν· ἀλλὰ πρῶτα θεῶν εἰρώμεθα βουλάς.
to-kill but first of-the-gods let-us-ask the-counsels
εἰ μέν κ' αἰνήσωσι Διὸς μεγάλοιο θέμιστες,
if indeed — approve of-Zeus great the-decrees
αὐτός τε κτενέω τούς τ' ἄλλους πάντας ἀνώξω·
myself both I-will-kill the and others all I-will-bid
εἰ δέ κ' ἀποτρωπῶσι θεοί, παύσασθαι ἄνωγα."
if but — turn(-us)-away the-gods to-stop I-bid
Ὣς ἔφατ' Ἀμφίνομος, τοῖσιν δ' ἐπιήνδανε μῦθος.
So spoke Amphinomus to-them and pleased the-word
αὐτίκ' ἔπειτ' ἀνστάντες ἔβαν δόμον εἰς Ὀδυσῆος,
at-once then rising went the-house into of-Odysseus
ἐλθόντες δὲ καθῖζον ἐπὶ ξεστοῖσι θρόνοισιν.
coming and they-sat on polished chairs

Told of the plot by Medon, Penelope reproaches Antinous, whose father Odysseus once saved from an angry people. Eurymachus swears that no man will harm Telemachus, though he plans his death himself. Penelope weeps until Athena sends sleep. Athena makes Odysseus old again lest Eumaeus know him, and when he reports a ship with spears and shields in the harbor, Telemachus smiles at his father.

Ἡ δ' αὖτ' ἄλλ' ἐνόησε περίφρων Πηνελόπεια,
She and in-turn another-thing thought wise Penelope
μνηστήρεσσι φανῆναι ὑπέρβιον ὕβριν ἔχουσι.
to-the-suitors to-appear overweening insolence having
πεύθετο γὰρ οὗ παιδὸς ἐνὶ μεγάροισιν ὄλεθρον·
she-had-learned for of-her-own son in the-halls the-destruction
κῆρυξ γὰρ οἱ ἔειπε Μέδων, ὃς ἐπεύθετο βουλάς.
the-herald for to-her told Medon who had-heard the-plans
βῆ δ' ἰέναι μέγαρόνδε σὺν ἀμφιπόλοισι γυναιξίν.
went and to-go to-the-hall with handmaid women
ἀλλ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
but when indeed the-suitors reached bright among-women
στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
stood then by the-pillar of-the-roof stoutly built
ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα,
before cheeks holding glistening veils
Ἀντίνοον δ' ἐνένιπεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
Antinous and she-rebuked word and spoke out and named(-him)

" Ἀντίνο', ὕβριν ἔχων, κακομήχανε, καὶ δέ σέ φασιν
Antinous insolence having contriver-of-evil and indeed you they-say
ἐν δήμῳ Ἰθάκης μεθ' ὁμήλικας ἔμμεν ἄριστον
in the-land of-Ithaca among your-peers to-be best
βουλῇ καὶ μύθοισι· σὺ δ' οὐκ ἄρα τοῖος ἔησθα.
in-counsel and words you but not then such were
μάργε, τίη δὲ σὺ Τηλεμάχῳ θάνατόν τε μόρον τε
madman why and you for-Telemachus death both fate and
ῥάπτεις, οὐδ' ἱκέτας ἐμπάζεαι, οἷσιν ἄρα Ζεὺς
do-you-weave nor suppliants heed for-whom then Zeus
μάρτυρος; οὐδ' ὁσίη κακὰ ῥάπτειν ἀλλήλοισιν.
(is)-witness nor holy evils to-weave against-each-other
ἦ οὐκ οἶσθ' ὅτε δεῦρο πατὴρ τεὸς ἵκετο φεύγων,
or not you-know when hither father your came fleeing
δῆμον ὑποδείσας; δὴ γὰρ κεχολώατο λίην,
the-people fearing indeed for they-were-enraged exceedingly
οὕνεκα λῃϊστῆρσιν ἐπισπόμενος Ταφίοισιν
because pirates following Taphian
ἤκαχε Θεσπρωτούς· οἱ δ' ἡμῖν ἄρθμιοι ἦσαν·
he-harmed the-Thesprotians they and with-us allied were
τόν ῥ' ἔθελον φθῖσαι καὶ ἀπορραῖσαι φίλον ἦτορ
him then they-wished to-destroy and to-tear-out dear heart
ἠδὲ κατὰ ζωὴν φαγέειν μενοεικέα πολλήν·
and down livelihood to-eat-up heart-pleasing great
ἀλλ' Ὀδυσεὺς κατέρυκε καὶ ἔσχεθεν ἱεμένους περ.
but Odysseus held(-them)-back and restrained eager though

τοῦ νῦν οἶκον ἄτιμον ἔδεις, μνάᾳ δὲ γυναῖκα
his now house unpaid you-eat you-woo and the-wife
παῖδά τ' ἀποκτείνεις, ἐμὲ δὲ μεγάλως ἀκαχίζεις·
the-son and you-seek-to-kill me and greatly you-grieve
ἀλλά σε παύσασθαι κέλομαι καὶ ἀνωγέμεν ἄλλους."
but you to-stop I-bid and to-bid others
Τὴν δ' αὖτ' Εὐρύμαχος, Πολύβου πάϊς, ἀντίον ηὔδα·
Her and in-turn Eurymachus of-Polybus son in-reply spoke
"Κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
Daughter of-Icarius wise Penelope
θάρσει· μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
take-heart not to-you these-things in mind your let-be-of-concern
οὐκ ἔσθ' οὗτος ἀνὴρ οὐδ' ἔσσεται οὐδὲ γένηται,
not is this man nor will-be nor may-come-to-be
ὅς κεν Τηλεμάχῳ σῷ υἱέϊ χεῖρας ἐποίσει
who — on-Telemachus your son hands will-lay
ζώοντός γ' ἐμέθεν καὶ ἐπὶ χθονὶ δερκομένοιο.
living indeed I and on earth seeing
ὧδε γὰρ ἐξερέω, καὶ μὴν τετελεσμένον ἔσται·
thus for I-will-declare and surely fulfilled it-will-be
αἶψά οἱ αἷμα κελαινὸν ἐρωήσει περὶ δουρὶ
quickly his blood black will-gush around spear
ἡμετέρῳ, ἐπεὶ ἦ καὶ ἐμὲ πτολίπορθος Ὀδυσσεὺς
our since truly also me sacker-of-cities Odysseus
πολλάκι γούνασιν οἷσιν ἐφεσσάμενος κρέας ὀπτὸν
often on-knees his-own setting meat roast
ἐν χείρεσσιν ἔθηκεν, ἐπέσχε τε οἶνον ἐρυθρόν.
in hands put held-to(-my-lips) and wine red

τῷ μοι Τηλέμαχος πάντων πολὺ φίλτατός ἐστιν
therefore to-me Telemachus of-all far dearest is
ἀνδρῶν, οὐδέ τί μιν θάνατον τρομέεσθαι ἄνωγα
of-men nor at-all him death to-fear do-I-bid
ἔκ γε μνηστήρων· θεόθεν δ᾽ οὐκ ἔστ᾽ ἀλέασθαι.᾽᾽
from indeed the-suitors from-a-god but not it-is-possible to-escape
Ὣς φάτο θαρσύνων, τῷ δ᾽ ἤρτυεν αὐτὸς ὄλεθρον.
So he-spoke encouraging(-her) for-him but was-planning himself destruction
ἡ μὲν ἄρ᾽ εἰσαναβᾶσ᾽ ὑπερῴϊα σιγαλόεντα
she indeed then having-gone-up to-the-upper-room shining
κλαῖεν ἔπειτ᾽ Ὀδυσῆα, φίλον πόσιν, ὄφρα οἱ ὕπνον
she-wept then Odysseus dear husband until on-her sleep
ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.
sweet on eyelids cast flashing-eyed Athena
Ἑσπέριος δ᾽ Ὀδυσῆϊ καὶ υἱέϊ δῖος ὑφορβὸς
At-evening and to-Odysseus and son noble swineherd
ἤλυθεν· οἱ δ᾽ ἄρα δόρπον ἐπισταδὸν ὡπλίζοντο,
came they and then supper busily were-preparing
σῦν ἱερεύσαντες ἐνιαύσιον. αὐτὰρ Ἀθήνη,
a-boar having-sacrificed yearling but Athena
ἄγχι παρισταμένη, Λαερτιάδην Ὀδυσῆα
near standing-by son-of-Laertes Odysseus
ῥάβδῳ πεπληγυῖα πάλιν ποίησε γέροντα,
with-the-wand having-struck again made old
λυγρὰ δὲ εἵματα ἕσσε περὶ χροΐ, μή ἑ συβώτης
wretched and clothes she-put about skin lest him the-swineherd
γνοίη ἐσάντα ἰδὼν καὶ ἐχέφρονι Πηνελοπείῃ
should-know face-to-face seeing and to-prudent Penelope
ἔλθοι ἀπαγγέλλων μηδὲ φρεσὶν εἰρύσσαιτο.
should-go reporting nor in-mind should-keep(-it)

Τὸν καὶ Τηλέμαχος πρότερος πρὸς μῦθον ἔειπεν·
Him also Telemachus first to speech said
“ Ἦλθες, δῖ᾽ Εὔμαιε. τί δὴ κλέος ἔστ᾽ ἀνὰ ἄστυ;
You-have-come noble Eumaeus what indeed news is throughout the-town
ἦ ῥ᾽ ἤδη μνηστῆρες ἀγήνορες ἔνδον ἔασιν
whether then already the-suitors proud within are
ἐκ λόχου, ἦ ἔτι μ᾽ αὖτ᾽ εἰρύαται οἴκαδ᾽ ἰόντα;”
from the-ambush or still me in-turn they-watch-for home going
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Him and answering you-addressed Eumaeus swineherd
“Οὐκ ἔμελέν μοι ταῦτα μεταλλῆσαι καὶ ἐρέσθαι
Not it-was-a-care to-me these-things to-inquire and to-ask
ἄστυ καταβλώσκοντα· τάχιστά με θυμὸς ἀνώγει
the-town going-down quickest me heart bade
ἀγγελίην εἰπόντα πάλιν δεῦρ᾽ ἀπονέεσθαι.
the-message having-told back hither to-return
ὡμήρησε δέ μοι παρ᾽ ἑταίρων ἄγγελος ὠκύς,
met and me from comrades messenger swift
κῆρυξ, ὃς δὴ πρῶτος ἔπος σῇ μητρὶ ἔειπεν.
the-herald who indeed first the-word to-your mother told
ἄλλο δέ τοι τό γε οἶδα· τὸ γὰρ ἴδον ὀφθαλμοῖσιν.
another-thing and to-you this indeed I-know this for I-saw with-eyes
ἤδη ὑπὲρ πόλιος, ὅθι θ᾽ Ἕρμαιος λόφος ἐστίν,
already above the-city where — Hermes’ hill is
ἦα κιών, ὅτε νῆα θοὴν ἰδόμην κατιοῦσαν
I-was going when a-ship swift I-saw coming-in
ἐς λιμέν᾽ ἡμέτερον· πολλοὶ δ᾽ ἔσαν ἄνδρες ἐν αὐτῇ,
into harbor our many and were men in it

βεβρίθει δὲ σάκεσσι καὶ ἔγχεσιν ἀμφιγύοισι·
it-was-laden and with-shields and with-spears double-pointed
καὶ σφέας ὠΐσθην τοὺς ἔμμεναι, οὐδέ τι οἶδα.”
and them I-thought those to-be nor at-all do-I-know
Ὣς φάτο, μείδησεν δ’ ἱερὴ ἴς Τηλεμάχοιο
So he-spoke smiled and the-sacred might of-Telemachus
ἐς πατέρ’ ὀφθαλμοῖσιν ἰδών, ἀλέεινε δ’ ὑφορβόν.
at father with-eyes looking avoided but the-swineherd
Οἱ δ’ ἐπεὶ οὖν παύσαντο πόνου τετύκοντό τε δαῖτα,
They and when then ceased from-toil prepared and the-feast
δαίνυντ’, οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
feasted nor at-all heart lacked of-a-feast equal
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
but when of-drink and of-food out desire they-put
κοίτου τε μνήσαντο καὶ ὕπνου δῶρον ἕλοντο.
of-bed both thought and of-sleep the-gift took

BOOK XVII

XVII.1 · TELEMACHUS COMES HOME

At dawn Telemachus sets out for the city, bidding Eumaeus bring the beggar there later. Eurycleia and the maids greet him, and Penelope weeps and asks his news. He tells her to bathe and vow hecatombs, and goes to the assembly, where he sits with his father's old friends and has Piraeus keep Menelaus' gifts. At home, after a meal, Penelope asks what he heard of Odysseus.

Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
When and early-born appeared rosy-fingered Dawn
δὴ τότ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα
indeed then thereafter beneath feet bound fair sandals
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο,
Telemachus dear son of-Odysseus godlike
εἵλετο δ' ἄλκιμον ἔγχος, ὅ οἱ παλάμηφιν ἀρήρει,
took and valiant spear which his to-palm was-fitted
ἄστυδε ἱέμενος, καὶ ἑὸν προσέειπε συβώτην· 5
to-the-town eager and his-own addressed swineherd
"Ἄττ', ἦ τοι μὲν ἐγὼν εἶμ' ἐς πόλιν, ὄφρα με μήτηρ
Father truly indeed indeed I go to the-city so-that me mother
ὄψεται· οὐ γάρ μιν πρόσθεν παύσεσθαι ὀΐω
may-see not for her before to-cease I-think
κλαυθμοῦ τε στυγεροῖο γόοιό τε δακρυόεντος,
from-weeping both hateful lament and tearful
πρίν γ' αὐτόν με ἴδηται· ἀτὰρ σοί γ' ὧδ' ἐπιτέλλω.
before indeed myself me she-sees but to-you indeed thus I-enjoin

τὸν ξεῖνον δύστηνον ἄγ' ἐς πόλιν, ὄφρ' ἂν ἐκεῖθι
the stranger wretched lead to the-city so-that — there
δαῖτα πτωχεύῃ· δώσει δέ οἱ ὅς κ' ἐθέλῃσι
a-meal he-may-beg will-give and to-him who — wishes
πύρνον καὶ κοτύλην· ἐμὲ δ' οὔ πως ἔστιν ἅπαντας
a-loaf and a-cup me but not in-any-way it-is-possible all
ἀνθρώπους ἀνέχεσθαι, ἔχοντά περ ἄλγεα θυμῷ·
men to-bear-with having though pains in-heart
ὁ ξεῖνος δ' εἴ περ μάλα μηνίει, ἄλγιον αὐτῷ
the stranger and if indeed greatly rages worse for-himself
ἔσσεται· ἦ γὰρ ἐμοὶ φίλ' ἀληθέα μυθήσασθαι."
it-will-be truly for to-me dear true-things to-speak

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
" Ὦ φίλος, οὐδέ τοι αὐτὸς ἐρύκεσθαι μενεαίνω·
O friend nor you-know myself to-be-kept do-I-desire
πτωχῷ βέλτερόν ἐστι κατὰ πτόλιν ἠὲ κατ' ἀγροὺς
for-a-beggar better it-is through the-city than through the-fields
δαῖτα πτωχεύειν· δώσει δέ μοι ὅς κ' ἐθέλῃσιν.
a-meal to-beg will-give and to-me who — wishes
οὐ γὰρ ἐπὶ σταθμοῖσι μένειν ἔτι τηλίκος εἰμί,
not for at the-farmsteads to-stay longer of-such-age am-I
ὥστ' ἐπιτειλαμένῳ σημάντορι πάντα πιθέσθαι.
so-as to-a-commanding overseer in-all to-obey
ἀλλ' ἔρχευ· ἐμὲ δ' ἄξει ἀνὴρ ὅδε, τὸν σὺ κελεύεις,
but go me and will-lead man this whom you bid
αὐτίκ' ἐπεί κε πυρὸς θερέω ἀλέη τε γένηται.
at-once when — at-the-fire I-am-warmed warmth and comes

αἰνῶς γὰρ τάδε εἵματ᾽ ἔχω κακά· μή με δαμάσσῃ
dreadfully for these clothes I-have bad lest me overcome
στίβῃ ὑπηοίῃ· ἕκαθεν δέ τε ἄστυ φάτ᾽ εἶναι.”
the-frost at-dawn far-off and — the-town you-say to-be

Ὣς φάτο, Τηλέμαχος δὲ διὰ σταθμοῖο βεβήκει,
So he-spoke Telemachus and through the-farmstead went
κραιπνὰ ποσὶ προβιβάς, κακὰ δὲ μνηστῆρσι φύτευεν.
swiftly with-feet striding evils and for-the-suitors he-plotted
αὐτὰρ ἐπεί ῥ᾽ ἵκανε δόμους εὖ ναιετάοντας,
but when then he-reached the-house well dwelt-in
ἔγχος μέν ῥ᾽ ἔστησε φέρων πρὸς κίονα μακρήν,
the-spear indeed then he-set carrying against pillar tall
αὐτὸς δ᾽ εἴσω ἴεν καὶ ὑπέρβη λάϊνον οὐδόν.
himself and inside went and crossed stone threshold

Τὸν δὲ πολὺ πρώτη εἶδε τροφὸς Εὐρύκλεια,
Him and far first saw the-nurse Eurycleia
κώεα καστορνῦσα θρόνοις ἔνι δαιδαλέοισι,
fleeces spreading chairs on inlaid
δακρύσασα δ᾽ ἔπειτ᾽ ἰθὺς κίεν· ἀμφὶ δ᾽ ἄρ᾽ ἄλλαι
having-wept and then straight went around and then other
δμῳαὶ Ὀδυσσῆος ταλασίφρονος ἠγερέθοντο,
maidservants of-Odysseus steadfast gathered
καὶ κύνεον ἀγαπαζόμεναι κεφαλήν τε καὶ ὤμους.
and kissed welcoming(-him) on-head both and shoulders

Ἡ δ᾽ ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,
She and came from the-chamber wise Penelope
Ἀρτέμιδι ἰκέλη ἠὲ χρυσέῃ Ἀφροδίτῃ,
to-Artemis like or golden Aphrodite
ἀμφὶ δὲ παιδὶ φίλῳ βάλε πήχεε δακρύσασα,
around and son dear threw arms having-wept

κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλά,
kissed and him on-head both and both eyes fair
καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
and then lamenting words winged addressed
"Ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος. οὔ σ' ἔτ' ἐγώ γε
You-have-come Telemachus sweet light not you longer I indeed
ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηΐ Πύλονδε
to-see I-thought after you-went by-ship to-Pylos
λάθρη, ἐμεῦ ἀέκητι, φίλου μετὰ πατρὸς ἀκουήν.
secretly of-me against-the-will dear after of-father news
ἀλλ' ἄγε μοι κατάλεξον ὅπως ἤντησας ὀπωπῆς."
but come to-me recount how you-came-upon the-sight
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Her and in-turn Telemachus prudent in-reply spoke
"Μῆτερ ἐμή, μή μοι γόον ὄρνυθι μηδέ μοι ἦτορ
Mother my not for-me lament rouse nor my heart
ἐν στήθεσσιν ὄρινε φυγόντι περ αἰπὺν ὄλεθρον·
in breast stir having-escaped though sheer destruction
ἀλλ' ὑδρηναμένη, καθαρὰ χροΐ εἵμαθ' ἑλοῦσα,
but having-bathed clean on-skin clothes taking
εἰς ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν
into the-upper-rooms having-gone-up with handmaid women
εὔχεο πᾶσι θεοῖσι τελήεσσας ἑκατόμβας
vow to-all gods perfect hecatombs
ῥέξειν, αἴ κέ ποθι Ζεὺς ἄντιτα ἔργα τελέσσῃ.
to-offer if — somehow Zeus requital deeds accomplishes
αὐτὰρ ἐγὼν ἀγορὴν ἐσελεύσομαι, ὄφρα καλέσσω
but I the-assembly will-go-to so-that I-may-summon
ξεῖνον, ὅτις μοι κεῖθεν ἅμ' ἕσπετο δεῦρο κιόντι.
a-stranger who me thence with followed hither coming

τὸν μὲν ἐγὼ προὔπεμψα σὺν ἀντιθέοις ἑτάροισι,
him indeed I sent-ahead with godlike comrades
Πείραιον δέ μιν ἠνώγεα προτὶ οἶκον ἄγοντα
Piraeus and him I-bade to house leading
ἐνδυκέως φιλέειν καὶ τιέμεν, εἰς ὅ κεν ἔλθω."
kindly to-entertain and to-honor until (the-time)-when — I-come
Ὣς ἄρ' ἐφώνησεν, τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
So then he-spoke for-her and wingless was the-word
ἡ δ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵματ' ἑλοῦσα,
she and having-bathed clean on-skin clothes taking
εὔχετο πᾶσι θεοῖσι τελησσας ἑκατόμβας
vowed to-all gods perfect hecatombs
ῥέξειν, αἴ κέ ποθι Ζεὺς ἄντιτα ἔργα τελέσσῃ.
to-offer if — somehow Zeus requital deeds accomplishes
Τηλέμαχος δ' ἄρ' ἔπειτα διὲκ μεγάροιο βεβήκει
Telemachus and then thereafter through the-hall went
ἔγχος ἔχων· ἅμα τῷ γε δύω κύνες ἀργοὶ ἕποντο.
the-spear holding along with-him indeed two dogs swift followed
θεσπεσίην δ' ἄρα τῷ γε χάριν κατέχευεν Ἀθήνη·
wondrous and then on-him indeed grace shed Athena
τὸν δ' ἄρα πάντες λαοὶ ἐπερχόμενον θηεῦντο.
him and then all the-people coming gazed-at
ἀμφὶ δέ μιν μνηστῆρες ἀγήνορες ἠγερέθοντο
around and him the-suitors proud gathered
ἔσθλ' ἀγορεύοντες, κακὰ δὲ φρεσὶ βυσσοδόμευον.
good-things speaking evils but in-minds deeply-plotted
αὐτὰρ ὁ τῶν μὲν ἔπειτα ἀλεύατο πουλὺν ὅμιλον,
but he their indeed then avoided great throng
ἀλλ' ἵνα Μέντωρ ἧστο καὶ Ἄντιφος ἠδ' Ἁλιθέρσης,
but where Mentor sat and Antiphus and Halitherses

οἵ τε οἱ ἐξ ἀρχῆς πατρώϊοι ἦσαν ἑταῖροι,
who — his from the-beginning ancestral were comrades
ἔνθα καθέζετ' ἰών· τοὶ δ' ἐξερέεινον ἕκαστα.
there sat going they and questioned each-thing
τοῖσι δὲ Πείραιος δουρικλυτὸς ἐγγύθεν ἦλθεν
to-them and Piraeus spear-famed near came
ξεῖνον ἄγων ἀγορήνδε διὰ πτόλιν· οὐδ' ἄρ' ἔτι δὴν
the-stranger leading to-the-assembly through the-city nor then longer long
Τηλέμαχος ξείνοιο ἑκὰς τράπετ', ἀλλὰ παρέστη.
Telemachus from-the-stranger far turned but stood-by(-him)
τὸν καὶ Πείραιος πρότερος πρὸς μῦθον ἔειπε·
him also Piraeus first to speech said
"Τηλέμαχ', αἶψ' ὄτρυνον ἐμὸν ποτὶ δῶμα γυναῖκας,
Telemachus quickly send my to house women
ὥς τοι δῶρ' ἀποπέμψω, ἅ τοι Μενέλαος ἔδωκε."
that to-you the-gifts I-may-send which to-you Menelaus gave
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
"Πείραι', οὐ γάρ τ' ἴδμεν ὅπως ἔσται τάδε ἔργα.
Piraeus not for — we-know how will-be these deeds
εἴ κεν ἐμὲ μνηστῆρες ἀγήνορες ἐν μεγάροισι
if — me the-suitors proud in the-halls
λάθρη κτείναντες πατρώϊα πάντα δάσωνται,
secretly having-killed ancestral-things all divide
αὐτὸν ἔχοντά σε βούλομ' ἐπαυρέμεν, ἤ τινα τῶνδε·
yourself having you I-wish to-enjoy(-them) than any of-these
εἰ δέ κ' ἐγὼ τούτοισι φόνον καὶ κῆρα φυτεύσω,
if but — I for-these slaughter and doom plant
δὴ τότε μοι χαίροντι φέρειν πρὸς δώματα χαίρων."
indeed then to-me rejoicing bring to the-house rejoicing

Ὣς εἰπὼν ξεῖνον ταλαπείριον ἦγεν ἐς οἶκον.
So having-spoken the-stranger much-suffering led to the-house
αὐτὰρ ἐπεί ῥ' ἵκοντο δόμους εὖ ναιετάοντας,
but when then they-reached the-house well dwelt-in
χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε,
cloaks indeed they-laid on armchairs both chairs and
ἐς δ' ἀσαμίνθους βάντες ἐϋξέστας λούσαντο.
into and bathtubs going well-polished they-bathed
τοὺς δ' ἐπεὶ οὖν δμῳαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
them and when then maidservants bathed and anointed with-oil
ἀμφὶ δ' ἄρα χλαίνας οὔλας βάλον ἠδὲ χιτῶνας,
around and then cloaks woolly cast and tunics
ἔκ ῥ' ἀσαμίνθων βάντες ἐπὶ κλισμοῖσι καθίζον.
out then from-the-bathtubs going on armchairs sat
χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
water-for-hands and a-maid from-a-ewer poured-over bringing
καλῇ χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
fair golden over silver basin
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
to-wash beside and polished she-set-out table
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
bread and modest housekeeper set-beside bringing
εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
foods many adding giving-freely from-what-was-there
μήτηρ δ' ἀντίον ἷζε παρὰ σταθμὸν μεγάροιο
mother and opposite sat by the-doorpost of-the-hall
κλισμῷ κεκλιμένη, λέπτ' ἠλάκατα στρωφῶσα.
on-an-armchair reclining fine yarn spinning
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
they and on food ready lying-before hands put-forth

αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
but when of-drink and of-food out desire they-put
τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·
to-them and of-speech began wise Penelope
"Τηλέμαχ', ἦ τοι ἐγὼν ὑπερώϊον εἰσαναβᾶσα
Telemachus truly indeed I the-upper-room having-gone-up
λέξομαι εἰς εὐνήν, ἥ μοι στονόεσσα τέτυκται,
will-lie-down on the-bed which for-me mournful has-become
αἰεὶ δάκρυσ' ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς
always with-tears my stained from when Odysseus
ᾤχεθ' ἅμ' Ἀτρεΐδῃσιν ἐς Ἴλιον· οὐδέ μοι ἔτλης,
went with the-sons-of-Atreus to Ilion nor to-me did-you-dare
πρὶν ἐλθεῖν μνηστῆρας ἀγήνορας ἐς τόδε δῶμα,
before to-come the-suitors proud into this house
νόστον σοῦ πατρὸς σάφα εἰπέμεν, εἴ που ἄκουσας."
the-return of-your father clearly to-tell if somewhere you-heard

XVII.2 · TELEMACHUS' REPORT

Telemachus tells of his visits to Nestor and to Menelaus, who foretold the suitors' doom and repeated what the Old Man of the Sea told him: Odysseus is held on Calypso's island without a ship. Theoclymenus then swears that Odysseus is already in Ithaca, planning the suitors' ruin, as a bird of omen showed him. Penelope wishes it may be so.

Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Her and in-turn Telemachus prudent in-reply spoke
"Τοιγὰρ ἐγώ τοι, μῆτερ, ἀληθείην καταλέξω.
Therefore I to-you mother the-truth will-recount
ᾠχόμεθ' ἔς τε Πύλον καὶ Νέστορα, ποιμένα λαῶν·
we-went to both Pylos and Nestor shepherd of-the-people

δεξάμενος δέ με κεῖνος ἐν ὑψηλοῖσι δόμοισιν
receiving and me he in lofty house
ἐνδυκέως ἐφίλει, ὡς εἴ τε πατὴρ ἑὸν υἱὸν
kindly welcomed as if — a-father his-own son
ἐλθόντα χρόνιον νέον ἄλλοθεν· ὣς ἐμὲ κεῖνος
having-come after-long-time newly from-elsewhere so me he
ἐνδυκέως ἐκόμιζε σὺν υἱάσι κυδαλίμοισιν.
kindly cared-for with sons glorious
αὐτὰρ Ὀδυσσῆος ταλασίφρονος οὔ ποτ' ἔφασκεν,
but of-Odysseus steadfast not ever he-said
ζωοῦ οὐδὲ θανόντος, ἐπιχθονίων τευ ἀκοῦσαι·
living nor dead of-men-on-earth from-anyone to-have-heard
ἀλλά μ' ἐς Ἀτρεΐδην, δουρικλειτὸν Μενέλαον,
but me to the-son-of-Atreus spear-famed Menelaus
ἵπποισι προΰπεμψε καὶ ἅρμασι κολλητοῖσιν.
with-horses sent-forward and with-chariots jointed
ἔνθ' ἴδον Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλὰ
there I-saw Argive Helen whom for-the-sake-of much
Ἀργεῖοι Τρῶές τε θεῶν ἰότητι μόγησαν.
the-Argives Trojans and of-the-gods by-the-will toiled
εἴρετο δ' αὐτίκ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος
asked and at-once then at-the-war-cry good Menelaus
ὅττευ χρηΐζων ἱκόμην Λακεδαίμονα δῖαν·
for-what needing I-had-come-to Lacedaemon bright
αὐτὰρ ἐγὼ τῷ πᾶσαν ἀληθείην κατέλεξα·
but I to-him all the-truth recounted
καὶ τότε δή με ἔπεσσιν ἀμειβόμενος προσέειπεν·
and then indeed me with-words answering addressed

"'Ὦ πόποι, ἦ μάλα δὴ κρατερόφρονος ἀνδρὸς ἐν εὐνῇ
Oh for-shame truly very indeed of-a-strong-hearted man in the-bed
ἤθελον εὐνηθῆναι, ἀνάλκιδες αὐτοὶ ἐόντες.
wished to-lie unwarlike themselves being
ὡς δ' ὁπότ' ἐν ξυλόχῳ ἔλαφος κρατεροῖο λέοντος
as and when in a-thicket a-doe of-strong lion
νεβροὺς κοιμήσασα νεηγενέας γαλαθηνοὺς
fawns having-laid-to-sleep new-born sucking
κνημοὺς ἐξερέῃσι καὶ ἄγκεα ποιήεντα
the-spurs searches and glens grassy
βοσκομένη, ὁ δ' ἔπειτα ἑὴν εἰσήλυθεν εὐνήν,
feeding he and then his-own came-into lair
ἀμφοτέροισι δὲ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν,
on-both and them unseemly doom let-loose
ὣς Ὀδυσεὺς κείνοισιν ἀεικέα πότμον ἐφήσει.
so Odysseus on-them unseemly doom will-let-loose
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
if-only for Zeus both father and Athena and Apollo
τοῖος ἐὼν οἷός ποτ' ἐϋκτιμένῃ ἐνὶ Λέσβῳ
such being as once well-built in Lesbos
ἐξ ἔριδος Φιλομηλείδῃ ἐπάλαισεν ἀναστάς,
in contest with-Philomeleides wrestled standing-up
κὰδ δ' ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοί,
down and threw(-him) mightily rejoiced and all the-Achaeans
τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς·
such being among-the-suitors might-mingle Odysseus
πάντες κ' ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
all — swift-fated both would-be bitter-wedded and

ταῦτα δ' ἅ μ' εἰρωτᾷς καὶ λίσσεαι, οὐκ ἂν ἐγώ γε
these-things but which me you-ask and beseech not — I indeed
ἄλλα παρὲξ εἴποιμι παρακλιδὸν οὐδ' ἀπατήσω,
other-things beside would-say turning-aside nor will-deceive
ἀλλὰ τὰ μέν μοι ἔειπε γέρων ἅλιος νημερτής,
but these-things indeed to-me told the-old-man of-the-sea unerring
τῶν οὐδέν τοι ἐγὼ κρύψω ἔπος οὐδ' ἐπικεύσω.
of-these nothing to-you I will-hide word nor will-conceal
φῆ μιν ὅ γ' ἐν νήσῳ ἰδέειν κρατέρ' ἄλγε' ἔχοντα,
he-said him he indeed on an-island to-have-seen mighty pains having
νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκῃ
of-the-nymph in the-halls Calypso who him by-force
ἴσχει· ὁ δ' οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι.
holds he and not is-able his-own native land to-reach
οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
not for to-him at-hand ships furnished-with-oars and comrades
οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.'
who — him might-convey over broad back of-the-sea
"Ὣς ἔφατ' Ἀτρεΐδης, δουρικλειτὸς Μενέλαος.
So spoke the-son-of-Atreus spear-famed Menelaus
ταῦτα τελευτήσας νεόμην· ἔδοσαν δέ μοι οὖρον
these-things having-accomplished I-returned gave and to-me a-fair-wind
ἀθάνατοι, τοί μ' ὦκα φίλην ἐς πατρίδ' ἔπεμψαν."
the-immortals who me quickly dear to native-land sent
Ὣς φάτο, τῇ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε.
So he-spoke for-her and then the-heart in breast stirred
τοῖσι δὲ καὶ μετέειπε Θεοκλύμενος θεοειδής·
to-them and also spoke-among Theoclymenus godlike

"Ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
O woman revered of-the-son-of-Laertes Odysseus
ἦ τοι ὅ γ' οὐ σάφα οἶδεν, ἐμεῖο δὲ σύνθεο μῦθον·
truly indeed he indeed not clearly knows of-me but heed the-word
ἀτρεκέως γάρ σοι μαντεύσομαι οὐδ' ἐπικεύσω·
truly for to-you I-will-prophesy nor will-conceal
ἴστω νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα
let-know now Zeus first of-the-gods hospitable and table
ἱστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,
hearth and of-Odysseus blameless which I-come-to
ὡς ἦ τοι Ὀδυσεὺς ἤδη ἐν πατρίδι γαίῃ,
that truly indeed Odysseus already in native land
ἥμενος ἠὲ ἔρπων, τάδε πευθόμενος κακὰ ἔργα,
sitting or moving these learning evil deeds
ἔστιν, ἀτὰρ μνηστῆρσι κακὸν πάντεσσι φυτεύει·
is but for-the-suitors evil for-all he-is-planting
τοῖον ἐγὼν οἰωνὸν ἐϋσσέλμου ἐπὶ νηὸς
such I bird-of-omen well-benched on ship
ἥμενος ἐφρασάμην καὶ Τηλεμάχῳ ἐγεγώνευν."
sitting noted and to-Telemachus called-out
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Him and in-turn addressed wise Penelope
"Αἴ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη·
If-only for this stranger word fulfilled might-be
τῷ κε τάχα γνοίης φιλότητά τε πολλά τε δῶρα
then — soon you-would-know kindness both many and gifts
ἐξ ἐμεῦ, ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι."
from me so-that — anyone you meeting would-call-blessed

While the suitors amuse themselves with discus and javelin, Eumaeus leads Odysseus to the city as an old beggar with a staff. At the fountain built by Ithacus, Neritus, and Polyctor, the goatherd Melanthius insults them and kicks Odysseus, who restrains himself. Eumaeus prays to the nymphs for his master's return, and Melanthius threatens to sell him abroad and curses Telemachus.

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
So they indeed such-things to each-other spoke
μνηστῆρες δὲ πάροιθεν Ὀδυσσῆος μεγάροιο
the-suitors and before of-Odysseus the-hall
δίσκοισιν τέρποντο καὶ αἰγανέῃσιν ἱέντες,
with-discs were-delighting and with-javelins throwing
ἐν τυκτῷ δαπέδῳ, ὅθι περ πάρος ὕβριν ἔχοντες.
on leveled floor where indeed before insolence having
ἀλλ' ὅτε δὴ δείπνηστος ἔην καὶ ἐπήλυθε μῆλα
but when indeed supper-time it-was and came-on the-flocks
πάντοθεν ἐξ ἀγρῶν, οἱ δ' ἤγαγον οἵ τὸ πάρος περ,
from-all-sides from the-fields they and drove who the before indeed
καὶ τότε δή σφιν ἔειπε Μέδων· ὃς γάρ ῥα μάλιστα
and then indeed to-them said Medon who for then most
ἥνδανε κηρύκων, καί σφιν παρεγίγνετο δαιτί·
pleased of-the-heralds and with-them was-present at-the-feast
"Κοῦροι, ἐπεὶ δὴ πάντες ἐτέρφθητε φρέν' ἀέθλοις,
Young-men since indeed all you-have-been-gladdened in-mind with-contests
ἔρχεσθε πρὸς δώμαθ', ἵν' ἐντυνώμεθα δαῖτα·
come to the-house so-that we-may-prepare a-feast
οὐ μὲν γάρ τι χέρειον ἐν ὥρῃ δεῖπνον ἑλέσθαι."
not indeed for at-all worse in season supper to-take

Ὣς ἔφαθ', οἱ δ' ἀνστάντες ἔβαν πείθοντό τε μύθῳ.
So he-spoke they and having-risen went obeyed and the-word
αὐτὰρ ἐπεί ῥ' ἵκοντο δόμους εὖ ναιετάοντας,
but when then they-reached the-house well dwelt-in
χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε,
cloaks indeed they-laid on armchairs both chairs and
οἱ δ' ἱέρευον ὄϊς μεγάλους καὶ πίονας αἶγας,
they and sacrificed sheep great and fat goats
ἵρευον δὲ σύας σιάλους καὶ βοῦν ἀγελαίην,
sacrificed and swine fatted and a-cow of-the-herd
δαῖτ' ἐντυνόμενοι. τοὶ δ' ἐξ ἀγροῖο πόλινδε
a-feast preparing they and from the-field to-the-city
ὠτρύνοντ' Ὀδυσεύς τ' ἰέναι καὶ δῖος ὑφορβός.
hastened Odysseus both to-go and noble swineherd
τοῖσι δὲ μύθων ἦρχε συβώτης, ὄρχαμος ἀνδρῶν·
to-them and of-speech began the-swineherd leader of-men
"Ξεῖν', ἐπεὶ ἦ δὴ ἔπειτα πόλινδ' ἰέναι μενεαίνεις
Stranger since then indeed then to-the-city to-go you-are-eager
σήμερον, ὡς ἐπέτελλεν ἄναξ ἐμός — ἦ σ' ἂν ἐγώ γε
today as bade lord my truly you — I indeed
αὐτοῦ βουλοίμην σταθμῶν ῥυτῆρα λιπέσθαι·
here would-wish of-the-farmstead a-warden to-be-left
ἀλλὰ τὸν αἰδέομαι καὶ δείδια, μή μοι ὀπίσσω
but him I-respect and fear lest me hereafter
νεικείῃ· χαλεπαὶ δέ τ' ἀνάκτων εἰσὶν ὁμοκλαί —
he-chide harsh and — of-lords are rebukes
ἀλλ' ἄγε νῦν ἴομεν· δὴ γὰρ μέμβλωκε μάλιστα
but come now let-us-go indeed for has-passed mostly
ἦμαρ, ἀτὰρ τάχα τοι ποτὶ ἕσπερα ῥίγιον ἔσται."
the-day but soon you-know toward evening colder it-will-be

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"Γιγνώσκω, φρονέω· τά γε δὴ νοέοντι κελεύεις.
I-know I-understand these-things indeed truly to-one-who-knows you-bid
ἀλλ' ἴομεν, σὺ δ' ἔπειτα διαμπερὲς ἡγεμόνευε.
but let-us-go you and then all-the-way lead
δὸς δέ μοι, εἴ ποθί τοι ῥόπαλον τετμημένον ἐστίν,
give and to-me if anywhere your staff cut is
σκηρίπτεσθ', ἐπεὶ ἦ φατ' ἀρισφαλέ' ἔμμεναι οὐδόν."
to-lean-on since truly you-say slippery to-be the-path
Ἦ ῥα καὶ ἀμφ' ὤμοισιν ἀεικέα βάλλετο πήρην,
He-spoke then and around shoulders unseemly threw a-wallet
πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ·
thickly ragged in and a-cord was for-a-strap
Εὔμαιος δ' ἄρα οἱ σκῆπτρον θυμαρὲς ἔδωκε.
Eumaeus and then to-him a-staff pleasing gave
τὼ βήτην, σταθμὸν δὲ κύνες καὶ βώτορες ἄνδρες
they-two went the-farmstead and dogs and herdsmen men
ῥύατ' ὄπισθε μένοντες· ὁ δ' ἐς πόλιν ἦγεν ἄνακτα
guarded behind remaining he and to the-city led the-lord
πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι,
a-beggar wretched like and an-old-man
σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροΐ εἵματα ἕστο.
leaning-on-a-staff the and wretched about skin clothes he-wore
Ἀλλ' ὅτε δὴ στείχοντες ὁδὸν κάτα παιπαλόεσσαν
But when indeed walking the-road along rugged
ἄστεος ἐγγὺς ἔσαν καὶ ἐπὶ κρήνην ἀφίκοντο
the-town near they-were and to the-spring came
τυκτὴν καλλίροον, ὅθεν ὑδρεύοντο πολῖται,
built fair-flowing whence drew-water the-townsfolk

τὴν ποίησ᾽ Ἴθακος καὶ Νήριτος ἠδὲ Πολύκτωρ·
which made Ithacus and Neritus and Polyctor
ἀμφὶ δ᾽ ἄρ᾽ αἰγείρων ὑδατοτρεφέων ἦν ἄλσος,
around and then of-poplars water-nourished was a-grove
πάντοσε κυκλοτερές, κατὰ δὲ ψυχρὸν ῥέεν ὕδωρ
on-all-sides circling down and cold flowed water
ὑψόθεν ἐκ πέτρης· βωμὸς δ᾽ ἐφύπερθε τέτυκτο
from-on-high from the-rock an-altar and above was-built
νυμφάων, ὅθι πάντες ἐπιρρέζεσκον ὁδῖται·
of-the-nymphs where all used-to-sacrifice wayfarers
ἔνθα σφέας ἐκίχαν᾽ υἱὸς Δολίοιο Μελανθεὺς
there them met son of-Dolius Melantheus
αἶγας ἄγων, αἳ πᾶσι μετέπρεπον αἰπολίοισι,
goats driving which among-all excelled the-goat-flocks
δεῖπνον μνηστήρεσσι· δύω δ᾽ ἅμ᾽ ἕποντο νομῆες.
a-meal for-the-suitors two and with(-him) followed herdsmen
τοὺς δὲ ἰδὼν νείκεσσεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν,
them and seeing he-reviled word and spoke out and named(-him)
ἔκπαγλον καὶ ἀεικές· ὄρινε δὲ κῆρ Ὀδυσῆος·
outrageously and shamefully stirred and the-heart of-Odysseus
"Νῦν μὲν δὴ μάλα πάγχυ κακὸς κακὸν ἡγηλάζει,
Now indeed truly very utterly a-bad-man a-bad-man leads
ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον.
as always the like leads a-god to the like
πῇ δὴ τόνδε μολοβρὸν ἄγεις, ἀμέγαρτε συβῶτα,
where indeed this greedy-glutton do-you-lead unenviable swineherd
πτωχὸν ἀνιηρόν, δαιτῶν ἀπολυμαντῆρα;
a-beggar troublesome of-feasts licker-of-scraps
ὃς πολλῇς φλιῇσι παραστὰς θλίψεται ὤμους,
who on-many doorposts standing-by will-rub shoulders

αἰτίζων ἀκόλους, οὐκ ἄορας οὐδὲ λέβητας·
begging morsels not swords nor cauldrons
τόν κ᾽ εἴ μοι δοίης σταθμῶν ῥυτῆρα γενέσθαι
him — if to-me you-would-give of-the-farmstead a-warden to-be
σηκοκόρον τ᾽ ἔμεναι θαλλόν τ᾽ ἐρίφοισι φορῆναι,
a-pen-sweeper and to-be leaves and to-the-kids to-carry
καί κεν ὀρὸν πίνων μεγάλην ἐπιγουνίδα θεῖτο.
and — whey drinking great thigh would-put-on
ἀλλ᾽ ἐπεὶ οὖν δὴ ἔργα κάκ᾽ ἔμμαθεν, οὐκ ἐθελήσει
but since then indeed deeds bad he-has-learned not he-will-wish
ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσων κατὰ δῆμον
work to-go-about but cringing through the-land
βούλεται αἰτίζων βόσκειν ἣν γαστέρ᾽ ἄναλτον.
he-prefers begging to-feed his-own belly insatiable
ἀλλ᾽ ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
but out to-you I-will-say this and also accomplished will-be
αἴ κ᾽ ἔλθῃ πρὸς δώματ᾽ Ὀδυσσῆος θείοιο,
if — he-comes to the-house of-Odysseus godlike
πολλά οἱ ἀμφὶ κάρη σφέλα ἀνδρῶν ἐκ παλαμάων
many his around head footstools of-men from hands
πλευραὶ ἀποτρίψουσι δόμον κάτα βαλλομένοιο."
ribs will-rub-off the-house through being-pelted
Ὣς φάτο, καὶ παριὼν λὰξ ἔνθορεν ἀφραδίῃσιν
So he-spoke and passing-by with-the-heel kicked in-his-folly
ἰσχίῳ· οὐδέ μιν ἐκτὸς ἀταρπιτοῦ ἐστυφέλιξεν,
on-the-hip nor him out-of the-path did-he-thrust
ἀλλ᾽ ἔμεν᾽ ἀσφαλέως· ὁ δὲ μερμήριξεν Ὀδυσσεὺς
but he-stood firmly he and pondered Odysseus
ἠὲ μεταΐξας ῥοπάλῳ ἐκ θυμὸν ἕλοιτο,
whether rushing-after(-him) with-the-staff out life he-should-take

ἢ πρὸς γῆν ἐλάσειε κάρη ἀμφουδὶς ἀείρας.
or against the-ground should-dash the-head off-the-ground lifting(-him)
ἀλλ' ἐπετόλμησε, φρεσὶ δ' ἔσχετο· τὸν δὲ συβώτης
but he-endured in-mind and restrained-himself him but the-swineherd
νείκεσ' ἐσάντα ἰδών, μέγα δ' εὔξατο χεῖρας ἀνασχών·
rebuked facing(-him) looking greatly and prayed hands raising
"Νύμφαι κρηναῖαι, κοῦραι Διός, εἴ ποτ' Ὀδυσσεὺς
Nymphs of-the-spring daughters of-Zeus if ever Odysseus
ὔμμ' ἐπὶ μηρί' ἔκηε, καλύψας πίονι δημῷ,
to-you upon thigh-pieces burned covering with-rich fat
ἀρνῶν ἠδ' ἐρίφων, τόδε μοι κρηήνατ' ἐέλδωρ,
of-lambs and of-kids this for-me fulfill wish
ὡς ἔλθοι μὲν κεῖνος ἀνήρ, ἀγάγοι δέ ἑ δαίμων·
that may-come indeed that man may-lead and him a-god
τῷ κέ τοι ἀγλαΐας γε διασκεδάσειεν ἁπάσας,
then — your fine-airs indeed he-would-scatter all
τὰς νῦν ὑβρίζων φορέεις, ἀλαλήμενος αἰεὶ
which now insolently you-bear wandering always
ἄστυ κάτ'· αὐτὰρ μῆλα κακοὶ φθείρουσι νομῆες."
the-town through but the-flocks bad ruin herdsmen
Τὸν δ' αὖτε προσέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
Him and in-turn addressed Melanthius goatherd of-goats
"Ὢ πόποι, οἷον ἔειπε κύων ὀλοφώϊα εἰδώς,
Oh for-shame what has-said the-dog mischief knowing
τόν ποτ' ἐγὼν ἐπὶ νηὸς εὐσσέλμοιο μελαίνης
him one-day I on a-ship well-benched black
ἄξω τῆλ' Ἰθάκης, ἵνα μοι βίοτον πολὺν ἄλφοι.
will-take far-from Ithaca so-that for-me livelihood much he-may-fetch

αἲ γὰρ Τηλέμαχον βάλοι ἀργυρότοξος Ἀπόλλων
if-only for Telemachus may-strike silver-bowed Apollo
σήμερον ἐν μεγάροις, ἢ ὑπὸ μνηστῆρσι δαμείη,
today in the-halls or by the-suitors may-he-be-slain
ὡς Ὀδυσῆϊ γε τηλοῦ ἀπώλετο νόστιμον ἦμαρ."
as for-Odysseus indeed far-off has-perished of-return the-day

XVII.4 · ARGUS

At the palace Odysseus knows his own house by its court and walls, hears Phemius' lyre, and sends Eumaeus in first. On the dung heap lies Argus, the dog he raised and left behind, neglected and full of ticks. He wags his tail and drops his ears but cannot reach his master, and Odysseus wipes away a tear. Argus dies, having seen Odysseus in the twentieth year.

Ὣς εἰπὼν τοὺς μὲν λίπεν αὐτοῦ ἦκα κιόντας,
So having-spoken them indeed he-left there slowly going
αὐτὰρ ὁ βῆ, μάλα δ' ὦκα δόμους ἴκανεν ἄνακτος. 255
but he went very and swiftly the-house reached of-the-lord
αὐτίκα δ' εἴσω ἴεν, μετὰ δὲ μνηστῆρσι καθίζεν,
at-once and inside went among and the-suitors sat
ἀντίον Εὐρυμάχου· τὸν γὰρ φιλέεσκε μάλιστα.
facing Eurymachus him for he-loved most
τῷ πάρα μὲν κρειῶν μοῖραν θέσαν οἳ πονέοντο,
for-him beside indeed of-meats a-portion set who were-busy

σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα
bread and modest housekeeper set-beside bringing
ἔδμεναι. ἀγχίμολον δ' Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
to-eat near and Odysseus and noble swineherd
στήτην ἐρχομένω, περὶ δέ σφεας ἤλυθ' ἰωὴ
stopped coming around and them came the-sound
φόρμιγγος γλαφυρῆς· ἀνὰ γάρ σφισι βάλλετ' ἀείδειν
of-the-lyre hollow up for for-them struck to-sing
Φήμιος· αὐτὰρ ὁ χειρὸς ἑλὼν προσέειπε συβώτην·
Phemius but he by-the-hand taking addressed the-swineherd
"Εὔμαι', ἦ μάλα δὴ τάδε δώματα κάλ' Ὀδυσῆος,
Eumaeus truly very indeed this house fair of-Odysseus
ῥεῖα δ' ἀρίγνωτ' ἐστὶ καὶ ἐν πολλοῖσιν ἰδέσθαι.
easily and recognizable it-is even among many to-see
ἐξ ἑτέρων ἕτερ' ἐστίν, ἐπήσκηται δέ οἱ αὐλὴ
from others others are is-well-built and its court
τοίχῳ καὶ θριγκοῖσι, θύραι δ' εὐερκέες εἰσὶ
with-wall and copings doors and well-fenced are
δικλίδες· οὐκ ἄν τίς μιν ἀνὴρ ὑπεροπλίσσαιτο.
double not — any it man could-overpower
γιγνώσκω δ' ὅτι πολλοὶ ἐν αὐτῷ δαῖτα τίθενται
I-perceive and that many in it a-feast hold
ἄνδρες, ἐπεὶ κνίση μὲν ἀνήνοθεν, ἐν δέ τε φόρμιγξ
men since savor indeed rises in(-it) and — the-lyre
ἠπύει, ἣν ἄρα δαιτὶ θεοὶ ποίησαν ἑταίρην."
sounds which then for-the-feast the-gods made companion
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Him and answering you-addressed Eumaeus swineherd
"Ῥεῖ' ἔγνως, ἐπεὶ οὐδὲ τά τ' ἄλλα πέρ ἐσσ' ἀνοήμων.
Easily you-knew since not-even in-the — other-things indeed are-you witless

ἀλλ᾽ ἄγε δὴ φραζώμεθ᾽ ὅπως ἔσται τάδε ἔργα.
but come indeed let-us-consider how will-be these deeds
ἠὲ σὺ πρῶτος ἔσελθε δόμους εὖ ναιετάοντας,
either you first enter the-house well dwelt-in
δύσεο δὲ μνηστῆρας, ἐγὼ δ᾽ ὑπολείψομαι αὐτοῦ·
go-among and the-suitors I and will-stay-behind here
εἰ δ᾽ ἐθέλεις, ἐπίμεινον, ἐγὼ δ᾽ εἶμι προπάροιθε·
if but you-wish wait I and will-go ahead
μηδὲ σὺ δηθύνειν, μή τίς σ᾽ ἔκτοσθε νοήσας
nor you linger lest anyone you outside noticing
ἢ βάλῃ ἢ ἐλάσῃ· τὰ δέ σε φράζεσθαι ἄνωγα.”
either may-pelt or may-strike these and you to-consider I-bid
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
Him and answered then much-enduring noble Odysseus
“Γιγνώσκω, φρονέω· τά γε δὴ νοέοντι κελεύεις.
I-know I-understand these-things indeed truly to-one-who-knows you-bid
ἀλλ᾽ ἔρχευ προπάροιθεν, ἐγὼ δ᾽ ὑπολείψομαι αὐτοῦ.
but go ahead I and will-stay-behind here
οὐ γάρ τι πληγέων ἀδαήμων οὐδὲ βολάων·
not for at-all of-blows unacquainted nor of-missiles
τολμήεις μοι θυμός, ἐπεὶ κακὰ πολλὰ πέπονθα
enduring my heart since evils many I-have-suffered
κύμασι καὶ πολέμῳ· μετὰ καὶ τόδε τοῖσι γενέσθω·
in-waves and in-war among also this them let-it-be
γαστέρα δ᾽ οὔ πως ἔστιν ἀποκρύψαι μεμανῖαν,
the-belly but not in-any-way it-is-possible to-hide eager
οὐλομένην, ἣ πολλὰ κάκ᾽ ἀνθρώποισι δίδωσι,
cursed which many evils to-men gives

τῆς ἕνεκεν καὶ νῆες ἐΰζυγοι ὁπλίζονται
of-which for-the-sake-of even ships well-benched are-equipped
πόντον ἐπ᾽ ἀτρύγετον, κακὰ δυσμενέεσσι φέρουσαι.᾽᾽
the-sea over barren evils to-foes bringing
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
So they indeed such-things to each-other spoke
ἂν δὲ κύων κεφαλήν τε καὶ οὔατα κείμενος ἔσχεν,
up and a-dog head both and ears lying held
Ἄργος, Ὀδυσσῆος ταλασίφρονος, ὅν ῥά ποτ᾽ αὐτὸς
Argus of-Odysseus steadfast whom then once himself
θρέψε μέν, οὐδ᾽ ἀπόνητο, πάρος δ᾽ εἰς Ἴλιον ἱρὴν
reared indeed nor had-joy(-of-him) before but to Ilion sacred
ᾤχετο. τὸν δὲ πάροιθεν ἀγίνεσκον νέοι ἄνδρες
he-went him and formerly used-to-take young men
αἶγας ἐπ᾽ ἀγροτέρας ἠδὲ πρόκας ἠδὲ λαγωούς·
goats after wild and deer and hares
δὴ τότε κεῖτ᾽ ἀπόθεστος ἀποιχομένοιο ἄνακτος,
indeed then he-lay neglected departed the-lord
ἐν πολλῇ κόπρῳ, ἥ οἱ προπάροιθε θυράων
in much dung which for-him before the-doors
ἡμιόνων τε βοῶν τε ἅλις κέχυτ᾽, ὄφρ᾽ ἂν ἄγοιεν
of-mules both cattle and in-plenty was-heaped until — should-take(-it)
δμῶες Ὀδυσσῆος τέμενος μέγα κοπρήσοντες·
the-servants of-Odysseus estate great to-manure
ἔνθα κύων κεῖτ᾽ Ἄργος, ἐνίπλειος κυνοραιστέων.
there the-dog lay Argus full of-dog-ticks
δὴ τότε γ᾽, ὡς ἐνόησεν Ὀδυσσέα ἐγγὺς ἐόντα,
indeed then indeed when he-noticed Odysseus near being
οὐρῇ μέν ῥ᾽ ὅ γ᾽ ἔσηνε καὶ οὔατα κάββαλεν ἄμφω,
with-tail indeed then he indeed fawned and ears dropped both

ἆσσον δ' οὐκέτ' ἔπειτα δυνήσατο οἷο ἄνακτος
nearer but no-longer then was-he-able to-his-own lord
ἐλθέμεν· αὐτὰρ ὁ νόσφιν ἰδὼν ἀπομόρξατο δάκρυ,
to-come but he aside looking wiped-away a-tear
ῥεῖα λαθὼν Εὔμαιον, ἄφαρ δ' ἐρεείνετο μύθῳ·
easily escaping-the-notice-of Eumaeus at-once and questioned(-him) with-speech
"Εὔμαι', ἦ μάλα θαῦμα, κύων ὅδε κεῖτ' ἐνὶ κόπρῳ.
Eumaeus truly very a-wonder dog this lies in the-dung
καλὸς μὲν δέμας ἐστίν, ἀτὰρ τόδε γ' οὐ σάφα οἶδα,
fine indeed in-form he-is but this indeed not clearly I-know
εἰ δὴ καὶ ταχὺς ἔσκε θέειν ἐπὶ εἴδεϊ τῷδε,
whether indeed also swift he-was to-run with form this
ἦ αὕτως οἷοί τε τραπεζῆες κύνες ἀνδρῶν
or just-so such-as — table dogs of-men
γίγνοντ'· ἀγλαΐης δ' ἕνεκεν κομέουσιν ἄνακτες."
are of-show and for-the-sake-of tend(-them) lords
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Him and answering you-addressed Eumaeus swineherd
"Καὶ λίην ἀνδρός γε κύων ὅδε τῆλε θανόντος.
Yes surely of-a-man indeed dog this far-off having-died
εἰ τοιόσδ' εἴη ἠμὲν δέμας ἠδὲ καὶ ἔργα,
if such he-were both in-form and also in-deeds
οἷόν μιν Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς,
as him to-Troy going left Odysseus
αἶψά κε θηήσαιο ἰδὼν ταχυτῆτα καὶ ἀλκήν.
quickly — you-would-marvel seeing the-speed and strength
οὐ μὲν γάρ τι φύγεσκε βαθείης βένθεσιν ὕλης
not indeed for at-all escaped of-deep in-the-depths wood
κνώδαλον, ὅττι δίοιτο· καὶ ἴχνεσι γὰρ περιῄδη·
a-beast whatever he-chased also in-tracking for he-was-skilled

νῦν δ' ἔχεται κακότητι, ἄναξ δέ οἱ ἄλλοθι πάτρης
now but he-is-held in-misery lord and his elsewhere from-native-land
ὤλετο, τὸν δὲ γυναῖκες ἀκηδέες οὐ κομέουσι.
has-perished him and the-women careless not tend
δμῶες δ', εὖτ' ἂν μηκέτ' ἐπικρατέωσιν ἄνακτες,
servants and when — no-longer rule lords
οὐκέτ' ἔπειτ' ἐθέλουσιν ἐναίσιμα ἐργάζεσθαι·
no-longer then do-they-wish right-things to-do
ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς
half for — of-worth takes-away far-seeing Zeus
ἀνέρος, εὖτ' ἄν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσιν."
of-a-man when — him down of-slavery the-day seizes
Ὣς εἰπὼν εἰσῆλθε δόμους εὖ ναιετάοντας,
So having-spoken he-entered the-house well dwelt-in
βῆ δ' ἰθὺς μεγάροιο μετὰ μνηστῆρας ἀγαυούς.
went and straight to-the-hall among the-suitors lordly
Ἄργον δ' αὖ κατὰ μοῖρ' ἔλαβεν μέλανος θανάτοιο,
Argus but in-turn down fate seized of-black death
αὐτίκ' ἰδόντ' Ὀδυσῆα ἐεικοστῷ ἐνιαυτῷ.
at-once having-seen Odysseus in-the-twentieth year

Telemachus sends the beggar bread and meat and bids him beg from the suitors, and Athena urges him to learn which of them are just. The suitors give, but Melanthius says the swineherd brought him, and Antinous rebukes Eumaeus for inviting a beggar. Eumaeus answers that no one invites a beggar, and Telemachus taunts Antinous for grudging what is not his.

Τὸν δὲ πολὺ πρῶτος ἴδε Τηλέμαχος θεοειδὴς
Him and far first saw Telemachus godlike
ἐρχόμενον κατὰ δῶμα συβώτην, ὦκα δ' ἔπειτα
coming through the-house the-swineherd quickly and then
νεῦσ' ἐπὶ οἱ καλέσας· ὁ δὲ παπτήνας ἕλε δίφρον
nodded to him calling(-him) he and looking-about took a-stool
κείμενον, ἔνθα τε δαιτρὸς ἐφίζεσκε κρέα πολλὰ
lying where — the-carver used-to-sit meats many
δαιόμενος μνηστῆρσι δόμον κάτα δαινυμένοισι·
carving for-the-suitors the-house through feasting
τὸν κατέθηκε φέρων πρὸς Τηλεμάχοιο τράπεζαν
it he-set carrying to of-Telemachus table
ἀντίον, ἔνθα δ' ἄρ' αὐτὸς ἐφέζετο· τῷ δ' ἄρα κῆρυξ
facing there and then himself sat for-him and then the-herald
μοῖραν ἑλὼν ἐτίθει κανέου τ' ἐκ σῖτον ἀείρας.
a-portion taking set the-basket and from bread lifting
Ἀγχίμολον δὲ μετ' αὐτὸν ἐδύσετο δώματ' Ὀδυσσεύς,
Near and after him entered the-house Odysseus
πτωχῷ λευγαλέῳ ἐναλίγκιος ἠδὲ γέροντι,
a-beggar wretched like and an-old-man
σκηπτόμενος· τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο.
leaning-on-a-staff the and wretched about skin clothes he-wore

ἷζε δ᾽ ἐπὶ μελίνου οὐδοῦ ἔντοσθε θυράων,
sat and on ashen threshold within the-doors
κλινάμενος σταθμῷ κυπαρισσίνῳ, ὅν ποτε τέκτων
leaning on-the-doorpost of-cypress which once a-carpenter
ξέσσεν ἐπισταμένως καὶ ἐπὶ στάθμην ἴθυνεν.
planed skillfully and to the-line made-straight
Τηλέμαχος δ᾽ ἐπὶ οἱ καλέσας προσέειπε συβώτην,
Telemachus and to him calling(-him) addressed the-swineherd
ἄρτον τ᾽ οὖλον ἑλὼν περικαλλέος ἐκ κανέοιο
a-loaf both whole taking very-fair from basket
καὶ κρέας, ὅσσ᾽ οἱ χεῖρες ἐχάνδανον ἀμφιβαλόντι·
and meat as-much-as his hands held putting-around
“Δὸς τῷ ξείνῳ ταῦτα φέρων αὐτόν τε κέλευε
Give to-the stranger these carrying him and bid
αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
to-beg very all going-up-to the-suitors
αἰδὼς δ᾽ οὐκ ἀγαθὴ κεχρημένῳ ἀνδρὶ παρεῖναι.”
shame and not good for-a-needy man to-be-present
Ὣς φάτο, βῆ δὲ συφορβός, ἐπεὶ τὸν μῦθον ἄκουσεν,
So he-spoke went and the-swineherd when the word he-heard
ἀγχοῦ δ᾽ ἱστάμενος ἔπεα πτερόεντ᾽ ἀγόρευε·
near and standing words winged spoke
“Τηλέμαχός τοι, ξεῖνε, διδοῖ τάδε, καί σε κελεύει
Telemachus to-you stranger gives these and you bids
αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
to-beg very all going-up-to the-suitors
αἰδῶ δ᾽ οὐκ ἀγαθήν φησ᾽ ἔμμεναι ἀνδρὶ προΐκτῃ.”
shame and not good he-says to-be for-a-man begging

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"Ζεῦ ἄνα, Τηλέμαχόν μοι ἐν ἀνδράσιν ὄλβιον εἶναι,
Zeus lord Telemachus for-me among men happy to-be
καί οἱ πάντα γένοιθ' ὅσσα φρεσὶν ᾗσι μενοινᾷ."
and for-him all may-be as-much-as in-mind his-own he-purposes
Ἦ ῥα καὶ ἀμφοτέρῃσιν ἐδέξατο καὶ κατέθηκεν
He-spoke then and with-both received and set(-it)-down
αὖθι ποδῶν προπάροιθεν, ἀεικελίης ἐπὶ πήρης,
there the-feet before unseemly on wallet
ἤσθιε δ' ἦος ἀοιδὸς ἐνὶ μεγάροισιν ἄειδεν·
he-ate and while the-minstrel in the-halls sang
εὖθ' ὁ δεδειπνήκειν, ὁ δ' ἐπαύετο θεῖος ἀοιδός·
when he had-dined he and ceased divine minstrel
μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρ'. αὐτὰρ Ἀθήνη,
the-suitors and clamored throughout the-hall but Athena
ἄγχι παρισταμένη Λαερτιάδην Ὀδυσῆα
near standing-by son-of-Laertes Odysseus
ὤτρυν', ὡς ἂν πύρνα κατὰ μνηστῆρας ἀγείροι,
urged that — crusts among the-suitors he-should-gather
γνοίη θ' οἵ τινές εἰσιν ἐναίσιμοι οἵ τ' ἀθέμιστοι·
should-learn and who any are righteous who and lawless
ἀλλ' οὐδ' ὣς τιν' ἔμελλ' ἀπαλεξήσειν κακότητος.
but not-even so any she-was-going to-ward-off from-ruin
βῆ δ' ἴμεν αἰτήσων ἐνδέξια φῶτα ἕκαστον,
went and to-go to-beg left-to-right man each
πάντοσε χεῖρ' ὀρέγων, ὡς εἰ πτωχὸς πάλαι εἴη.
everywhere hand stretching as if a-beggar long-since he-were

οἱ δ' ἐλεαίροντες δίδοσαν, καὶ ἐθάμβεον αὐτόν,
they and pitying gave and marveled-at him
ἀλλήλους τ' εἴροντο τίς εἴη καὶ πόθεν ἔλθοι.
each-other and asked who he-might-be and whence he-came
Τοῖσι δὲ καὶ μετέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
To-them and also spoke Melanthius goatherd of-goats
"Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
Hear me suitors of-the-glorious queen
τοῦδε περὶ ξείνου· ἦ γάρ μιν πρόσθεν ὄπωπα.
this about stranger truly for him before I-have-seen
ἦ τοι μέν οἱ δεῦρο συβώτης ἡγεμόνευεν,
truly indeed indeed him hither the-swineherd guided
αὐτὸν δ' οὐ σάφα οἶδα, πόθεν γένος εὔχεται εἶναι."
himself but not clearly I-know whence by-race he-claims to-be
Ὣς ἔφατ', Ἀντίνοος δ' ἔπεσιν νείκεσσε συβώτην·
So he-spoke Antinous and with-words rebuked the-swineherd
" Ὦ ἀρίγνωτε συβῶτα, τίη δὲ σὺ τόνδε πόλινδε
O notorious swineherd why and you this-one to-the-city
ἤγαγες; ἦ οὐχ ἅλις ἡμιν ἀλήμονές εἰσι καὶ ἄλλοι,
have-brought truly not enough for-us vagabonds are also others
πτωχοὶ ἀνιηροί, δαιτῶν ἀπολυμαντῆρες;
beggars troublesome of-feasts lickers-of-scraps
ἦ ὄνοσαι ὅτι τοι βίοτον κατέδουσιν ἄνακτος
or you-think-it-little that your livelihood devour of-the-lord
ἐνθάδ' ἀγειρόμενοι, σὺ δὲ καὶ προτὶ τόνδ' ἐκάλεσσας;"
here gathering you and also besides this-one have-invited
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Him and answering you-addressed Eumaeus swineherd
" Ἀντίνο', οὐ μὲν καλὰ καὶ ἐσθλὸς ἐὼν ἀγορεύεις·
Antinous not indeed fair-things even noble being you-speak

τίς γὰρ δὴ ξεῖνον καλεῖ ἄλλοθεν αὐτὸς ἐπελθὼν
who for indeed a-stranger invites from-elsewhere himself going
ἄλλον γ', εἰ μὴ τῶν οἳ δημιοεργοὶ ἔασι,
other indeed if not of-those who public-workers are
μάντιν ἢ ἰητῆρα κακῶν ἢ τέκτονα δούρων,
a-seer or a-healer of-ills or a-builder of-timbers
ἢ καὶ θέσπιν ἀοιδόν, ὅ κεν τέρπῃσιν ἀείδων;
or even divine minstrel who — delights singing
οὗτοι γὰρ κλητοί γε βροτῶν ἐπ' ἀπείρονα γαῖαν·
these for invited indeed of-mortals over boundless earth
πτωχὸν δ' οὐκ ἄν τις καλέοι τρύξοντα ἓ αὐτόν.
a-beggar but not — anyone would-invite to-wear-out him himself
ἀλλ' αἰεὶ χαλεπὸς περὶ πάντων εἶς μνηστήρων
but always harsh beyond all you-are of-the-suitors
δμωσὶν Ὀδυσσῆος, πέρι δ' αὖτ' ἐμοί· αὐτὰρ ἐγώ γε
to-the-servants of-Odysseus beyond and in-turn to-me but I indeed
οὐκ ἀλέγω, ἥός μοι ἐχέφρων Πηνελόπεια
not I-care while my prudent Penelope
ζώει ἐνὶ μεγάροις καὶ Τηλέμαχος θεοειδής."
lives in the-halls and Telemachus godlike

Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
"Σίγα, μή μοι τοῦτον ἀμείβεο πολλὰ ἔπεσσιν·
Be-silent not for-me him answer much with-words
Ἀντίνοος δ' εἴωθε κακῶς ἐρεθιζέμεν αἰεὶ
Antinous but is-wont evilly to-provoke always
μύθοισιν χαλεποῖσιν, ἐποτρύνει δὲ καὶ ἄλλους."
with-words harsh he-urges and also others

Ἦ ῥα καὶ Ἀντίνοον ἔπεα πτερόεντα προσηύδα·
He-spoke then and Antinous words winged addressed
"Ἀντίνο', ἦ μευ καλὰ πατὴρ ὣς κήδεαι υἷος,
Antinous truly my well a-father like you-care-for son
ὃς τὸν ξεῖνον ἄνωγας ἀπὸ μεγάροιο διέσθαι
who the stranger you-bid from the-hall to-drive
μύθῳ ἀναγκαίῳ· μὴ τοῦτο θεὸς τελέσειε.
with-word compelling may-not this a-god bring-to-pass
δός οἱ ἑλών· οὔ τοι φθονέω· κέλομαι γὰρ ἐγώ γε·
give him taking not you-know I-grudge I-bid for I indeed
μήτ' οὖν μητέρ' ἐμὴν ἄζευ τό γε μήτε τιν' ἄλλον
neither then mother my regard it indeed nor any other
δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
of-the-servants who throughout the-house of-Odysseus godlike
ἀλλ' οὔ τοι τοιοῦτον ἐνὶ στήθεσσι νόημα·
but not you-know such in breast thought
αὐτὸς γὰρ φαγέμεν πολὺ βούλεαι ἢ δόμεν ἄλλῳ."
yourself for to-eat much you-prefer than to-give to-another
Τὸν δ' αὖτ' Ἀντίνοος ἀπαμειβόμενος προσέειπε·
Him and in-turn Antinous answering addressed
"Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔειπες.
Telemachus high-talker in-spirit unchecked what have-you-said
εἴ οἱ τόσσον ἄπαντες ὀρέξειαν μνηστῆρες,
if to-him so-much all should-hand the-suitors
καί κέν μιν τρεῖς μῆνας ἀπόπροθεν οἶκος ἐρύκοι."
and — him three months far-off the-house would-keep
Ὣς ἄρ' ἔφη, καὶ θρῆνυν ἑλὼν ὑπέφηνε τραπέζης
So then he-spoke and a-footstool taking showed-from-under the-table
κείμενον, ᾧ ῥ' ἔπεχεν λιπαροὺς πόδας εἰλαπινάζων·
lying on-which then he-rested sleek feet feasting

οἱ δ' ἄλλοι πάντες δίδοσαν, πλῆσαν δ' ἄρα πήρην
the but others all gave filled and then the-wallet
σίτου καὶ κρειῶν· τάχα δὴ καὶ ἔμελλεν Ὀδυσσεὺς
with-bread and with-meats soon indeed also was-about Odysseus
αὖτις ἐπ' οὐδὸν ἰὼν προικὸς γεύσεσθαι Ἀχαιῶν·
back to the-threshold going of-the-gift to-taste of-the-Achaeans
στῆ δὲ παρ' Ἀντίνοον, καί μιν πρὸς μῦθον ἔειπε·
stood and beside Antinous and him to speech said

XVII.6 · ANTINOUS STRIKES ODYSSEUS

Odysseus asks Antinous for bread, telling a version of his Egyptian tale that ends in Cyprus. Antinous orders him away, and when Odysseus taunts his meanness, he hurls a footstool at his shoulder. Odysseus stands like a rock and calls on the beggars' gods and Furies to bring Antinous death before his marriage. Even the suitors warn that the stranger may be a god.

"Δός, φίλος· οὐ μέν μοι δοκέεις ὁ κάκιστος Ἀχαιῶν
Give friend not indeed to-me you-seem the basest of-the-Achaeans
ἔμμεναι, ἀλλ' ὥριστος, ἐπεὶ βασιλῆϊ ἔοικας.
to-be but the-best since a-king you-resemble
τῷ σε χρὴ δόμεναι καὶ λώϊον ἠέ περ ἄλλοι
therefore you must give even better than indeed others
σίτου· ἐγὼ δέ κέ σε κλείω κατ' ἀπείρονα γαῖαν.
of-bread I and — you would-celebrate over boundless earth
καὶ γὰρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον
and for I once a-house among men dwelt-in
ὄλβιος ἀφνειὸν καὶ πολλάκι δόσκον ἀλήτῃ,
prosperous wealthy and often used-to-give to-a-wanderer
τοίῳ ὁποῖος ἔοι καὶ ὅτευ κεχρημένος ἔλθοι·
such whatever he-was and whatever needing he-came

ἦσαν δὲ δμῶες μάλα μυρίοι ἄλλα τε πολλὰ
were and servants very countless other-things and many
οἷσίν τ᾽ εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται.
by-which — well men-live and wealthy are-called
ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων — ἤθελε γάρ που —
but Zeus wiped(-it)-out son-of-Cronus he-willed for surely
ὅς μ᾽ ἅμα ληϊστῆρσι πολυπλάγκτοισιν ἀνῆκεν
who me with pirates far-roving sent-forth
Αἴγυπτόνδ᾽ ἰέναι, δολιχὴν ὁδόν, ὄφρ᾽ ἀπολοίμην.
to-Egypt to-go a-long journey so-that I-might-perish
στῆσα δ᾽ ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιελίσσας.
I-moored and in Egypt river the-ships curved
ἔνθ᾽ ἦ τοι μὲν ἐγὼ κελόμην ἑρίηρας ἑταίρους
there truly indeed indeed I bade trusty comrades
αὐτοῦ πὰρ νήεσσι μένειν καὶ νῆας ἔρυσθαι,
there by the-ships to-stay and the-ships to-guard
ὀπτῆρας δὲ κατὰ σκοπιὰς ὤτρυνα νέεσθαι.
scouts and over the-lookouts I-urged to-go
οἱ δ᾽ ὕβρει εἴξαντες, ἐπισπόμενοι μένεϊ σφῷ,
they but to-insolence yielding following might their-own
αἶψα μάλ᾽ Αἰγυπτίων ἀνδρῶν περικαλλέας ἀγροὺς
quickly very of-Egyptian men very-fair fields
πόρθεον, ἐκ δὲ γυναῖκας ἄγον καὶ νήπια τέκνα,
ravaged out and women they-led and infant children
αὐτούς τ᾽ ἔκτεινον· τάχα δ᾽ ἐς πόλιν ἵκετ᾽ ἀϋτή.
themselves and they-killed quickly and to the-city came the-cry

οἱ δὲ βοῆς ἀΐοντες ἅμ' ἠοῖ φαινομένηφιν
they and the-shout hearing with dawn appearing
ἦλθον· πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε καὶ ἵππων
came was-filled and all the-plain with-foot-soldiers both and horses
χαλκοῦ τε στεροπῆς· ἐν δὲ Ζεὺς τερπικέραυνος
of-bronze and with-the-flash in and Zeus thunder-delighting
φύζαν ἐμοῖς ἑτάροισι κακὴν βάλεν, οὐδέ τις ἔτλη
panic my in-comrades evil cast nor any dared
στῆναι ἐναντίβιον· περὶ γὰρ κακὰ πάντοθεν ἔστη.
to-stand facing(-them) around for evils on-all-sides stood
ἔνθ' ἡμέων πολλοὺς μὲν ἀπέκτανον ὀξέϊ χαλκῷ,
there of-us many indeed they-killed with-sharp bronze
τοὺς δ' ἄναγον ζωούς, σφίσιν ἐργάζεσθαι ἀνάγκῃ.
others and they-led-up alive for-themselves to-work by-compulsion
αὐτὰρ ἔμ' ἐς Κύπρον ξείνῳ δόσαν ἀντιάσαντι,
but me to Cyprus to-a-stranger they-gave meeting(-them)
Δμήτορι Ἰασίδῃ, ὃς Κύπρου ἶφι ἄνασσεν·
to-Dmetor son-of-Iasus who of-Cyprus mightily ruled
ἔνθεν δὴ νῦν δεῦρο τόδ' ἵκω πήματα πάσχων."
thence indeed now hither thus I-have-come woes suffering
Τὸν δ' αὖτ' Ἀντίνοος ἀπαμείβετο φώνησέν τε·
Him and in-turn Antinous answered spoke and
"Τίς δαίμων τόδε πῆμα προσήγαγε, δαιτὸς ἀνίην;
What god this plague has-brought of-the-feast the-bane
στῆθ' οὕτως ἐς μέσσον, ἐμῆς ἀπάνευθε τραπέζης,
stand thus into the-middle my away-from table
μὴ τάχα πικρὴν Αἴγυπτον καὶ Κύπρον ἵκηαι·
lest soon a-bitter Egypt and Cyprus you-come-to
ὥς τις θαρσαλέος καὶ ἀναιδής ἐσσι προΐκτης.
how some bold and shameless you-are beggar

ἑξείης πάντεσσι παρίστασαι· οἱ δὲ διδοῦσι
in-a-row by-all you-stand they and give
μαψιδίως, ἐπεὶ οὔ τις ἐπίσχεσις οὐδ' ἐλεητὺς
recklessly since not any restraint nor pity
ἀλλοτρίων χαρίσασθαι, ἐπεὶ πάρα πολλὰ ἑκάστῳ."
of-another's to-give-freely since at-hand much to-each
Τὸν δ' ἀναχωρήσας προσέφη πολύμητις Ὀδυσσεύς·
Him and drawing-back addressed of-many-wiles Odysseus
" Ὤ πόποι, οὐκ ἄρα σοί γ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν·
Oh for-shame not then for-you indeed with form also wits were
οὐ σύ γ' ἂν ἐξ οἴκου σῷ ἐπιστάτῃ οὐδ' ἄλα δοίης,
not you indeed — from house your to-a-suppliant not-even salt would-give
ὃς νῦν ἀλλοτρίοισι παρήμενος οὔ τί μοι ἔτλης
who now at-another's sitting not at-all to-me did-you-bring-yourself
σίτου ἀποπροελὼν δόμεναι· τὰ δὲ πολλὰ πάρεστιν."
of-bread taking-away to-give these and much are-at-hand
Ὣς ἔφατ', Ἀντίνοος δ' ἐχολώσατο κηρόθι μᾶλλον,
So he-spoke Antinous and was-angered in-heart more
καί μιν ὑπόδρα ἰδὼν ἔπεα πτερόεντα προσηύδα·
and him from-under-brows looking words winged addressed
"Νῦν δή σ' οὐκέτι καλὰ διὲκ μεγάροιό γ' ὀΐω
Now indeed you no-longer well through the-hall indeed I-think
ἆψ ἀναχωρήσειν, ὅτε δὴ καὶ ὀνείδεα βάζεις."
back to-withdraw since indeed even insults you-utter
Ὣς ἄρ' ἔφη, καὶ θρῆνυν ἑλὼν βάλε δεξιὸν ὦμον,
So then he-spoke and the-footstool taking struck right shoulder
πρυμνότατον κατὰ νῶτον· ὁ δ' ἐστάθη ἠΰτε πέτρη
at-the-base down the-back he but stood like a-rock
ἔμπεδον, οὐδ' ἄρα μιν σφῆλεν βέλος Ἀντινόοιο,
firm nor then him made-reel the-missile of-Antinous

ἀλλ᾽ ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
but in-silence shook (his)-head evils deeply-plotting
ἂψ δ᾽ ὅ γ᾽ ἐπ᾽ οὐδὸν ἰὼν κατ᾽ ἄρ᾽ ἕζετο, κὰδ δ᾽ ἄρα πήρην
back and he indeed to the-threshold going down then sat down and then the-wallet
θῆκεν ἐϋπλείην, μετὰ δὲ μνηστῆρσιν ἔειπε·
set well-filled among and the-suitors spoke
"Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
Hear me suitors of-the-glorious queen
ὄφρ᾽ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
so-that I-may-say what me heart in breast bids
οὐ μὰν οὔτ᾽ ἄχος ἐστὶ μετὰ φρεσὶν οὔτε τι πένθος,
not surely either distress is in mind or any grief
ὁππότ᾽ ἀνὴρ περὶ οἷσι μαχειόμενος κτεάτεσσι
when a-man for his-own fighting possessions
βλήεται, ἢ περὶ βουσὶν ἢ ἀργεννῇς ὀΐεσσιν·
is-struck either for cattle or white sheep
αὐτὰρ ἔμ᾽ Ἀντίνοος βάλε γαστέρος εἵνεκα λυγρῆς,
but me Antinous struck belly for-the-sake-of wretched
οὐλομένης, ἢ πολλὰ κάκ᾽ ἀνθρώποισι δίδωσιν.
cursed which many evils to-men gives
ἀλλ᾽ εἴ που πτωχῶν γε θεοὶ καὶ Ἐρινύες εἰσίν,
but if somewhere of-beggars indeed gods and Erinyes there-are
Ἀντίνοον πρὸ γάμοιο τέλος θανάτοιο κιχείη."
Antinous before marriage the-end of-death may-overtake
Τὸν δ᾽ αὖτ᾽ Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
Him and in-turn Antinous addressed of-Eupeithes son
" Ἔσθι᾽ ἔκηλος, ξεῖνε, καθήμενος, ἢ ἄπιθ᾽ ἄλλῃ,
Eat at-ease stranger sitting or go-away elsewhere

μή σε νέοι διὰ δώματ' ἐρύσσωσ', οἷ' ἀγορεύεις,
lest you the-young through the-house drag for-what you-say
ἢ ποδὸς ἢ καὶ χειρός, ἀποδρύψωσι δὲ πάντα."
either by-foot or even by-hand strip and all
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ὑπερφιάλως νεμέσησαν·
So he-spoke they and then all exceedingly were-indignant
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
thus and one would-say of-the-youths overbearing
"Ἀντίνο', οὐ μὲν κάλ' ἔβαλες δύστηνον ἀλήτην,
Antinous not indeed well you-struck wretched wanderer
οὐλόμεν', εἰ δή πού τις ἐπουράνιος θεός ἐστιν.
doomed-man if indeed perhaps some heavenly god he-is
καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσι,
and — gods to-strangers like from-other-lands
παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι πόληας,
of-all-kinds becoming go-about cities
ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες."
of-men the-insolence both and lawfulness watching
Ὣς ἄρ' ἔφαν μνηστῆρες, ὁ δ' οὐκ ἐμπάζετο μύθων.
So then spoke the-suitors he but not heeded the-words
Τηλέμαχος δ' ἐν μὲν κραδίῃ μέγα πένθος ἄεξε
Telemachus and in indeed heart great grief nursed
βλημένου, οὐδ' ἄρα δάκρυ χαμαὶ βάλεν ἐκ βλεφάροιϊν,
for-the-one-struck nor then a-tear to-the-ground let-fall from eyelids
ἀλλ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
but in-silence shook (his)-head evils deeply-plotting

Penelope prays that Apollo may strike Antinous. Eumaeus tells her the stranger has charmed him like a minstrel and has news of Odysseus in Thesprotia, and she bids him bring the man; Telemachus sneezes, and she laughs at the omen. Odysseus, fearing the suitors, asks her to wait until sunset, and she agrees. Eumaeus returns to his swine as evening falls.

Τοῦ δ' ὡς οὖν ἤκουσε περίφρων Πηνελόπεια
Him and when then heard wise Penelope
βλημένου ἐν μεγάρῳ, μετ' ἄρα δμῳῇσιν ἔειπεν·
struck in the-hall among then the-maidservants spoke
"Αἴθ' οὕτως αὐτόν σε βάλοι κλυτότοξος Ἀπόλλων."
Would-that so yourself you may-strike famed-bowman Apollo
Τὴν δ' αὖτ' Εὐρυνόμη ταμίη πρὸς μῦθον ἔειπεν· 495
Her and in-turn Eurynome housekeeper to speech said
"Εἰ γὰρ ἐπ' ἀρῇσιν τέλος ἡμετέρῃσι γένοιτο·
If-only for on prayers fulfillment our would-come
οὐκ ἄν τις τούτων γε ἐΰθρονον Ἠὼ ἵκοιτο."
not — any of-these indeed fair-throned Dawn would-reach
Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Her and in-turn addressed wise Penelope
"Μαῖ', ἐχθροὶ μὲν πάντες, ἐπεὶ κακὰ μηχανόωνται·
Nurse hateful indeed all since evils they-devise
Ἀντίνοος δὲ μάλιστα μελαίνῃ κηρὶ ἔοικε. 500
Antinous but most black to-death is-like
ξεῖνός τις δύστηνος ἀλητεύει κατὰ δῶμα
a-stranger some wretched wanders through the-house
ἀνέρας αἰτίζων· ἀχρημοσύνη γὰρ ἀνώγει·
the-men begging want for compels

ἔνθ᾽ ἄλλοι μὲν πάντες ἐνέπλησάν τ᾽ ἔδοσάν τε,
then others indeed all filled(-his-wallet) both gave and
οὗτος δὲ θρήνυι πρυμνὸν βάλε δεξιὸν ὦμον.᾽᾽
he but with-a-footstool at-the-base struck right shoulder
Ἡ μὲν ἄρ᾽ ὣς ἀγόρευε μετὰ δμῳῇσι γυναιξίν,
She indeed then so spoke among serving women
ἡμένη ἐν θαλάμῳ· ὁ δ᾽ ἐδείπνεε δῖος Ὀδυσσεύς·
sitting in the-chamber he and was-dining noble Odysseus
ἡ δ᾽ ἐπὶ οἱ καλέσασα προσηύδα δῖον ὑφορβόν·
she and to herself calling addressed noble swineherd
᾽᾽ Ἔρχεο, δῖ᾽ Εὔμαιε, κιὼν τὸν ξεῖνον ἄνωχθι
Go noble Eumaeus going the stranger bid
ἐλθέμεν, ὄφρα τί μιν προσπτύξομαι ἠδ᾽ ἐρέωμαι
to-come so-that somewhat him I-may-greet and question
εἴ που Ὀδυσσῆος ταλασίφρονος ἠὲ πέπυσται
whether perhaps of-Odysseus steadfast either he-has-heard
ἢ ἴδεν ὀφθαλμοῖσι· πολυπλάγκτῳ γὰρ ἔοικε.᾽᾽
or seen(-him) with-eyes a-far-wanderer for he-is-like
Τὴν δ᾽ ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Her and answering you-addressed Eumaeus swineherd
᾽᾽Εἰ γάρ τοι, βασίλεια, σιωπήσειαν Ἀχαιοί·
If-only for you-know queen would-be-silent the-Achaeans
οἷ᾽ ὅ γε μυθεῖται, θέλγοιτό κέ τοι φίλον ἦτορ.
such-things he indeed tells would-be-charmed — your dear heart
τρεῖς γὰρ δή μιν νύκτας ἔχον, τρία δ᾽ ἤματ᾽ ἔρυξα
three for indeed him nights I-had three and days I-kept(-him)
ἐν κλισίῃ· πρῶτον γὰρ ἔμ᾽ ἵκετο νηὸς ἀποδράς·
in the-hut first for me he-came-to from-the-ship having-fled
ἀλλ᾽ οὔ πω κακότητα διήνυσεν ἣν ἀγορεύων.
but not yet the-misery he-finished his-own telling

ὡς δ' ὅτ' ἀοιδὸν ἀνὴρ ποτιδέρκεται, ὅς τε θεῶν ἐξ
as and when a-minstrel a-man gazes-at who — the-gods from
ἀείδει δεδαὼς ἔπε' ἱμερόεντα βροτοῖσι,
sings having-learned words lovely to-mortals
τοῦ δ' ἄμοτον μεμάασιν ἀκουέμεν, ὁππότ' ἀείδῃ·
him and unceasingly they-are-eager to-hear whenever he-sings
ὣς ἐμὲ κεῖνος ἔθελγε παρήμενος ἐν μεγάροισι.
so me he charmed sitting-beside(-me) in the-halls
φησὶ δ' Ὀδυσσῆος ξεῖνος πατρώϊος εἶναι,
he-says and of-Odysseus guest-friend ancestral to-be
Κρήτῃ ναιετάων, ὅθι Μίνωος γένος ἐστίν.
in-Crete dwelling where of-Minos the-race is
ἔνθεν δὴ νῦν δεῦρο τόδ' ἵκετο πήματα πάσχων,
thence indeed now hither thus he-has-come woes suffering
προπροκυλινδόμενος· στεῦται δ' Ὀδυσῆος ἀκοῦσαι,
rolling-on-and-on he-declares and of-Odysseus to-have-heard
ἀγχοῦ, Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμῳ,
near of-the-Thesprotian men in rich land
ζωοῦ· πολλὰ δ' ἄγει κειμήλια ὅνδε δόμονδε."
living many and he-brings treasures to-his-own home
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Him and in-turn addressed wise Penelope
" Ἔρχεο, δεῦρο κάλεσσον, ἵν' ἀντίον αὐτὸς ἐνίσπῃ.
Go hither call(-him) so-that face-to-face himself he-may-tell
οὗτοι δ' ἠὲ θύρῃσι καθήμενοι ἑψιάσθων
these and either at-the-doors sitting let-them-sport
ἢ αὐτοῦ κατὰ δώματ', ἐπεί σφισι θυμὸς ἐΰφρων.
or there through the-house since their heart merry
αὐτῶν μὲν γὰρ κτήματ' ἀκήρατα κεῖτ' ἐνὶ οἴκῳ,
their-own indeed for possessions untouched lie in the-house

σῖτος καὶ μέθυ ἡδύ· τὰ μὲν οἰκῆες ἔδουσιν,
bread and wine sweet these indeed the-household eat
οἱ δ' εἰς ἡμέτερον πωλεύμενοι ἤματα πάντα,
they and into our(-house) going-to-and-fro days all
βοῦς ἱερεύοντες καὶ ὄϊς καὶ πίονας αἶγας,
oxen sacrificing and sheep and fat goats
εἰλαπινάζουσιν πίνουσί τε αἴθοπα οἶνον,
feast drink and sparkling wine
μαψιδίως· τὰ δὲ πολλὰ κατάνεται. οὐ γὰρ ἔπ' ἀνήρ,
recklessly these-things and much are-wasted not for there-is a-man
οἷος Ὀδυσσεὺς ἔσκεν, ἀρὴν ἀπὸ οἴκου ἀμῦναι.
such-as Odysseus was ruin from the-house to-ward-off
εἰ δ' Ὀδυσεὺς ἔλθοι καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν,
if but Odysseus should-come and reach to native land
αἶψά κε σὺν ᾧ παιδὶ βίας ἀποτίσεται ἀνδρῶν."
quickly — with his-own son the-violence would-avenge of-men
Ὣς φάτο, Τηλέμαχος δὲ μέγ' ἔπταρεν, ἀμφὶ δὲ δῶμα
So she-spoke Telemachus and loudly sneezed around and the-house
σμερδαλέον κονάβησε· γέλασσε δὲ Πηνελόπεια,
terribly rang laughed and Penelope
αἶψα δ' ἄρ' Εὔμαιον ἔπεα πτερόεντα προσηύδα·
quickly and then Eumaeus words winged addressed
" Ἔρχεό μοι, τὸν ξεῖνον ἐναντίον ὧδε κάλεσσον.
Go for-me the stranger before-me thus call
οὐχ ὁράᾳς ὅ μοι υἱὸς ἐπέπταρε πᾶσιν ἔπεσσι;
not do-you-see that my son sneezed at-all the-words
τῷ κε καὶ οὐκ ἀτελὴς θάνατος μνηστῆρσι γένοιτο
therefore — also not unfulfilled death for-the-suitors would-be
πᾶσι μάλ', οὐδέ κέ τις θάνατον καὶ κῆρας ἀλύξει.
for-all very nor — any death and dooms will-escape

ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
another-thing and to-you I-will-tell you and in mind lay(-it) your
αἴ κ' αὐτὸν γνώω νημερτέα πάντ' ἐνέποντα,
if — him I-know true-things all telling
ἕσσω μιν χλαῖνάν τε χιτῶνά τε, εἵματα καλά."
I-will-clothe him cloak both tunic and clothes fair

Ὣς φάτο, βῆ δὲ συφορβός, ἐπεὶ τὸν μῦθον ἄκουσεν·
So she-spoke went and the-swineherd when the word he-heard
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
near and standing words winged addressed
"Ξεῖνε πάτερ, καλέει σε περίφρων Πηνελόπεια,
Stranger father calls you wise Penelope
μήτηρ Τηλεμάχοιο· μεταλλῆσαί τί ἑ θυμὸς
the-mother of-Telemachus to-ask somewhat her heart
ἀμφὶ πόσει κέλεται, καὶ κήδεά περ πεπαθυίῃ.
about husband bids even troubles though having-suffered
εἰ δέ κέ σε γνώῃ νημερτέα πάντ' ἐνέποντα,
if and — you she-knows true-things all telling
ἕσσει σε χλαῖνάν τε χιτῶνά τε, τῶν σὺ μάλιστα
she-will-clothe you cloak both tunic and of-which you most
χρῄΐζεις· σῖτον δὲ καὶ αἰτίζων κατὰ δῆμον
are-in-need bread and also begging through the-land
γαστέρα βοσκήσεις· δώσει δέ τοι ὅς κ' ἐθέλῃσι."
belly you-will-feed will-give and to-you who — wishes

Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Him and in-turn addressed much-enduring noble Odysseus
"Εὔμαι', αἶψά κ' ἐγὼ νημερτέα πάντ' ἐνέποιμι
Eumaeus quickly — I true-things all would-tell
κούρῃ Ἰκαρίοιο, περίφρονι Πηνελοπείῃ·
to-the-daughter of-Icarius wise Penelope

οἶδα γὰρ εὖ περὶ κείνου, ὁμὴν δ᾽ ἀνεδέγμεθ᾽ ὀϊζύν.
I-know for well about him the-same and we-have-borne misery
ἀλλὰ μνηστήρων χαλεπῶν ὑποδείδι᾽ ὅμιλον,
but of-suitors harsh I-fear the-throng
τῶν ὕβρις τε βίη τε σιδήρεον οὐρανὸν ἵκει.
whose insolence both violence and iron heaven reaches
καὶ γὰρ νῦν, ὅτε μ᾽ οὗτος ἀνὴρ κατὰ δῶμα κιόντα
and for now when me this man through the-house going
οὔ τι κακὸν ῥέξαντα βαλὼν ὀδύνῃσιν ἔδωκεν,
not any evil having-done striking to-pains gave
οὔτε τι Τηλέμαχος τό γ᾽ ἐπήρκεσεν οὔτε τις ἄλλος.
neither at-all Telemachus it indeed prevented nor any other
τῷ νῦν Πηνελόπειαν ἐνὶ μεγάροισιν ἄνωχθι
therefore now Penelope in the-halls bid
μεῖναι, ἐπειγομένην περ, ἐς ἠέλιον καταδύντα·
to-wait eager though till the-sun setting
καὶ τότε μ᾽ εἰρέσθω πόσιος πέρι νόστιμον ἦμαρ,
and then me let-her-ask the-husband about of-return the-day
ἀσσοτέρω καθίσασα παραὶ πυρί· εἵματα γάρ τοι
nearer seating(-me) by the-fire clothes for you-know
λύγρ᾽ ἔχω· οἶσθα καὶ αὐτός, ἐπεί σε πρῶθ᾽ ἱκέτευσα.”
wretched I-have you-know also yourself since you first I-supplicated
Ὣς φάτο, βῆ δὲ συφορβός, ἐπεὶ τὸν μῦθον ἄκουσε.
So he-spoke went and the-swineherd when the word he-heard
τὸν δ᾽ ὑπὲρ οὐδοῦ βάντα προσηύδα Πηνελόπεια·
him and over the-threshold having-gone addressed Penelope

"Οὐ σύ γ' ἄγεις, Εὔμαιε· τί τοῦτ' ἐνόησεν ἀλήτης;
Not you indeed bring(-him) Eumaeus what this has-thought the-wanderer
ἦ τινά που δείσας ἐξαίσιον ἦε καὶ ἄλλως
whether some surely fearing excessively or also otherwise
αἰδεῖται κατὰ δῶμα; κακὸς δ' αἰδοῖος ἀλήτης."
he-is-ashamed through the-house bad and a-shy wanderer
Τὴν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Her and answering you-addressed Eumaeus swineherd
"Μυθεῖται κατὰ μοῖραν, ἅ πέρ κ' οἴοιτο καὶ ἄλλος,
He-speaks according-to due which indeed — would-think also another
ὕβριν ἀλυσκάζων ἀνδρῶν ὑπερηνορεόντων.
the-insolence shunning of-men overbearing
ἀλλά σε μεῖναι ἄνωγεν ἐς ἠέλιον καταδύντα.
but you to-wait he-bids till the-sun setting
καὶ δὲ σοὶ ὧδ' αὐτῇ πολὺ κάλλιον, ὦ βασίλεια,
and also for-you thus yourself much better O queen
οἴην πρὸς ξεῖνον φάσθαι ἔπος ἠδ' ἐπακοῦσαι."
alone to the-stranger to-speak a-word and to-hear
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Him and in-turn addressed wise Penelope
"Οὐκ ἄφρων ὁ ξεῖνος· ὀΐεται, ὥς περ ἂν εἴη·
Not senseless the stranger thinks as indeed — it-would-be
οὐ γάρ πού τινες ὧδε καταθνητῶν ἀνθρώπων
not for surely any thus of-mortal men
ἀνέρες ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται."
men outraging reckless-things devise
Ἡ μὲν ἄρ' ὣς ἀγόρευεν, ὁ δ' ᾤχετο δῖος ὑφορβὸς
She indeed then so spoke he and went noble swineherd
μνηστήρων ἐς ὅμιλον, ἐπεὶ διεπέφραδε πάντα.
of-the-suitors into the-throng after he-had-told all

αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα,
quickly and Telemachus words winged addressed
ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι·
near holding (his)-head so-that not might-hear the others
"Ὦ φίλ', ἐγὼ μὲν ἄπειμι, σύας καὶ κεῖνα φυλάξων,
O friend I indeed go-away swine and those-things to-guard
σὸν καὶ ἐμὸν βίοτον· σοὶ δ' ἐνθάδε πάντα μελόντων.
your and my livelihood to-you and here all let-be-of-concern
595 αὐτὸν μέν σε πρῶτα σάω, καὶ φράζεο θυμῷ
yourself indeed you first keep-safe and take-heed in-heart
μή τι πάθῃς· πολλοὶ δὲ κακὰ φρονέουσιν Ἀχαιῶν,
lest at-all you-suffer many and evils plan of-the-Achaeans
τοὺς Ζεὺς ἐξολέσειε πρὶν ἡμῖν πῆμα γενέσθαι."
whom Zeus may-destroy before for-us woe to-come
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
"Ἔσσεται οὕτως, ἄττα· σὺ δ' ἔρχεο δειελιήσας·
It-shall-be so father you but go having-supped
600 ἠῶθεν δ' ἰέναι καὶ ἄγειν ἱερήϊα καλά·
at-dawn and come and bring victims fair
αὐτὰρ ἐμοὶ τάδε πάντα καὶ ἀθανάτοισι μελήσει."
but to-me these all and to-the-immortals will-be-a-care
Ὣς φάθ', ὁ δ' αὖτις ἄρ' ἕζετ' ἐϋξέστου ἐπὶ δίφρου,
So he-spoke he and back then sat well-polished on stool
πλησάμενος δ' ἄρα θυμὸν ἐδητύος ἠδὲ ποτῆτος
having-filled and then the-heart with-food and drink
βῆ ῥ' ἴμεναι μεθ' ὕας, λίπε δ' ἔρκεά τε μέγαρόν τε,
went then to-go after swine left and the-courts both the-hall and

πλεῖον δαιτυμόνων· οἱ δ' ὀρχηστυῖ καὶ ἀοιδῇ 605
full of-feasters they and in-dance and song
τέρποντ'· ἤδη γὰρ καὶ ἐπήλυθε δείελον ἦμαρ.
delighted already for also had-come-on the-evening day

BOOK XVIII

XVIII.1 · IRUS

Irus, the town's beggar, big but with no strength, tries to drive Odysseus from the doorway, and Antinous sets them to fight for a goat's paunch. The suitors swear not to help Irus, and Odysseus girds his rags, showing thighs and shoulders that Athena has enlarged. Irus trembles, and Antinous threatens to send him to King Echetus. Odysseus fells him with one blow under the ear and props him against the court wall.

ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος, ὃς κατὰ ἄστυ
Came and on(-them) a-beggar public who through the-town
πτωχεύεσκ' Ἰθάκης, μετὰ δ' ἔπρεπε γαστέρι μάργῃ
used-to-beg of-Ithaca among and he-was-known for-belly ravenous
ἀζηχὲς φαγέμεν καὶ πιέμεν· οὐδέ οἱ ἦν ἴς
ceaselessly to-eat and to-drink nor in-him was strength
οὐδὲ βίη, εἶδος δὲ μάλα μέγας ἦν ὁράασθαι.
nor force in-build but very big he-was to-look-on
Ἀρναῖος δ' ὄνομ' ἔσκε· τὸ γὰρ θέτο πότνια μήτηρ
Arnaeus and name was this for had-given queenly mother
ἐκ γενετῆς· ἦρον δὲ νέοι κίκλησκον ἅπαντες,
from birth Irus but the-young called(-him) all
οὕνεκ' ἀπαγγέλλεσκε κιών, ὅτε πού τις ἀνώγοι·
because he-ran-messages going when somewhere anyone bade
ὅς ῥ' ἐλθὼν Ὀδυσῆα διώκετο οἷο δόμοιο,
who then coming Odysseus was-chasing from-his-own house
καί μιν νεικείων ἔπεα πτερόεντα προσηύδα·
and him reviling words winged addressed

"Εἶκε, γέρον, προθύρου, μὴ δὴ τάχα καὶ ποδὸς ἕλκῃ.
Give-way old-man from-the-doorway lest indeed soon even by-the-foot you-be-dragged
οὐκ ἀΐεις ὅτι δή μοι ἐπιλλίζουσιν ἅπαντες,
not do-you-perceive that indeed to-me wink all
ἑλκέμεναι δὲ κέλονται; ἐγὼ δ' αἰσχύνομαι ἔμπης.
to-drag(-you) and bid I but am-ashamed all-the-same
ἀλλ' ἄνα, μὴ τάχα νῶϊν ἔρις καὶ χερσὶ γένηται."
but up lest soon between-us-two strife also with-hands arise
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Him and then from-under looking addressed of-many-wiles Odysseus
"Δαιμόνι', οὔτε τί σε ῥέζω κακὸν οὔτ' ἀγορεύω,
Strange-man neither at-all you do-I-harm evil nor speak(-ill)
οὔτε τινὰ φθονέω δόμεναι καὶ πόλλ' ἀνελόντα.
nor any do-I-grudge to-give even much taking
οὐδὸς δ' ἀμφοτέρους ὅδε χείσεται, οὐδέ τί σε χρὴ
the-threshold and both-of-us this will-hold nor at-all you it-befits
ἀλλοτρίων φθονέειν· δοκέεις δέ μοι εἶναι ἀλήτης
of-another's to-grudge you-seem and to-me to-be a-wanderer
ὥς περ ἐγών, ὄλβον δὲ θεοὶ μέλλουσιν ὀπάζειν.
as indeed I prosperity but the-gods are-about to-give
χερσὶ δὲ μή τι λίην προκαλίζεο, μή με χολώσῃς,
with-fists but not at-all too-much challenge(-me) lest me you-anger
μή σε γέρων περ ἐὼν στῆθος καὶ χείλεα φύρσω
lest you old-man though being breast and lips I-befoul
αἵματος· ἡσυχίη δ' ἂν ἐμοὶ καὶ μᾶλλον ἔτ' εἴη
with-blood quiet and — for-me even more still would-be
αὔριον· οὐ μὲν γάρ τί σ' ὑποστρέψεσθαι ὀΐω
tomorrow not indeed for at-all you to-return I-think
δεύτερον ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος."
a-second-time into the-hall of-the-son-of-Laertes Odysseus

Τὸν δὲ χολωσάμενος προσεφώνεεν Ἶρος ἀλήτης·
Him and angered addressed Irus the-vagabond
“ Ὦ πόποι, ὡς ὁ μολοβρὸς ἐπιτροχάδην ἀγορεύει,
Oh for-shame how the glutton glibly talks
γρηῒ καμινοῖ ἶσος· ὃν ἂν κακὰ μητισαίμην
to-an-old-woman of-the-oven like whom — evils I-would-devise
κόπτων ἀμφοτέρῃσι, χαμαὶ δέ κε πάντας ὀδόντας
striking with-both on-the-ground and — all the-teeth
γναθμῶν ἐξελάσαιμι συὸς ὡς ληϊβοτείρης.
from-the-jaws I-would-knock-out of-a-sow like crop-ravaging
ζῶσαι νῦν, ἵνα πάντες ἐπιγνώωσι καὶ οἵδε
gird-up now so-that all may-see also these
μαρναμένους· πῶς δ’ ἂν σὺ νεωτέρῳ ἀνδρὶ μάχοιο;”
fighting how but — you with-a-younger man would-fight
Ὣς οἱ μὲν προπάροιθε θυράων ὑψηλάων
So they indeed in-front-of the-doors lofty
οὐδοῦ ἔπι ξεστοῦ πανθυμαδὸν ὀκριόωντο.
threshold on polished with-all-their-heart were-wrangling
τοῖϊν δὲ ξυνέηχ’ ἱερὸν μένος Ἀντινόοιο,
the-two and heard the-sacred might of-Antinous
ἡδὺ δ’ ἄρ’ ἐκγελάσας μετεφώνει μνηστήρεσσιν·
sweetly and then laughing-out spoke-among the-suitors
“ Ὦ φίλοι, οὐ μέν πώ τι πάρος τοιοῦτον ἐτύχθη,
O friends not indeed ever at-all before such has-happened
οἵην τερπωλὴν θεὸς ἤγαγεν ἐς τόδε δῶμα.
such sport a-god has-brought to this house
ὁ ξεῖνός τε καὶ Ἶρος ἐρίζετον ἀλλήλοιϊν
the stranger both and Irus are-quarreling with-each-other
χερσὶ μαχέσσασθαι· ἀλλὰ ξυνελάσσομεν ὦκα.”
with-fists to-fight but let-us-drive-them-together quickly

Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀνήϊξαν γελόωντες,
So he-spoke they and then all sprang-up laughing
ἀμφὶ δ' ἄρα πτωχοὺς κακοείμονας ἠγερέθοντο.
around and then the-beggars ill-clad gathered
τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
to-them and Antinous spoke-among of-Eupeithes son
"Κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, ὄφρα τι εἴπω.
Hear me suitors proud that something I-may-say
γαστέρες αἴδ' αἰγῶν κέατ' ἐν πυρί, τὰς ἐπὶ δόρπῳ
paunches these of-goats lie on the-fire which for supper
κατθέμεθα κνίσης τε καὶ αἵματος ἐμπλήσαντες·
we-have-laid with-fat both and blood filling(-them)
ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται,
whichever and — wins stronger and proves
τάων ἥν κ' ἐθέλῃσιν ἀναστὰς αὐτὸς ἑλέσθω·
of-them which — he-wishes rising himself let-him-take
αἰεὶ δ' αὖθ' ἡμῖν μεταδαίσεται, οὐδέ τιν' ἄλλον
always and in-turn with-us will-feast nor any other
πτωχὸν ἔσω μίσγεσθαι ἐάσομεν αἰτήσοντα."
beggar inside to-mingle will-we-allow begging
Ὣς ἔφατ' Ἀντίνοος, τοῖσιν δ' ἐπιήνδανε μῦθος.
So he-spoke Antinous to-them and was-pleasing the-word
τοῖς δὲ δολοφρονέων μετέφη πολύμητις Ὀδυσσεύς·
to-them and with-crafty-mind spoke-among of-many-wiles Odysseus
"Ὦ φίλοι, οὔ πως ἔστι νεωτέρῳ ἀνδρὶ μάχεσθαι
O friends not in-any-way it-is-possible with-a-younger man to-fight
ἄνδρα γέροντα, δύῃ ἀρημένον· ἀλλά με γαστὴρ
a-man old by-misery worn but me the-belly
ὀτρύνει κακοεργός, ἵνα πληγῇσι δαμείω.
urges mischief-working so-that by-blows I-may-be-overcome

ἀλλ᾽ ἄγε νῦν μοι πάντες ὀμόσσατε καρτερὸν ὅρκον,
but come now to-me all swear a-mighty oath
μή τις ἐπ᾽ Ἴρῳ ἦρα φέρων ἐμὲ χειρὶ βαρείῃ
that-not any for Irus favor bringing me with-hand heavy
πλήξῃ ἀτασθάλλων, τούτῳ δέ με ἶφι δαμάσσῃ.᾽᾽
strike acting-recklessly to-this-one and me by-force subdue
Ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἀπώμνυον ὡς ἐκέλευεν.
So he-spoke they and then all swore-not-to as he-bade
αὐτὰρ ἐπεί ῥ᾽ ὄμοσάν τε τελεύτησάν τε τὸν ὅρκον,
but when then they-swore both completed and the oath
τοῖς δ᾽ αὖτις μετέειφ᾽ ἱερὴ ἶς Τηλεμάχοιο·
to-them and in-turn spoke-among the-sacred might of-Telemachus
᾽᾽Ξεῖν᾽, εἴ σ᾽ ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ
Stranger if you urges heart and spirit proud
τοῦτον ἀλέξασθαι, τῶν δ᾽ ἄλλων μή τιν᾽ Ἀχαιῶν
this-one to-ward-off of-the and others not any of-the-Achaeans
δείδιθ᾽, ἐπεὶ πλεόνεσσι μαχήσεται ὅς κέ σε θείνῃ·
fear since with-more he-will-fight who — you strikes
ξεινοδόκος μὲν ἐγών, ἐπὶ δ᾽ αἰνεῖτον βασιλῆες,
host indeed I besides and the-two-approve the-princes
Ἀντίνοός τε καὶ Εὐρύμαχος, πεπνυμένω ἄμφω.᾽᾽
Antinous both and Eurymachus prudent both

Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπήνεον· αὐτὰρ Ὀδυσσεὺς
So he-spoke they and then all approved but Odysseus
ζώσατο μὲν ῥάκεσιν περὶ μήδεα, φαῖνε δὲ μηροὺς
girded indeed with-rags around loins showed and thighs
καλούς τε μεγάλους τε, φάνεν δέ οἱ εὐρέες ὦμοι
fair both great and appeared and his broad shoulders
στήθεά τε στιβαροί τε βραχίονες· αὐτὰρ Ἀθήνη
breast both sturdy and arms but Athena
ἄγχι παρισταμένη μέλε' ἤλδανε ποιμένι λαῶν.
near standing-by limbs made-greater to-the-shepherd of-the-people
μνηστῆρες δ' ἄρα πάντες ὑπερφιάλως ἀγάσαντο·
the-suitors and then all exceedingly were-amazed
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
thus and one would-say looking at near another
"Ἦ τάχα Ἶρος Ἄϊρος ἐπίσπαστον κακὸν ἕξει,
Truly soon Irus Un-Irus self-drawn evil will-have
οἵην ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει."
such from rags the old-man thigh shows
Ὣς ἄρ' ἔφαν, Ἴρῳ δὲ κακῶς ὠρίνετο θυμός.
So then they-spoke for-Irus and evilly was-stirred the-heart
ἀλλὰ καὶ ὣς δρηστῆρες ἄγον ζώσαντες ἀνάγκῃ
but even so the-servants led(-him) having-girded(-him) by-force
δειδιότα· σάρκες δὲ περιτρομέοντο μέλεσσιν.
afraid flesh and quivered on-limbs
Ἀντίνοος δ' ἐνένιπεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
Antinous and rebuked word and spoke out and named(-him)
"Νῦν μὲν μήτ' εἴης, βουγάϊε, μήτε γένοιο,
Now indeed neither may-you-be you-braggart nor may-you-have-been-born
εἰ δὴ τοῦτόν γε τρομέεις καὶ δείδιας αἰνῶς,
if indeed this-one indeed you-tremble-at and fear dreadfully

ἄνδρα γέροντα, δύῃ ἀρημένον, ἥ μιν ἱκάνει.
a-man old by-misery worn which him comes-to
ἀλλ᾽ ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
but out to-you I-will-say this and also accomplished will-be
αἴ κέν σ᾽ οὗτος νικήσῃ κρείσσων τε γένηται,
if — you this-one wins stronger and proves
πέμψω σ᾽ ἤπειρόνδε, βαλὼν ἐν νηὶ μελαίνῃ,
I-will-send you to-the-mainland throwing(-you) in ship black
εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων, 85
to Echetus the-king of-mortals the-maimer of-all
ὅς κ᾽ ἀπὸ ῥῖνα τάμῃσι καὶ οὔατα νηλέϊ χαλκῷ,
who — off nose would-cut and ears with-pitiless bronze
μήδεά τ᾽ ἐξερύσας δώῃ κυσὶν ὠμὰ δάσασθαι.”
genitals and tearing-out would-give to-dogs raw to-rend
Ὣς φάτο, τῷ δ᾽ ἔτι μᾶλλον ὑπὸ τρόμος ἔλλαβε γυῖα.
So he-spoke in-him and still more beneath trembling seized limbs
ἐς μέσσον δ᾽ ἄναγον· τὼ δ᾽ ἄμφω χεῖρας ἀνέσχον.
into the-middle and they-led(-him) they-two and both hands raised
δὴ τότε μερμήριξε πολύτλας δῖος Ὀδυσσεὺς 90
indeed then pondered much-enduring noble Odysseus
ἦ ἐλάσει᾽ ὡς μιν ψυχὴ λίποι αὖθι πεσόντα,
whether he-should-strike so-that him life should-leave there fallen
ἦέ μιν ἦκ᾽ ἐλάσειε τανύσσειέν τ᾽ ἐπὶ γαίῃ.
or him gently strike stretch-out and on the-earth
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
thus and to-him thinking seemed more-profitable to-be
ἦκ᾽ ἐλάσαι, ἵνα μή μιν ἐπιφρασσαίατ᾽ Ἀχαιοί.
gently to-strike so-that not him should-take-note the-Achaeans

δὴ τότ᾽ ἀνασχομένω ὁ μὲν ἤλασε δεξιὸν ὦμον
indeed then the-two-raised(-fists) he indeed struck right shoulder
Ἶρος, ὁ δ᾽ αὐχέν᾽ ἔλασσεν ὑπ᾽ οὔατος, ὀστέα δ᾽ εἴσω
Irus he but the-neck struck under the-ear the-bones and inside
ἔθλασεν· αὐτίκα δ᾽ ἦλθε κατὰ στόμα φοίνιον αἷμα,
crushed at-once and came down mouth red blood
κὰδ δ᾽ ἔπεσ᾽ ἐν κονίῃσι μακών, σὺν δ᾽ ἤλασ᾽ ὀδόντας
down and he-fell in the-dust bellowing together and he-gnashed teeth
λακτίζων ποσὶ γαῖαν· ἀτὰρ μνηστῆρες ἀγαυοὶ
kicking with-feet the-earth but the-suitors lordly
χεῖρας ἀνασχόμενοι γέλῳ ἔκθανον. αὐτὰρ Ὀδυσσεὺς
hands raising with-laughter died but Odysseus
ἕλκε διὲκ προθύροιο λαβὼν ποδός, ὄφρ᾽ ἵκετ᾽ αὐλήν,
dragged through the-doorway taking(-him) by-the-foot until he-reached the-court
αἰθούσης τε θύρας· καί μιν ποτὶ ἕρκίον αὐλῆς
of-the-portico and the-doors and him against the-wall of-the-court
εἶσεν ἀνακλίνας· σκῆπτρον δέ οἱ ἔμβαλε χειρί,
he-set propping-up a-staff and his put in-hand
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
“ Ἐνταυθοῖ νῦν ἧσο σύας τε κύνας τ᾽ ἀπερύκων,
Here now sit swine both dogs and keeping-off
μηδὲ σύ γε ξείνων καὶ πτωχῶν κοίρανος εἶναι
nor you indeed of-strangers and beggars lord to-be
λυγρὸς ἐών, μή πού τι κακὸν καὶ μεῖζον ἐπαύρῃ.”
wretched being lest somehow some evil even greater you-get
Ἦ ῥα καὶ ἀμφ᾽ ὤμοισιν ἀεικέα βάλλετο πήρην,
He-spoke then and around shoulders unseemly threw a-wallet
πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ.
thickly ragged in and a-cord was for-a-strap

ἂψ δ' ὅ γ' ἐπ' οὐδὸν ἰὼν κατ' ἄρ' ἕζετο· τοὶ δ' ἴσαν εἴσω
back and he indeed to the-threshold going down then sat they and went inside
ἡδὺ γελώοντες καὶ δεικανόωντ' ἐπέεσσι·
sweetly laughing and greeted(-him) with-words
"Ζεύς τοι δοίη, ξεῖνε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
Zeus to-you may-give stranger and immortal gods other
ὅττι μάλιστ' ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῷ,
whatever most you-wish and to-you dear is in-heart
ὃς τοῦτον τὸν ἄναλτον ἀλητεύειν ἀπέπαυσας
who this the insatiable to-beg have-stopped
ἐν δήμῳ· τάχα γάρ μιν ἀνάξομεν ἤπειρόνδε
in the-land soon for him we-will-take to-the-mainland
εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων."
to Echetus the-king of-mortals the-maimer of-all

XVIII.2 · THE WARNING TO AMPHINOMUS

Odysseus rejoices at the suitors' words, Antinous sets the paunch before him, and Amphinomus gives him bread and pledges him with a golden cup. Odysseus tells him that nothing the earth nurtures is feebler than man, who thinks no evil will come while the gods favor him, and warns him to go home before the master returns, since it will not end without blood. Amphinomus goes away troubled, but Athena has bound him to die by Telemachus' spear.

Ὣς ἄρ' ἔφαν, χαῖρεν δὲ κλεηδόνι δῖος Ὀδυσσεύς.
So then they-spoke rejoiced and at-the-omen noble Odysseus
Ἀντίνοος δ' ἄρα οἱ μεγάλην παρὰ γαστέρα θῆκεν,
Antinous and then before-him a-great beside paunch set

ἐμπλείην κνίσης τε καὶ αἵματος· Ἀμφίνομος δὲ
filled with-fat both and blood Amphinomus and
ἄρτους ἐκ κανέοιο δύω παρέθηκεν ἀείρας
loaves from the-basket two set-beside lifting(-them)
καὶ δέπαϊ χρυσέῳ δειδίσκετο, φώνησέν τε·
and with-a-cup golden pledged(-him) spoke and
"Χαῖρε, πάτερ ὦ ξεῖνε, γένοιτό τοι ἔς περ ὀπίσσω
Hail father O stranger may-be to-you in indeed hereafter
ὄλβος· ἀτὰρ μὲν νῦν γε κακοῖς ἔχεαι πολέεσσι."
happiness but indeed now indeed by-evils you-are-held many
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"Ἀμφίνομ', ἦ μάλα μοι δοκέεις πεπνυμένος εἶναι·
Amphinomus truly very to-me you-seem prudent to-be
τοίου γὰρ καὶ πατρός, ἐπεὶ κλέος ἐσθλὸν ἄκουον,
of-such for also a-father since report good I-heard
Νῖσον Δουλιχιῆα ἐΰν τ' ἔμεν ἀφνειόν τε·
Nisus of-Dulichium good both to-be wealthy and
τοῦ σ' ἔκ φασι γενέσθαι, ἐπητῇ δ' ἀνδρὶ ἔοικας.
of-him you from they-say to-be-born a-sensible and man you-resemble
τοὔνεκά τοι ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον·
therefore to-you I-will-speak you and lay(-it)-up and me hear
οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο,
nothing feebler the-earth nurtures than-man
πάντων ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
of-all as-many-as — the-earth on breathe both and creep
οὐ μὲν γάρ ποτέ φησι κακὸν πείσεσθαι ὀπίσσω,
not indeed for ever he-says evil to-suffer hereafter
ὄφρ' ἀρετὴν παρέχωσι θεοὶ καὶ γούνατ' ὀρώρῃ·
while prosperity grant the-gods and the-knees are-quick

ἀλλ᾽ ὅτε δὴ καὶ λυγρὰ θεοὶ μάκαρες τελέσωσι,
but when indeed also sad-things the-gods blessed bring-to-pass
καὶ τὰ φέρει ἀεκαζόμενος τετληότι θυμῷ·
also these he-bears unwillingly with-enduring heart
τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων
such for the-mind is of-earthly men
οἷον ἐπ᾽ ἦμαρ ἄγησι πατὴρ ἀνδρῶν τε θεῶν τε.
as on the-day brings the-father of-men both of-gods and
καὶ γὰρ ἐγώ ποτ᾽ ἔμελλον ἐν ἀνδράσιν ὄλβιος εἶναι,
and for I once was-likely among men prosperous to-be
πολλὰ δ᾽ ἀτάσθαλ᾽ ἔρεξα βίῃ καὶ κάρτεϊ εἴκων,
many and reckless-things I-did to-violence and to-might yielding
πατρί τ᾽ ἐμῷ πίσυνος καὶ ἐμοῖσι κασιγνήτοισι.
in-father both my trusting and my brothers
τῷ μή τίς ποτε πάμπαν ἀνὴρ ἀθεμίστιος εἴη,
therefore not any ever at-all man lawless should-be
ἀλλ᾽ ὅ γε σιγῇ δῶρα θεῶν ἔχοι, ὅττι διδοῖεν.
but he indeed in-silence the-gifts of-the-gods should-keep whatever they-give
οἵ᾽ ὁρόω μνηστῆρας ἀτάσθαλα μηχανόωντας,
such-things-as I-see the-suitors reckless-things devising
κτήματα κείροντας καὶ ἀτιμάζοντας ἄκοιτιν
the-possessions wasting and dishonoring the-wife
ἀνδρός, ὃν οὐκέτι φημὶ φίλων καὶ πατρίδος αἴης
of-a-man who no-longer I-say from-friends and native land
δηρὸν ἀπέσσεσθαι· μάλα δὲ σχεδόν. ἀλλά σε δαίμων
long will-be-away very but near but you a-god
οἴκαδ᾽ ὑπεξαγάγοι, μηδ᾽ ἀντιάσειας ἐκείνῳ,
home may-lead-away nor may-you-meet him
ὁππότε νοστήσειε φίλην ἐς πατρίδα γαῖαν·
when he-returns dear to native land

οὐ γὰρ ἀναιμωτί γε διακρινέεσθαι ὀΐω
not for bloodlessly indeed to-be-settled I-think
μνηστῆρας καὶ κεῖνον, ἐπεί κε μέλαθρον ὑπέλθῃ."
the-suitors and he when — the-roof he-comes-under
Ὣς φάτο, καὶ σπείσας ἔπιεν μελιηδέα οἶνον,
So he-spoke and having-poured-libation drank honey-sweet wine
ἂψ δ' ἐν χερσὶν ἔθηκε δέπας κοσμήτορι λαῶν.
back and into hands put the-cup to-the-marshal of-the-people
αὐτὰρ ὁ βῆ διὰ δῶμα φίλον τετιημένος ἦτορ,
but he went through the-house dear grieved heart
νευστάζων κεφαλῇ· δὴ γὰρ κακὸν ὄσσετο θυμός.
nodding with-the-head indeed for evil boded the-heart
ἀλλ' οὐδ' ὣς φύγε κῆρα· πέδησε δὲ καὶ τὸν Ἀθήνη
but not-even so did-he-escape doom bound and also him Athena
Τηλεμάχου ὑπὸ χερσὶ καὶ ἔγχεϊ ἶφι δαμῆναι.
of-Telemachus beneath hands and spear by-force to-be-slain
ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου ἔνθεν ἀνέστη.
back and again down then sat on the-chair from-which he-had-risen

XVIII.3 · PENELOPE BEFORE THE SUITORS

Athena makes Penelope lovelier as she sleeps, and she comes down to the suitors, whose knees are loosed with desire. She rebukes Telemachus for letting a stranger be mistreated, and he wishes the suitors were as beaten as Irus.

Τῇ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη,
Her and then in mind put the-goddess flashing-eyed Athena
κούρῃ Ἰκαρίοιο, περίφρονι Πηνελοπείῃ,
to-the-daughter of-Icarius wise Penelope

μνηστήρεσσι φανῆναι, ὅπως πετάσειε μάλιστα
to-the-suitors to-appear that she-might-flutter most
θυμὸν μνηστήρων ἰδὲ τιμήεσσα γένοιτο
the-heart of-the-suitors and honored might-become
μᾶλλον πρὸς πόσιός τε καὶ υἱέος ἢ πάρος ἦεν.
more with husband both and son than before she-was
ἀχρεῖον δ' ἐγέλασσεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
idly and she-laughed word and spoke out and named(-her)
"Εὐρυνόμη, θυμός μοι ἐέλδεται, οὔ τι πάρος γε,
Eurynome the-heart my longs not at-all before indeed
μνηστήρεσσι φανῆναι, ἀπεχθομένοισί περ ἔμπης·
to-the-suitors to-appear hated though all-the-same
παιδὶ δέ κεν εἴποιμι ἔπος, τό κε κέρδιον εἴη,
to-son and — I-would-speak a-word which — more-profitable would-be
μὴ πάντα μνηστῆρσιν ὑπερφιάλοισιν ὁμιλεῖν,
not always with-the-suitors overbearing to-consort
οἵ τ' εὖ μὲν βάζουσι, κακῶς δ' ὄπιθεν φρονέουσι."
who — well indeed speak evilly but behind think
Τὴν δ' αὖτ' Εὐρυνόμη ταμίη πρὸς μῦθον ἔειπεν·
Her and in-turn Eurynome housekeeper to speech said
"Ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες.
Yes indeed these-things indeed all child according-to due you-have-spoken
ἀλλ' ἴθι καὶ σῷ παιδὶ ἔπος φάο μηδ' ἐπίκευθε,
but go and to-your son word speak nor conceal(-it)
χρῶτ' ἀπονιψαμένη καὶ ἐπιχρίσασα παρειάς·
skin having-washed and having-anointed cheeks
μηδ' οὕτω δακρύοισι πεφυρμένη ἀμφὶ πρόσωπα
nor thus with-tears stained about face
ἔρχευ, ἐπεὶ κάκιον πενθήμεναι ἄκριτον αἰεί.
go since worse to-grieve unceasing always

ἤδη μὲν γάρ τοι παῖς τηλίκος, ὃν σὺ μάλιστα
already indeed for you-know son of-such-age whom you most
ἠρῶ ἀθανάτοισι γενειήσαντα ἰδέσθαι."
prayed to-the-immortals having-grown-a-beard to-see
Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Her and in-turn addressed wise Penelope
"Εὐρυνόμη, μὴ ταῦτα παραύδα, κηδομένη περ,
Eurynome not these-things urge caring though
χρῶτ' ἀπονίπτεσθαι καὶ ἐπιχρίεσθαι ἀλοιφῇ·
skin to-wash and to-anoint with-ointment
ἀγλαΐην γὰρ ἐμοί γε θεοί, τοὶ Ὄλυμπον ἔχουσιν,
the-beauty for my indeed the-gods who Olympus hold
ὤλεσαν, ἐξ οὗ κεῖνος ἔβη κοίλῃς ἐνὶ νηυσίν.
destroyed from when he went hollow in ships
ἀλλά μοι Αὐτονόην τε καὶ Ἱπποδάμειαν ἄνωχθι
but to-me Autonoe both and Hippodamia bid
ἐλθέμεν, ὄφρα κέ μοι παρστήετον ἐν μεγάροισιν·
to-come so-that — by-me they-may-stand in the-halls
οἴη δ' οὐκ εἴσειμι μετ' ἀνέρας· αἰδέομαι γάρ."
alone but not I-shall-go among men I-am-ashamed for
Ὣς ἄρ' ἔφη, γρηῢς δὲ διὲκ μεγάροιο βεβήκει
So then she-spoke the-old-woman and through the-hall went
ἀγγελέουσα γυναιξὶ καὶ ὀτρυνέουσα νέεσθαι.
to-tell the-women and to-urge to-come
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη·
Then in-turn another-thing thought the-goddess flashing-eyed Athena
κούρῃ Ἰκαρίοιο κατὰ γλυκὺν ὕπνον ἔχευεν,
on-the-daughter of-Icarius down sweet sleep poured

εὗδε δ' ἀνακλινθεῖσα, λύθεν δέ οἱ ἄψεα πάντα
she-slept and reclining were-loosed and her joints all
αὐτοῦ ἐνὶ κλιντῆρι· τέως δ' ἄρα δῖα θεάων
there on the-couch meanwhile and then bright of-goddesses
ἄμβροτα δῶρα δίδου, ἵνα μιν θησαίατ' Ἀχαιοί.
immortal gifts gave so-that her might-marvel-at the-Achaeans
κάλλεϊ μέν οἱ πρῶτα προσώπατα καλὰ κάθηρεν
with-beauty indeed her first face fair cleansed
ἀμβροσίῳ, οἵῳ περ ἐϋστέφανος Κυθέρεια
ambrosial such-as indeed fair-crowned Cytherea
χρίεται, εὖτ' ἂν ἴῃ Χαρίτων χορὸν ἱμερόεντα·
anoints when — she-goes of-the-Graces to-the-dance lovely
καί μιν μακροτέρην καὶ πάσσονα θῆκεν ἰδέσθαι,
and her taller and stouter made to-see
λευκοτέρην δ' ἄρα μιν θῆκε πριστοῦ ἐλέφαντος.
whiter and then her made than-sawn ivory
ἡ μὲν ἄρ' ὣς ἔρξασ' ἀπεβήσετο δῖα θεάων,
she indeed then so having-done departed bright of-goddesses
ἦλθον δ' ἀμφίπολοι λευκώλενοι ἐκ μεγάροιο
came and the-handmaids white-armed from the-hall
φθόγγῳ ἐπερχόμεναι· τὴν δὲ γλυκὺς ὕπνος ἀνῆκε,
with-voice approaching her and sweet sleep released
καί ῥ' ἀπομόρξατο χερσὶ παρειὰς φώνησέν τε·
and then she-wiped with-hands cheeks spoke and
"Ἦ μέ μάλ' αἰνοπαθῆ μαλακὸν περὶ κῶμ' ἐκάλυψεν.
Truly me very sorely-afflicted soft round slumber has-covered
αἴθε μοι ὣς μαλακὸν θάνατον πόροι Ἄρτεμις ἁγνὴ
would-that to-me so soft death may-give Artemis pure
αὐτίκα νῦν, ἵνα μηκέτ' ὀδυρομένη κατὰ θυμὸν
at-once now so-that no-longer lamenting in heart

αἰῶνα φθινύθω, πόσιος ποθέουσα φίλοιο
(my)-life I-waste of-husband longing dear
παντοίην ἀρετήν, ἐπεὶ ἔξοχος ἦεν Ἀχαιῶν."
every-kind-of excellence since preeminent he-was of-the-Achaeans
Ὣς φαμένη κατέβαιν' ὑπερῴϊα σιγαλόεντα,
So speaking she-went-down from-the-upper-room shining
οὐκ οἴη· ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ' ἕποντο.
not alone with her indeed also handmaids two followed
ἡ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
she and when indeed the-suitors reached bright among-women
στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
stood then by the-pillar of-the-roof stoutly built
ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα·
before cheeks holding glistening veils
ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη.
a-handmaid and then her trusty on-either-side stood-by
τῶν δ' αὐτοῦ λύτο γούνατ', ἔρῳ δ' ἄρα θυμὸν ἔθελχθεν,
of-them and there were-loosed the-knees with-desire and then in-heart they-were-charmed
πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι.
all and prayed beside (her)-in-bed to-lie
ἡ δ' αὖ Τηλέμαχον προσεφώνεεν, ὃν φίλον υἱόν·
she and in-turn Telemachus addressed her-own dear son
"Τηλέμαχ', οὐκέτι τοι φρένες ἔμπεδοι οὐδὲ νόημα·
Telemachus no-longer your wits steady nor thought
παῖς ἔτ' ἐὼν καὶ μᾶλλον ἐνὶ φρεσὶ κέρδε' ἐνώμας·
a-child still being even more in mind cunning-things you-turned-over
νῦν δ', ὅτε δὴ μέγας ἐσσὶ καὶ ἥβης μέτρον ἱκάνεις,
now but when indeed big you-are and of-youth the-measure have-reached
καί κέν τις φαίη γόνον ἔμμεναι ὀλβίου ἀνδρός,
and — anyone would-say the-offspring to-be of-a-prosperous man

ἐς μέγεθος καὶ κάλλος ὁρώμενος, ἀλλότριος φώς,
at stature and beauty looking a-stranger man
οὐκέτι τοι φρένες εἰσὶν ἐναίσιμοι οὐδὲ νόημα.
no-longer your wits are seemly nor thought
οἷον δὴ τόδε ἔργον ἐνὶ μεγάροισιν ἐτύχθη,
such indeed this deed in the-halls has-been-done
ὃς τὸν ξεῖνον ἔασας ἀεικισθήμεναι οὕτως.
who the stranger let to-be-maltreated thus
πῶς νῦν, εἴ τι ξεῖνος ἐν ἡμετέροισι δόμοισιν
how now if at-all a-stranger in our house
ἥμενος ὧδε πάθοι ῥυστακτύος ἐξ ἀλεγεινῆς;
sitting thus should-suffer abuse from grievous
σοί κ' αἶσχος λώβη τε μετ' ἀνθρώποισι πέλοιτο."
on-you — shame disgrace and among men would-be
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Her and in-turn Telemachus prudent in-reply spoke
"Μῆτερ ἐμή, τὸ μὲν οὔ σε νεμεσσῶμαι κεχολῶσθαι·
Mother my this indeed not you I-blame to-be-angered
αὐτὰρ ἐγὼ θυμῷ νοέω καὶ οἶδα ἕκαστα,
but I in-heart perceive and know each-thing
ἐσθλά τε καὶ τὰ χέρεια· πάρος δ' ἔτι νήπιος ἦα.
good-things both and the worse before but still a-child I-was
ἀλλά τοι οὐ δύναμαι πεπνυμένα πάντα νοῆσαι·
but you-know not I-can wise-things all think-of
ἐκ γάρ με πλήσσουσι παρήμενοι ἄλλοθεν ἄλλος
out for me drive sitting-by from-elsewhere one-and-another
οἵδε κακὰ φρονέοντες, ἐμοὶ δ' οὐκ εἰσὶν ἀρωγοί.
these evil-things planning for-me and not are helpers

οὐ μέν τοι ξείνου γε καὶ Ἴρου μῶλος ἐτύχθη
not indeed you-know of-the-stranger indeed and of-Irus the-fight happened
μνηστήρων ἰότητι, βίῃ δ' ὅ γε φέρτερος ἦεν.
of-the-suitors by-the-will in-strength and he indeed the-better was
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
if-only for Zeus both father and Athena and Apollo
οὕτω νῦν μνηστῆρες ἐν ἡμετέροισι δόμοισι
so now the-suitors in our house
νεύοιεν κεφαλὰς δεδμημένοι, οἱ μὲν ἐν αὐλῇ,
might-nod heads overcome some indeed in the-court
οἱ δ' ἔντοσθε δόμοιο, λελῦτο δὲ γυῖα ἑκάστου,
others and inside the-house might-be-loosened and the-limbs of-each
ὡς νῦν Ἶρος κεῖνος ἐπ' αὐλείῃσι θύρῃσιν
as now Irus yonder at the-court doors
ἧσται νευστάζων κεφαλῇ, μεθύοντι ἐοικώς,
sits nodding with-the-head to-a-drunk like
οὐδ' ὀρθὸς στῆναι δύναται ποσὶν οὐδὲ νέεσθαι
nor upright to-stand is-able on-feet nor to-go
οἴκαδ', ὅπη οἱ νόστος, ἐπεὶ φίλα γυῖα λέλυνται."
home wherever his return since dear limbs are-loosed

Eurymachus praises Penelope's beauty. She answers that it perished when Odysseus sailed, and repeats his parting words: if he did not return, she was to marry when their son grew a beard. That time has come, she says, but true suitors bring gifts instead of eating another's livelihood. Odysseus rejoices at her cunning, and the suitors send for a robe, necklaces, and earrings.

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
So they indeed such-things to each-other spoke
Εὐρύμαχος δ' ἐπέεσσι προσηύδα Πηνελόπειαν·
Eurymachus and with-words addressed Penelope
"Κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
Daughter of-Icarius wise Penelope
εἰ πάντες σε ἴδοιεν ἀν' Ἴασον Ἄργος Ἀχαιοί,
if all you could-see throughout Iasian Argos the-Achaeans
πλέονές κε μνηστῆρες ἐν ὑμετέροισι δόμοισιν
more — suitors in your house
ἠῶθεν δαινύατ', ἐπεὶ περίεσσι γυναικῶν
at-dawn would-feast since you-surpass women
εἶδός τε μέγεθός τε ἰδὲ φρένας ἔνδον ἐΐσας."
in-form both stature and and wits within balanced
Τὸν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·
Him and answered then wise Penelope
"Εὐρύμαχ', ἦ τοι ἐμὴν ἀρετὴν εἶδός τε δέμας τε
Eurymachus truly indeed my excellence form both build and
ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰσανέβαινον
destroyed the-immortals when for-Ilion embarked
Ἀργεῖοι, μετὰ τοῖσι δ' ἐμὸς πόσις ἦεν Ὀδυσσεύς.
the-Argives among them and my husband went Odysseus

εἰ κεῖνός γ' ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι,
if he indeed coming the my life should-tend
μείζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτως.
greater — fame would-be my and fairer so
νῦν δ' ἄχομαι· τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων.
now but I-grieve so-many for on-me has-sent evils a-god
ἦ μὲν δὴ ὅτε τ' ἦε λιπὼν κάτα πατρίδα γαῖαν,
truly indeed truly when — he-went leaving behind native land
δεξιτερὴν ἐπὶ καρπῷ ἑλὼν ἐμὲ χεῖρα προσηύδα·
right by the-wrist taking me hand he-addressed(-me)
"'Ὦ γύναι, οὐ γὰρ ὄΐω ἐϋκνήμιδας Ἀχαιοὺς
O wife not for I-think well-greaved Achaeans
ἐκ Τροίης εὖ πάντας ἀπήμονας ἀπονέεσθαι·
from Troy well all unharmed to-return
καὶ γὰρ Τρῶάς φασι μαχητὰς ἔμμεναι ἄνδρας,
also for Trojans they-say fighters to-be men
ἠμὲν ἀκοντιστὰς ἠδὲ ῥυτῆρας ὀϊστῶν
both spearmen and drawers of-arrows
ἵππων τ' ὠκυπόδων ἐπιβήτορας, οἵ κε τάχιστα
of-horses and swift-footed riders who — most-quickly
ἔκριναν μέγα νεῖκος ὁμοιΐου πολέμοιο.
decide great strife of-equal war
τῷ οὐκ οἶδ' ἤ κέν μ' ἀνέσει θεός, ἦ κεν ἁλώω
therefore not I-know whether — me will-let-go-home a-god or — I-be-taken
αὐτοῦ ἐνὶ Τροίῃ· σοὶ δ' ἐνθάδε πάντα μελόντων.
there in Troy to-you and here all let-be-of-concern
μεμνῆσθαι πατρὸς καὶ μητέρος ἐν μεγάροισιν
to-be-mindful of-father and of-mother in the-halls
ὡς νῦν, ἢ ἔτι μᾶλλον ἐμεῦ ἀπονόσφιν ἐόντος·
as now or still more me far-away being

αὐτὰρ ἐπὴν δὴ παῖδα γενειήσαντα ἴδηαι,
but when indeed the-son having-grown-a-beard you-see
γήμασθ' ᾧ κ' ἐθέλῃσθα, τεὸν κατὰ δῶμα λιποῦσα.'
marry whom — you-wish your behind house leaving
"Κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
He so spoke these-things indeed now all are-being-fulfilled
νὺξ δ' ἔσται ὅτε δὴ στυγερὸς γάμος ἀντιβολήσει
night and will-be when indeed hateful marriage will-meet(-me)
οὐλομένης ἐμέθεν, τῆς τε Ζεὺς ὄλβον ἀπηύρα.
accursed me of-whom — Zeus happiness has-taken-away
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει·
but this dread grief heart and spirit reaches
μνηστήρων οὐχ ἥδε δίκη τὸ πάροιθε τέτυκτο·
of-suitors not this the-custom the before was
οἵ τ' ἀγαθήν τε γυναῖκα καὶ ἀφνειοῖο θύγατρα
who — a-good both woman and of-a-rich-man daughter
μνηστεύειν ἐθέλωσι καὶ ἀλλήλοις ἐρίσωσιν,
to-woo wish and with-each-other vie
αὐτοὶ τοί γ' ἀπάγουσι βόας καὶ ἴφια μῆλα,
themselves they indeed bring cattle and fat flocks
κούρης δαῖτα φίλοισι, καὶ ἀγλαὰ δῶρα διδοῦσιν·
of-the-bride a-feast for-friends and glorious gifts give
ἀλλ' οὐκ ἀλλότριον βίοτον νήποινον ἔδουσιν."
but not another's livelihood unpunished they-devour
Ὣς φάτο, γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,
So he-spoke rejoiced and much-enduring noble Odysseus
οὕνεκα τῶν μὲν δῶρα παρέλκετο, θέλγε δὲ θυμὸν
because their indeed gifts she-drew-forth beguiled and the-heart
μειλιχίοις ἐπέεσσι, νόος δέ οἱ ἄλλα μενοίνα.
with-gentle words mind but her other-things purposed

Τὴν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός,
Her and in-turn Antinous addressed of-Eupeithes son
"Κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
Daughter of-Icarius wise Penelope
δῶρα μὲν ὅς κ' ἐθέλῃσιν Ἀχαιῶν ἐνθάδ' ἐνεῖκαι,
gifts indeed whoever — wishes of-the-Achaeans here to-bring
δέξασθ'· οὐ γὰρ καλὸν ἀνήνασθαι δόσιν ἐστίν·
accept not for good to-refuse a-gift it-is
ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα πάρος γ' ἴμεν οὔτε πῃ ἄλλῃ,
we and neither to works before indeed will-go nor anywhere else
πρίν γέ σε τῷ γήμασθαι Ἀχαιῶν ὅς τις ἄριστος."
before indeed you to-him to-marry of-the-Achaeans who any best
Ὣς ἔφατ' Ἀντίνοος, τοῖσιν δ' ἐπιήνδανε μῦθος·
So he-spoke Antinous to-them and was-pleasing the-word
δῶρα δ' ἄρ' οἰσέμεναι πρόεσαν κήρυκα ἕκαστος.
gifts and then to-bring sent a-herald each
Ἀντινόῳ μὲν ἔνεικε μέγαν περικαλλέα πέπλον,
for-Antinous indeed he-brought great very-fair robe
ποικίλον· ἐν δ' ἀρ' ἔσαν περόναι δυοκαίδεκα πᾶσαι
embroidered in(-it) and then were brooches twelve all
χρύσειαι, κληῖσιν ἐϋγνάμπτοις ἀραρυῖαι.
golden with-clasps well-bent fitted
ὅρμον δ' Εὐρυμάχῳ πολυδαίδαλον αὐτίκ' ἔνεικε,
a-necklace and for-Eurymachus richly-wrought at-once he-brought
χρύσεον, ἠλέκτροισιν ἐερμένον ἠέλιον ὥς.
golden with-amber-beads strung the-sun like
ἕρματα δ' Εὐρυδάμαντι δύω θεράποντες ἔνεικαν,
earrings and for-Eurydamas two attendants brought
τρίγληνα μορόεντα· χάρις δ' ἀπελάμπετο πολλή.
three-drop mulberry-like grace and shone-forth much

ἐκ δ' ἄρα Πεισάνδροιο Πολυκτορίδαο ἄνακτος
from and then of-Peisander son-of-Polyctor the-lord
ἴσθμιον ἤνεικεν θεράπων, περικαλλὲς ἄγαλμα.
a-necklace brought the-attendant very-fair ornament
ἄλλο δ' ἄρ' ἄλλος δῶρον Ἀχαιῶν καλὸν ἔνεικεν.
other and then another gift of-the-Achaeans fair brought
ἡ μὲν ἔπειτ' ἀνέβαιν' ὑπερώϊα δῖα γυναικῶν,
she indeed then went-up to-the-upper-room bright among-women
τῇ δ' ἄρ' ἅμ' ἀμφίπολοι ἔφερον περικαλλέα δῶρα.
for-her and then together handmaids carried very-fair gifts

XVIII.5 · MELANTHO AND EURYMACHUS

At evening Odysseus offers to tend the braziers, and the maid Melantho, Eurymachus' lover, abuses him; he threatens to tell Telemachus, and the maids scatter. Eurymachus mocks his bald head and offers him farm work. Odysseus challenges him to a contest at mowing, plowing, or war.

Οἱ δ' εἰς ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδὴν
They and to dancing both and lovely song
τρεψάμενοι τέρποντο, μένον δ' ἐπὶ ἕσπερον ἐλθεῖν.
having-turned took-pleasure waited and for evening to-come
τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθεν.
to-them and taking-pleasure black on evening came
αὐτίκα λαμπτῆρας τρεῖς ἵστασαν ἐν μεγάροισιν,
at-once braziers three they-set in the-halls
ὄφρα φαείνοιεν· περὶ δὲ ξύλα κάγκανα θῆκαν,
so-that they-might-give-light around and wood dry they-put
αὖα πάλαι, περίκηλα, νέον κεκεασμένα χαλκῷ,
seasoned long-since very-dry newly split with-bronze

καὶ δαΐδας μετέμισγον· ἀμοιβηδὶς δ' ἀνέφαινον
and torches mixed-among in-turn and kept(-them)-alight
δμῳαὶ Ὀδυσσῆος ταλασίφρονος. αὐτὰρ ὁ τῇσιν
the-maidservants of-Odysseus steadfast but he to-them
αὐτὸς διογενὴς μετέφη πολύμητις Ὀδυσσεύς·
himself Zeus-born spoke-among of-many-wiles Odysseus
"Δμῳαὶ Ὀδυσσῆος, δὴν οἰχομένοιο ἄνακτος,
Maidservants of-Odysseus long gone of-the-lord
ἔρχεσθε πρὸς δώμαθ', ἵν' αἰδοίη βασίλεια·
go to the-house where revered the-queen
τῇ δὲ παρ' ἠλάκατα στροφαλίζετε, τέρπετε δ' αὐτὴν
by-her and beside spindles twirl delight and her
ἥμεναι ἐν μεγάρῳ, ἢ εἴρια πείκετε χερσίν·
sitting in the-hall or wool card with-hands
αὐτὰρ ἐγὼ τούτοισι φάος πάντεσσι παρέξω.
but I for-these light for-all will-provide
ἤν περ γάρ κ' ἐθέλωσιν ἐΰθρονον Ἠὼ μίμνειν,
if indeed for — they-wish fair-throned Dawn to-await
οὔ τί με νικήσουσι· πολυτλήμων δὲ μάλ' εἰμί."
not at-all me they-will-defeat much-enduring and very I-am
Ὣς ἔφαθ', αἱ δ' ἐγέλασσαν, ἐς ἀλλήλας δὲ ἴδοντο.
So he-spoke they and laughed at each-other and looked
τὸν δ' αἰσχρῶς ἐνένιπε Μελανθὼ καλλιπάρῃος,
him and shamefully rebuked Melantho fair-cheeked
τὴν Δολίος μὲν ἔτικτε, κόμισσε δὲ Πηνελόπεια,
whom Dolius indeed begot cared-for and Penelope
παῖδα δὲ ὣς ἀτίταλλε, δίδου δ' ἄρ' ἀθύρματα θυμῷ·
a-child and like reared gave and then toys for-heart
ἀλλ' οὐδ' ὣς ἔχε πένθος ἐνὶ φρεσὶ Πηνελοπείης,
but not-even so had grief in mind for-Penelope

ἀλλ᾽ ἥ γ᾽ Εὐρυμάχῳ μισγέσκετο καὶ φιλέεσκεν.
but she indeed with-Eurymachus used-to-lie and loved(-him)
ἥ ῥ᾽ Ὀδυσῆ᾽ ἐνένιπεν ὀνειδείοις ἐπέεσσιν·
she then Odysseus rebuked with-reproachful words
"Ξεῖνε τάλαν, σύ γέ τις φρένας ἐκπεπαταγμένος ἐσσί,
Stranger wretch you indeed some in-wits struck-out are
οὐδ᾽ ἐθέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθών,
nor wish to-sleep smith's into house going
ἠέ που ἐς λέσχην, ἀλλ᾽ ἐνθάδε πόλλ᾽ ἀγορεύεις,
or perhaps into a-lounge but here much you-talk
θαρσαλέως πολλοῖσι μετ᾽ ἀνδράσιν, οὐδέ τι θυμῷ
boldly many among men nor at-all in-heart
ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ
do-you-fear truly then you wine holds in-wits or now your always
τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώνια βάζεις.
such mind is wherefore also idle-things you-babble
ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;
or are-you-beside-yourself that Irus you-beat the vagabond
μή τίς τοι τάχα Ἴρου ἀμείνων ἄλλος ἀναστῇ,
lest any you soon than-Irus better other may-stand-up
ὅς τίς σ᾽ ἀμφὶ κάρη κεκοπὼς χερσὶ στιβαρῇσι
who any you about head having-beaten with-hands sturdy
δώματος ἐκπέμψῃσι, φορύξας αἵματι πολλῷ."
from-the-house send-out befouling(-you) with-blood much
Τὴν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Her and then from-under looking addressed of-many-wiles Odysseus
" Ἦ τάχα Τηλεμάχῳ ἐρέω, κύον, οἷ᾽ ἀγορεύεις,
Truly soon to-Telemachus I-will-tell dog what you-say
κεῖσ᾽ ἐλθών, ἵνα σ᾽ αὖθι διὰ μελεϊστὶ τάμῃσιν."
there going so-that you on-the-spot through limb-by-limb he-may-cut

Ὣς εἰπὼν ἐπέεσσι διεπτοίησε γυναῖκας.
So having-spoken with-words he-scattered the-women
βὰν δ' ἴμεναι διὰ δῶμα, λύθεν δ' ὑπὸ γυῖα ἑκάστης
went and to-go through the-house were-loosed and beneath the-limbs of-each
ταρβοσύνῃ· φὰν γάρ μιν ἀληθέα μυθήσασθαι.
in-terror they-thought for him true-things to-speak
αὐτὰρ ὁ πὰρ λαμπτῆρσι φαείνων αἰθομένοισιν
but he beside the-braziers giving-light burning
ἑστήκειν ἐς πάντας ὁρώμενος· ἄλλα δέ οἱ κῆρ
stood at all looking other-things but his heart
ὥρμαινε φρεσὶν ἦσιν, ἅ ῥ' οὐκ ἀτέλεστα γένοντο.
pondered in-mind his-own which then not unaccomplished were
Μνηστῆρας δ' οὐ πάμπαν ἀγήνορας εἴα Ἀθήνη
The-suitors but not at-all proud let Athena
λώβης ἴσχεσθαι θυμαλγέος, ὄφρ' ἔτι μᾶλλον
from-outrage refrain heart-grieving so-that still more
δύη ἄχος κραδίην Λαερτιάδεω Ὀδυσῆος.
might-sink pain heart of-the-son-of-Laertes Odysseus
τοῖσιν δ' Εὐρύμαχος, Πολύβου πάϊς, ἦρχ' ἀγορεύειν,
among-them and Eurymachus of-Polybus son began to-speak
κερτομέων Ὀδυσῆα· γέλω δ' ἑτάροισιν ἔτευχε.
mocking Odysseus laughter and for-the-comrades made
"Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
Hear me suitors of-the-glorious queen
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
so-that I-may-say what me heart in breast bids
οὐκ ἀθεεὶ ὅδ' ἀνὴρ Ὀδυσήϊον ἐς δόμον ἵκει·
not without-god this man of-Odysseus to the-house came

ἔμπης μοι δοκέει δαΐδων σέλας ἔμμεναι αὐτοῦ
nevertheless to-me seems of-torches the-glare to-be from-himself
κὰκ κεφαλῆς, ἐπεὶ οὔ οἱ ἔνι τρίχες οὐδ' ἠβαιαί."
down from-the-head since not his in hairs nor few
Ἦ ῥ', ἅμα τε προσέειπεν Ὀδυσσῆα πτολίπορθον·
He-spoke then at-once and addressed Odysseus sacker-of-cities
"Ξεῖν', ἦ ἄρ κ' ἐθέλοις θητευέμεν, εἴ σ' ἀνελοίμην,
Stranger truly then — would-you-wish to-serve-for-hire if you I-should-take
ἀγροῦ ἐπ' ἐσχατιῆς — μισθὸς δέ τοι ἄρκιος ἔσται —
of-a-field at the-border wage and to-you sufficient will-be
αἱμασιάς τε λέγων καὶ δένδρεα μακρὰ φυτεύων;
dry-walls both gathering and trees tall planting
ἔνθα κ' ἐγὼ σῖτον μὲν ἐπηετανὸν παρέχοιμι,
there — I bread indeed all-year-long would-provide
εἵματα δ' ἀμφιέσαιμι ποσίν θ' ὑποδήματα δοίην.
clothes and would-put-on(-you) on-feet and sandals give
ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμμαθες, οὐκ ἐθελήσεις
but since then indeed deeds bad you-have-learned not you-will-wish
ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσειν κατὰ δῆμον
work to-go-about but to-cringe through the-land
βούλεαι, ὄφρ' ἂν ἔχῃς βόσκειν σὴν γαστέρ' ἄναλτον."
you-prefer so-that — you-may-be-able to-feed your belly insatiable
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"Εὐρύμαχ', εἰ γὰρ νῶϊν ἔρις ἔργοιο γένοιτο
Eurymachus if-only for between-us-two a-contest of-work there-were
ὥρῃ ἐν εἰαρινῇ, ὅτε τ' ἤματα μακρὰ πέλονται,
season in spring when — days long are
ἐν ποίῃ, δρέπανον μὲν ἐγὼν εὐκαμπὲς ἔχοιμι,
in grass a-sickle indeed I well-curved might-hold

καὶ δὲ σὺ τοῖον ἔχοις, ἵνα πειρησαίμεθα ἔργου
and also you such might-hold so-that we-might-test-each-other in-work
νήστιες ἄχρι μάλα κνέφαος, ποίη δὲ παρείη.
fasting until very dusk grass and should-be-at-hand
εἰ δ' αὖ καὶ βόες εἶεν ἐλαυνέμεν, οἵ περ ἄριστοι,
if and in-turn also oxen there-were to-drive which indeed best
αἴθωνες, μεγάλοι, ἄμφω κεκορηότε ποίης,
sleek great both sated with-grass
ἥλικες, ἰσοφόροι, τῶν τε σθένος οὐκ ἀλαπαδνόν,
of-like-age equal-in-burden their and strength not feeble
τετράγυον δ' εἴη, εἴκοι δ' ὑπὸ βῶλος ἀρότρῳ·
four-acre and it-were should-yield and beneath the-clod to-the-plow
τῷ κέ μ' ἴδοις, εἰ ὦλκα διηνεκέα προταμοίμην.
then — me you-would-see whether a-furrow unbroken I-would-cut
εἰ δ' αὖ καὶ πόλεμόν ποθεν ὁρμήσειε Κρονίων
if and in-turn also war from-somewhere should-stir-up the-son-of-Cronus
σήμερον, αὐτὰρ ἐμοὶ σάκος εἴη καὶ δύο δοῦρε
today but to-me a-shield were and two spears
καὶ κυνέη πάγχαλκος, ἐπὶ κροτάφοις ἀραρυῖα,
and a-helmet all-bronze on temples fitted
τῷ κέ μ' ἴδοις πρώτοισιν ἐνὶ προμάχοισι μιγέντα,
then — me you-would-see among-the-foremost in champions mingling
οὐδ' ἄν μοι τὴν γαστέρ' ὀνειδίζων ἀγορεύοις.
nor — to-me the belly reproaching would-you-speak
ἀλλὰ μάλ' ὑβρίζεις, καί τοι νόος ἐστὶν ἀπηνής·
but very you-are-insolent and your mind is harsh
καί πού τις δοκέεις μέγας ἔμμεναι ἠδὲ κραταιός,
and perhaps some you-think great to-be and mighty
οὕνεκα πὰρ παύροισι καὶ οὐκ ἀγαθοῖσιν ὁμιλεῖς.
because among few and not good you-consort

εἰ δ' Ὀδυσεὺς ἔλθοι καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν,
if but Odysseus should-come and reach to native land
αἶψά κέ τοι τὰ θύρετρα, καὶ εὐρέα περ μάλ' ἐόντα, 385
quickly — for-you the doors though broad indeed very being
φεύγοντι στείνοιτο διὲκ προθύροιο θύραζε."
fleeing would-be-narrow through the-doorway out-of-doors

XVIII.6 · THE SUITORS GO HOME

Eurymachus hurls a footstool, which misses Odysseus and strikes the wine steward. The suitors complain that the beggar has spoiled their feast, and Telemachus tells them to go home. Amphinomus urges them not to quarrel, and after a last libation they leave.

Ὣς ἔφατ', Εὐρύμαχος δ' ἐχολώσατο κηρόθι μᾶλλον,
So he-spoke Eurymachus and was-angered in-heart more
καί μιν ὑπόδρα ἰδὼν ἔπεα πτερόεντα προσηύδα·
and him from-under looking words winged addressed
" Ἆ δείλ', ἦ τάχα τοι τελέω κακόν, οἷ' ἀγορεύεις
Ah wretch truly soon to-you I-will-bring evil for-what you-say
θαρσαλέως πολλοῖσι μετ' ἀνδράσιν, οὐδέ τι θυμῷ 390
boldly many among men nor at-all in-heart
ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ
do-you-fear truly then you wine holds in-wits or now your always
τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώνια βάζεις.
such mind is wherefore also idle-things you-babble
ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;"
or are-you-beside-yourself that Irus you-beat the vagabond

Ὣς ἄρα φωνήσας σφέλας ἔλλαβεν· αὐτὰρ Ὀδυσσεὺς
So then having-spoken a-footstool he-seized but Odysseus
Ἀμφινόμου πρὸς γοῦνα καθέζετο Δουλιχιῆος,
of-Amphinomus at knees sat of-Dulichium
Εὐρύμαχον δείσας· ὁ δ' ἄρ' οἰνοχόον βάλε χεῖρα
Eurymachus fearing he and then the-cupbearer struck on-the-hand
δεξιτερήν· πρόχοος δὲ χαμαὶ βόμβησε πεσοῦσα,
right the-jug and to-the-ground clanged falling
αὐτὰρ ὅ γ' οἰμώξας πέσεν ὕπτιος ἐν κονίῃσι.
but he indeed groaning fell on-his-back in the-dust
μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα,
the-suitors and clamored throughout the-halls shadowy
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
thus and one would-say looking at near another
"Αἴθ' ὤφελλ' ὁ ξεῖνος ἀλώμενος ἄλλοθ' ὀλέσθαι
Would-that ought the stranger wandering elsewhere to-have-perished
πρὶν ἐλθεῖν· τῷ κ' οὔ τι τόσον κέλαδον μετέθηκε.
before to-come then — not at-all such din he-had-caused
νῦν δὲ περὶ πτωχῶν ἐριδαίνομεν, οὐδέ τι δαιτὸς
now but about beggars we-wrangle nor at-all of-the-feast
ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ."
good will-be the-pleasure since the worse-things prevail
Τοῖσι δὲ καὶ μετέειφ' ἱερὴ ἴς Τηλεμάχοιο
To-them and also spoke-among the-sacred might of-Telemachus
"Δαιμόνιοι, μαίνεσθε καὶ οὐκέτι κεύθετε θυμῷ
Strange-men you-are-mad and no-longer hide in-heart
βρωτὺν οὐδὲ ποτῆτα· θεῶν νύ τις ὔμμ' ὀροθύνει.
eating nor drinking of-the-gods now some you excites

ἀλλ᾽ εὖ δαισάμενοι κατακείετε οἴκαδ᾽ ἰόντες,
but well having-feasted lie-down home going
ὁππότε θυμὸς ἄνωγε· διώκω δ᾽ οὔ τιν᾽ ἐγώ γε.᾽᾽
whenever the-heart bids I-chase but not any I indeed
Ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες
So he-spoke they and then all with-teeth in lips growing
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευε.
at-Telemachus marveled because boldly he-spoke
τοῖσιν δ᾽ Ἀμφίνομος ἀγορήσατο καὶ μετέειπε
among-them and Amphinomus addressed-the-assembly and spoke-among(-them)
Νίσου φαίδιμος υἱός, Ἀρητιάδαο ἄνακτος·
of-Nisus glorious son of-the-son-of-Aretias the-lord
᾽᾽ Ὦ φίλοι, οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίῳ
O friends not — indeed anyone at a-thing-said just
ἀντιβίοις ἐπέεσσι καθαπτόμενος χαλεπαίνοι·
with-hostile words assailing should-be-angry
μήτε τι τὸν ξεῖνον στυφελίζετε μήτε τιν᾽ ἄλλον
neither at-all the stranger mistreat nor any other
δμώων, οἳ κατὰ δώματ᾽ Ὀδυσσῆος θείοιο.
of-the-servants who throughout the-house of-Odysseus godlike
ἀλλ᾽ ἄγετ᾽, οἰνοχόος μὲν ἐπαρξάσθω δεπάεσσιν,
but come the-cupbearer indeed let-pour-first in-cups
ὄφρα σπείσαντες κατακείομεν οἴκαδ᾽ ἰόντες·
so-that having-poured-libation we-may-lie-down home going
τὸν ξεῖνον δὲ ἐῶμεν ἐνὶ μεγάροις Ὀδυσῆος
the stranger and let-us-leave in the-halls of-Odysseus
Τηλεμάχῳ μελέμεν· τοῦ γὰρ φίλον ἵκετο δῶμα.᾽᾽
for-Telemachus to-care-for of-him for dear he-has-come-to house

Ὣς φάτο, τοῖσι δὲ πᾶσιν ἑαδότα μῦθον ἔειπε.
So he-spoke to-them and all pleasing word he-said
τοῖσιν δὲ κρητῆρα κεράσσατο Μούλιος ἥρως,
for-them and a-mixing-bowl mixed Mulius the-hero
κῆρυξ Δουλιχιεύς· θεράπων δ᾽ ἦν Ἀμφινόμοιο·
the-herald of-Dulichium attendant and was of-Amphinomus
425 νώμησεν δ᾽ ἄρα πᾶσιν ἐπισταδόν· οἱ δὲ θεοῖσι
he-dealt-out and then to-all standing-by-each they and to-the-gods
σπείσαντες μακάρεσσι πίον μελιηδέα οἶνον.
having-poured-libation the-blessed drank honey-sweet wine
αὐτὰρ ἐπεὶ σπεῖσάν τ᾽ ἔπιόν θ᾽ ὅσον ἤθελε θυμός,
but when they-had-poured-libation both drank and as-much-as wished the-heart
βάν ῥ᾽ ἴμεναι κείοντες ἑὰ πρὸς δώματθ᾽ ἕκαστος.
went then to-go to-lie-down their-own to houses each

BOOK XIX

XIX.1 · THE WEAPONS REMOVED

Odysseus and Telemachus carry the weapons out of the hall while Eurycleia keeps the women shut in, and Athena lights their way with a golden lamp, so that the walls and beams seem to glow with fire. Odysseus bids his son not to ask, since such is the way of the gods, and sends him to bed, staying behind to test the maids and his wife.

Αὐτὰρ ὁ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεύς,
But he in the-hall remained-behind noble Odysseus
μνηστήρεσσι φόνον σὺν Ἀθήνῃ μερμηρίζων·
for-the-suitors slaughter with Athena planning
αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα·
quickly and Telemachus words winged addressed
"Τηλέμαχε, χρὴ τεύχε' ἀρήϊα κατθέμεν εἴσω
Telemachus we-must the-weapons warlike put-away inside
πάντα μάλ'· αὐτὰρ μνηστῆρας μαλακοῖς ἐπέεσσι 5
all very but the-suitors with-soft words
παρφάσθαι, ὅτε κέν σε μεταλλῶσιν ποθέοντες·
beguile when — you they-question missing(-them)
'Ἐκ καπνοῦ κατέθηκ', ἐπεὶ οὐκέτι τοῖσιν ἐώικει
Out-of the-smoke I-have-put(-them) since no-longer to-those they-were-like
οἷά ποτε Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς,
such-as once to-Troy going left Odysseus
ἀλλὰ κατήκισται, ὅσσον πυρὸς ἵκετ' ἀϋτμή.
but they-are-defiled as-far-as of-the-fire reached the-breath
πρὸς δ' ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶν ἔμβαλε δαίμων 10
besides and still also this greater in mind has-put a-god
μή πως οἰνωθέντες, ἔριν στήσαντες ἐν ὑμῖν,
lest somehow flushed-with-wine strife setting-up among you

ἀλλήλους τρώσητε καταισχύνητέ τε δαῖτα
each-other you-wound shame and the-feast
καὶ μνηστύν· αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.'"
and the-wooing itself for draws-on a-man iron
Ὣς φάτο, Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί,
So he-spoke Telemachus and dear obeyed father
ἐκ δὲ καλεσσάμενος προσέφη τροφὸν Εὐρύκλειαν·
out and calling addressed the-nurse Eurycleia
"Μαῖ', ἄγε δή μοι ἔρυξον ἐνὶ μεγάροισι γυναῖκας,
Nurse come indeed for-me keep in the-halls the-women
ὄφρα κεν ἐς θάλαμον καταθείομαι ἔντεα πατρὸς
until — into the-chamber I-put-away the-arms of-father
καλά, τά μοι κατὰ οἶκον ἀκηδέα καπνὸς ἀμέρδει
fair which for-me through the-house uncared-for the-smoke tarnishes
πατρὸς ἀποιχομένοιο· ἐγὼ δ' ἔτι νήπιος ἦα.
father having-gone-away I and still a-child was
νῦν δ' ἐθέλω καταθέσθαι, ἵν' οὐ πυρὸς ἵξετ' ἀϋτμή."
now but I-wish to-put(-them)-away where not of-the-fire will-reach the-breath
Τὸν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
Him and in-turn addressed dear nurse Eurycleia
"Αἲ γὰρ δή ποτε, τέκνον, ἐπιφροσύνας ἀνέλοιο
If-only for indeed ever child prudence you-would-take-up
οἴκου κήδεσθαι καὶ κτήματα πάντα φυλάσσειν.
of-the-house to-take-care and possessions all to-guard
ἀλλ' ἄγε, τίς τοι ἔπειτα μετοιχομένη φάος οἴσει;
but come who to-you then going-along a-light will-carry
δμῳὰς δ' οὐκ εἴας προβλωσκέμεν, αἵ κεν ἔφαινον."
the-maids but not you-let go-before who — would-give-light

Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Her and in-turn Telemachus prudent in-reply spoke
"Ξεῖνος ὅδ'· οὐ γὰρ ἀεργὸν ἀνέξομαι ὅς κεν ἐμῆς γε
Stranger this not for idle I-will-tolerate whoever — my indeed
χοίνικος ἅπτηται, καὶ τηλόθεν εἰληλουθώς."
measure-of-grain touches even from-afar having-come
Ὣς ἄρ' ἐφώνησεν, τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
So then he-spoke for-her and wingless was the-word
κλήϊσεν δὲ θύρας μεγάρων εὖ ναιεταόντων.
she-locked and the-doors of-the-halls well dwelt-in
τὼ δ' ἄρ' ἀναΐξαντ' Ὀδυσεὺς καὶ φαίδιμος υἱὸς
the-two and then springing-up Odysseus and glorious son
ἐσφόρεον κόρυθάς τε καὶ ἀσπίδας ὀμφαλοέσσας
carried-in helmets both and shields bossed
ἔγχεά τ' ὀξυόεντα· πάροιθε δὲ Παλλὰς Ἀθήνη,
spears and sharp-pointed before and Pallas Athena
χρύσεον λύχνον ἔχουσα, φάος περικαλλὲς ἐποίει.
golden lamp holding light very-fair made
δὴ τότε Τηλέμαχος προσεφώνεεν ὃν πατέρ' αἶψα·
indeed then Telemachus addressed his-own father quickly
"Ὦ πάτερ, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι.
O father truly great wonder this with-eyes I-see
ἔμπης μοι τοῖχοι μεγάρων καλαί τε μεσόδμαι,
all-the-same to-me the-walls of-the-halls fair and crossbeams
εἰλάτιναί τε δοκοί, καὶ κίονες ὑψόσ' ἔχοντες
of-fir and beams and pillars high holding
φαίνοντ' ὀφθαλμοῖς ὡς εἰ πυρὸς αἰθομένοιο.
shine to-the-eyes as if of-fire burning
ἦ μάλα τις θεὸς ἔνδον, οἳ οὐρανὸν εὐρὺν ἔχουσι."
truly very some god within who heaven broad hold

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"Σίγα καὶ κατὰ σὸν νόον ἴσχανε μηδ' ἐρέεινε·
Be-silent and in your mind hold(-it) nor ask
αὕτη τοι δίκη ἐστὶ θεῶν, οἳ Ὄλυμπον ἔχουσιν.
this you-know the-way is of-the-gods who Olympus hold
ἀλλὰ σὺ μὲν κατάλεξαι, ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ,
but you indeed lie-down I and will-stay-behind here
ὄφρα κ' ἔτι δμῳὰς καὶ μητέρα σὴν ἐρεθίζω·
so-that — still the-maids and mother your I-may-provoke
ἡ δέ μ' ὀδυρομένη εἰρήσεται ἀμφὶς ἕκαστα."
she and me lamenting will-ask about each-thing
Ὣς φάτο, Τηλέμαχος δὲ διὲκ μεγάροιο βεβήκει
So he-spoke Telemachus and through the-hall went
κείων ἐς θάλαμον, δαΐδων ὕπο λαμπομενάων,
going into the-chamber torches under burning
ἔνθα πάρος κοιμᾶθ', ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι·
where before he-slept when him sweet sleep would-come-on
ἔνθ' ἄρα καὶ τότ' ἔλεκτο καὶ Ἠῶ δῖαν ἔμιμνεν.
there then also then he-lay-down and Dawn bright awaited
αὐτὰρ ὁ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεύς,
but he in the-hall remained-behind noble Odysseus
μνηστήρεσσι φόνον σὺν Ἀθήνῃ μερμηρίζων.
for-the-suitors slaughter with Athena planning

Penelope comes down and sits by the fire. Melantho abuses the stranger again, and Penelope rebukes her. Asked who he is, Odysseus praises Penelope's fame and begs her not to make him recall his country. She says her beauty perished when her husband went, and tells of the shroud she wove and unraveled for three years until the maids betrayed her; now she cannot escape marriage.

Ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,
She and came from the-chamber wise Penelope
Ἀρτέμιδι ἰκέλη ἠὲ χρυσέῃ Ἀφροδίτῃ.
to-Artemis like or golden Aphrodite
τῇ παρὰ μὲν κλισίην πυρὶ κάτθεσαν, ἔνθ' ἄρ' ἐφῖζε, 55
for-her beside indeed a-couch by-the-fire they-set where then she-sat
δινωτὴν ἐλέφαντι καὶ ἀργύρῳ· ἦν ποτε τέκτων
inlaid with-ivory and silver which once a-craftsman
ποίησ' Ἰκμάλιος, καὶ ὑπὸ θρῆνυν ποσὶν ἧκε
made Icmalius and beneath a-footstool for-feet put
προσφυέ' ἐξ αὐτῆς, ὅθ' ἐπὶ μέγα βάλλετο κῶας.
joined from it where over great was-cast a-fleece
ἔνθα καθέζετ' ἔπειτα περίφρων Πηνελόπεια.
there sat then wise Penelope
ἦλθον δὲ δμῳαὶ λευκώλενοι ἐκ μεγάροιο. 60
came and maidservants white-armed from the-hall
αἱ δ' ἀπὸ μὲν σῖτον πολὺν ἦρεον ἠδὲ τραπέζας
they and away indeed bread much took and tables
καὶ δέπα, ἔνθεν ἄρ' ἄνδρες ὑπερμενέοντες ἔπινον·
and cups from-which then the-men overweening had-drunk

πῦρ δ' ἀπὸ λαμπτήρων χαμάδις βάλον, ἄλλα δ' ἐπ' αὐτῶν
the-fire and from the-braziers to-the-ground threw other and on them
νήησαν ξύλα πολλά, φόως ἔμεν ἠδὲ θέρεσθαι.
heaped wood much light to-be and to-warm
Ἡ δ' Ὀδυσῆ' ἐνένιπε Μελανθὼ δεύτερον αὖτις·
She and Odysseus rebuked Melantho a-second-time again
"Ξεῖν', ἔτι καὶ νῦν ἐνθάδ' ἀνιήσεις διὰ νύκτα
Stranger still even now here will-you-trouble(-us) through the-night
δινεύων κατὰ οἶκον, ὀπιπεύσεις δὲ γυναῖκας;
roaming through the-house will-you-spy-on and the-women
ἀλλ' ἔξελθε θύραζε, τάλαν, καὶ δαιτὸς ὄνησο·
but go out-of-doors wretch and of-the-feast take-your-fill
ἢ τάχα καὶ δαλῷ βεβλημένος εἶσθα θύραζε."
or soon even with-a-torch struck you-will-go out-of-doors
Τὴν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Her and then from-under looking addressed of-many-wiles Odysseus
"Δαιμονίη, τί μοι ὧδ' ἐπέχεις κεκοτηότι θυμῷ;
Strange-woman why me thus do-you-assail with-angry heart
ἦ ὅτι δὴ ῥυπόω, κακὰ δὲ χροῒ εἵματα εἶμαι,
truly because indeed I-am-dirty evil and on-skin clothes I-wear
πτωχεύω δ' ἀνὰ δῆμον; ἀναγκαίη γὰρ ἐπείγει.
I-beg and throughout the-land need for drives(-me)
τοιοῦτοι πτωχοὶ καὶ ἀλήμονες ἄνδρες ἔασι.
such beggars and wandering men are
καὶ γὰρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον
and for I once a-house among men dwelt-in
ὄλβιος ἀφνειὸν καὶ πολλάκι δόσκον ἀλήτῃ,
prosperous wealthy and often used-to-give to-a-wanderer
τοίῳ ὁποῖος ἔοι καὶ ὅτευ κεχρημένος ἔλθοι·
such of-whatever-sort he-might-be and whatever needing he-came

ἦσαν δὲ δμῶες μάλα μυρίοι, ἄλλα τε πολλὰ
were and servants very countless other-things and many
οἷσίν τ' εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται.
by-which — well men-live and wealthy are-called
ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων· ἤθελε γάρ που·
but Zeus wiped(-it)-out son-of-Cronus be-willed for surely
τῷ νῦν μήποτε καὶ σύ, γύναι, ἀπὸ πᾶσαν ὀλέσσῃς
therefore now lest-ever also you woman away all lose
ἀγλαΐην, τῇ νῦν γε μετὰ δμῳῇσι κέκασσαι·
the-beauty in-which now indeed among the-maidservants you-excel
μή πώς τοι δέσποινα κοτεσσαμένη χαλεπήνῃ,
lest somehow against-you the-mistress angered be-wroth
ἢ Ὀδυσεὺς ἔλθῃ· ἔτι γὰρ καὶ ἐλπίδος αἶσα.
or Odysseus come still for even of-hope a-share
εἰ δ' ὁ μὲν ὣς ἀπόλωλε καὶ οὐκέτι νόστιμός ἐστιν,
if but he indeed so has-perished and no-longer returning is
ἀλλ' ἤδη παῖς τοῖος Ἀπόλλωνός γε ἔκηται,
but already son such of-Apollo indeed by-favor
Τηλέμαχος· τὸν δ' οὔ τις ἐνὶ μεγάροισι γυναικῶν
Telemachus him and not any in the-halls of-the-women
λήθει ἀτασθάλλουσ', ἐπεὶ οὐκέτι τηλίκος ἐστίν."
escapes acting-recklessly since no-longer of-such-age he-is
Ὣς φάτο, τοῦ δ' ἤκουσε περίφρων Πηνελόπεια,
So he-spoke him and heard wise Penelope
ἀμφίπολον δ' ἐνένιπεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
the-handmaid and she-rebuked word and spoke out and named(-her)
"Πάντως, θαρσαλέη, κύον ἀδεές, οὔ τί με λήθεις
Surely bold bitch fearless not at-all me you-escape
ἔρδουσα μέγα ἔργον, ὃ σῇ κεφαλῇ ἀναμάξεις·
doing a-great deed which on-your head you-shall-wipe-off

πάντα γὰρ εὖ ᾔδησθ', ἐπεὶ ἐξ ἐμεῦ ἔκλυες αὐτῆς
all for well you-knew since from me you-heard myself
ὡς τὸν ξεῖνον ἔμελλον ἐνὶ μεγάροισιν ἐμοῖσιν
that the stranger I-was-going in halls my
ἀμφὶ πόσει εἴρεσθαι, ἐπεὶ πυκινῶς ἀκάχημαι."
about husband to-question since sorely I-grieve
Ἦ ῥα καὶ Εὐρυνόμην ταμίην πρὸς μῦθον ἔειπεν·
She-spoke then and Eurynome housekeeper to speech said
"Εὐρυνόμη, φέρε δὴ δίφρον καὶ κῶας ἐπ' αὐτοῦ,
Eurynome bring indeed a-stool and a-fleece on it
ὄφρα καθεζόμενος εἴπῃ ἔπος ἠδ' ἐπακούσῃ
so-that sitting he-may-speak a-word and hear
ὁ ξεῖνος ἐμέθεν· ἐθέλω δέ μιν ἐξερέεσθαι."
the stranger from-me I-wish and him to-question
Ὣς ἔφαθ', ἡ δὲ μάλ' ὀτραλέως κατέθηκε φέρουσα
So she-spoke she and very readily set(-it) bringing
δίφρον ἐΰξεστον καὶ ἐπ' αὐτῷ κῶας ἔβαλλεν·
the-stool well-polished and on it a-fleece cast
ἔνθα καθέζετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς.
there sat then much-enduring noble Odysseus
τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·
to-them and of-speech began wise Penelope
"Ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτή·
Stranger this indeed you first I will-ask myself
τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;"
who whence are-you of-men where your city and parents

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Her and answering addressed of-many-wiles Odysseus
" Ὦ γύναι, οὐκ ἄν τίς σε βροτῶν ἐπ' ἀπείρονα γαῖαν
O woman not — any you of-mortals over boundless earth
νεικέοι· ἦ γάρ σευ κλέος οὐρανὸν εὐρὺν ἱκάνει,
could-reproach truly for your fame heaven broad reaches
ὥς τέ τευ ἢ βασιλῆος ἀμύμονος, ὅς τε θεουδὴς
as — of-someone or of-a-king blameless who — god-fearing
ἀνδράσιν ἐν πολλοῖσι καὶ ἰφθίμοισιν ἀνάσσων
over-men among many and mighty ruling
εὐδικίας ἀνέχῃσι, φέρῃσι δὲ γαῖα μέλαινα
justice upholds bears and the-earth black
πυροὺς καὶ κριθάς, βρίθῃσι δὲ δένδρεα καρπῷ,
wheat and barley are-laden and trees with-fruit
τίκτῃ δ' ἔμπεδα μῆλα, θάλασσα δὲ παρέχῃ ἰχθῦς
bear and unfailingly flocks the-sea and provides fish
ἐξ εὐηγεσίης, ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ.
from good-leadership prosper and the-people under him
τῷ ἐμὲ νῦν τὰ μὲν ἄλλα μετάλλα σῷ ἐνὶ οἴκῳ,
therefore me now the indeed other-things ask your in house
μηδ' ἐμὸν ἐξερέεινε γένος καὶ πατρίδα γαῖαν,
nor my ask race and native land
μή μοι μᾶλλον θυμὸν ἐνιπλήσῃς ὀδυνάων
lest my more heart you-fill with-pains
μνησαμένῳ· μάλα δ' εἰμὶ πολύστονος· οὐδέ τί με χρὴ
recalling very and I-am of-many-sorrows nor at-all me it-befits
οἴκῳ ἐν ἀλλοτρίῳ γοόωντά τε μυρόμενόν τε
house in another's wailing both lamenting and
ἧσθαι, ἐπεὶ κάκιον πενθήμεναι ἄκριτον αἰεί·
to-sit since worse to-grieve unceasing always

μή τίς μοι δμῳῶν νεμεσήσεται, ἠὲ σύ γ' αὐτή,
lest any me of-the-maidservants be-indignant or you indeed yourself
φῇ δὲ δακρυπλώειν βεβαρηότα με φρένας οἴνῳ."
say and that-I-swim-in-tears weighed-down me in-wits with-wine
Τὸν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·
Him and answered then wise Penelope
"Ξεῖν', ἦ τοι μὲν ἐμὴν ἀρετὴν εἶδός τε δέμας τε
Stranger truly indeed indeed my excellence form both build and
ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰσανέβαινον
destroyed the-immortals when for-Ilion embarked
Ἀργεῖοι, μετὰ τοῖσι δ' ἐμὸς πόσις ἦεν Ὀδυσσεύς.
the-Argives among them and my husband went Odysseus
εἰ κεῖνός γ' ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι,
if he indeed coming the my life should-tend
μεῖζον κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτως.
greater — fame would-be my and fairer so
νῦν δ' ἄχομαι· τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων.
now but I-grieve so-many for on-me has-sent evils a-god
ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
as-many-as for over-the-islands hold-power the-best
Δουλιχίῳ τε Σάμῃ τε καὶ ὑλήεντι Ζακύνθῳ,
over-Dulichium both Same and also wooded Zacynthus
οἵ τ' αὐτὴν Ἰθάκην εὐδείελον ἀμφινέμονται,
who — itself Ithaca clear-seen dwell-around
οἵ μ' ἀεκαζομένην μνῶνται, τρύχουσι δὲ οἶκον.
who me unwilling woo wear-out and the-house
τῷ οὔτε ξείνων ἐμπάζομαι οὔθ' ἱκετάων
therefore neither of-strangers do-I-heed nor of-suppliants
οὔτε τι κηρύκων, οἳ δημιοεργοὶ ἔασιν·
nor at-all of-heralds who public-workers are

ἀλλ᾽ Ὀδυσῆ ποθέουσα φίλον κατατήκομαι ἦτορ.
but for-Odysseus longing dear I-waste heart
οἱ δὲ γάμον σπεύδουσιν· ἐγὼ δὲ δόλους τολυπεύω.
they and a-marriage hasten I and wiles wind
φᾶρος μέν μοι πρῶτον ἐνέπνευσε φρεσὶ δαίμων,
a-robe indeed to-me first breathed-into mind a-god
στησαμένῃ μέγαν ἱστόν, ἐνὶ μεγάροισιν ὑφαίνειν,
setting-up a-great web in the-halls to-weave
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ᾽ αὐτοῖς μετέειπον· 140
fine and very-wide straightway and to-them I-spoke-among
"᾽Κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
Young-men my suitors since died noble Odysseus
μίμνετ᾽ ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰς ὅ κε φᾶρος
wait being-eager-for the my marriage until (the-time)-when — the-robe
ἐκτελέσω — μή μοι μεταμώνια νήματ᾽ ὄληται —
I-finish lest to-me vain the-threads perish
Λαέρτῃ ἥρωϊ ταφήϊον, εἰς ὅτε κέν μιν
for-Laertes the-hero a-shroud against when — him
μοῖρ᾽ ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο· 145
fate deadly takes-down of-grievous death
μή τίς μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσῃ,
lest any me throughout the-land of-Achaean-women be-indignant
αἴ κεν ἄτερ σπείρου κῆται πολλὰ κτεατίσσας.᾽
if — without a-shroud he-lie much having-won
" Ὣς ἐφάμην, τοῖσιν δ᾽ ἐπεπείθετο θυμὸς ἀγήνωρ.
So I-spoke to-them and was-persuaded heart proud
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκον μέγαν ἱστόν,
then and by-day indeed I-used-to-weave the-great web
νύκτας δ᾽ ἀλλύεσκον, ἐπεὶ δαΐδας παραθείμην. 150
by-nights and I-used-to-undo when torches I-had-set-beside

ὣς τρίετες μὲν ἔληθον ἐγὼ καὶ ἔπειθον Ἀχαιούς·
so three-years indeed I-escaped-notice I and persuaded the-Achaeans
ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος καὶ ἐπήλυθον ὧραι,
but when fourth came the-year and came-on the-seasons
μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
of-the-months waning around and days many were-completed
καὶ τότε δή με διὰ δμῳάς, κύνας οὐκ ἀλεγούσας,
and then indeed me through the-maids bitches not caring
εἶλον ἐπελθόντες καὶ ὁμόκλησαν ἐπέεσσιν.
they-caught coming-in and rebuked with-words
ὣς τὸ μὲν ἐξετέλεσσα, καὶ οὐκ ἐθέλουσ', ὑπ' ἀνάγκης·
so it indeed I-finished even not willing under compulsion
νῦν δ' οὔτ' ἐκφυγέειν δύναμαι γάμον οὔτε τιν' ἄλλην
now but neither to-escape am-I-able marriage nor any other
μῆτιν ἔθ' εὑρίσκω· μάλα δ' ὀτρύνουσι τοκῆες
plan still do-I-find very and urge parents
γήμασθ', ἀσχαλάᾳ δὲ πάϊς βίοτον κατεδόντων,
to-marry chafes and son the-livelihood as-they-devour
γιγνώσκων· ἤδη γὰρ ἀνὴρ οἷός τε μάλιστα
perceiving already for a-man such-as — most
οἴκου κήδεσθαι, τῷ τε Ζεὺς κῦδος ὀπάζει.
of-a-house to-take-care to-whom — Zeus glory grants
ἀλλὰ καὶ ὥς μοι εἰπὲ τεὸν γένος, ὁππόθεν ἐσσί·
but even so to-me tell your race whence you-are
οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου οὐδ' ἀπὸ πέτρης."
not for from an-oak you-are of-old-story nor from a-rock

Odysseus says he is Aethon, a younger brother of Idomeneus, from Crete with its ninety cities, and that he entertained Odysseus for twelve days when a storm drove him there on the way to Troy. Penelope weeps, and Odysseus pities her but keeps his eyes still as horn or iron. To test him she asks what Odysseus wore, and he describes the purple cloak, the golden brooch of a hound and a fawn, the shining tunic, and the herald Eurybates.

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Her and answering addressed of-many-wiles Odysseus
" Ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
O woman revered of-the-son-of-Laertes Odysseus
οὐκέτ' ἀπολλήξεις τὸν ἐμὸν γόνον ἐξερέουσα;
not-any-longer will-you-cease the my lineage asking
ἀλλ' ἔκ τοι ἐρέω· ἦ μέν μ' ἀχέεσσί γε δώσεις
but out to-you I-will-say truly indeed me to-sorrows indeed you-will-give
πλείοσιν ἢ ἔχομαι· ἡ γὰρ δίκη, ὁππότε πάτρης
more than I-am-held that for the-way when from-native-land
ἧς ἀπέῃσιν ἀνὴρ τόσσον χρόνον ὅσσον ἐγὼ νῦν,
his-own is-away a-man as-long time as I now
πολλὰ βροτῶν ἐπὶ ἄστε' ἀλώμενος, ἄλγεα πάσχων·
many of-mortals to cities wandering pains suffering
ἀλλὰ καὶ ὣς ἐρέω ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς.
but even so I-will-tell what me you-ask and inquire
Κρήτη τις γαῖ' ἔστι, μέσῳ ἐνὶ οἴνοπι πόντῳ,
Crete some land is mid in wine-dark sea
καλὴ καὶ πίειρα, περίρρυτος· ἐν δ' ἄνθρωποι
fair and rich sea-girt in(-it) and men
πολλοί, ἀπειρέσιοι, καὶ ἐννήκοντα πόληες.
many countless and ninety cities

ἄλλη δ' ἄλλων γλῶσσα μεμιγμένη· ἐν μὲν Ἀχαιοί,
other and of-others the-tongue mixed in(-it) indeed Achaeans
ἐν δ' Ἐτεόκρητες μεγαλήτορες, ἐν δὲ Κύδωνες,
in(-it) and Eteocretans great-hearted in(-it) and Cydonians
Δωριέες τε τριχάϊκες δῖοί τε Πελασγοί.
Dorians both of-three-tribes noble and Pelasgians
τῇσι δ' ἐνὶ Κνωσός, μεγάλη πόλις, ἔνθα τε Μίνως
among-them and in Cnossus great city where — Minos
ἐννέωρος βασίλευε Διὸς μεγάλου ὀαριστής,
in-nine-year-periods was-king of-Zeus great the-companion
πατρὸς ἐμοῖο πατήρ, μεγαθύμου Δευκαλίωνος
of-father my father of-great-hearted Deucalion
Δευκαλίων δ' ἐμὲ τίκτε καὶ Ἰδομενῆα ἄνακτα·
Deucalion and me begot and Idomeneus lord
ἀλλ' ὁ μὲν ἐν νήεσσι κορωνίσιν Ἴλιον εἴσω
but he indeed in ships beaked Ilion to
ᾤχεθ' ἅμ' Ἀτρεΐδῃσιν, ἐμοὶ δ' ὄνομα κλυτὸν Αἴθων,
went with the-sons-of-Atreus my and name famous Aethon
ὁπλότερος γενεῇ· ὁ δ' ἄρα πρότερος καὶ ἀρείων.
younger by-birth he and then elder and better
ἔνθ' Ὀδυσῆα ἐγὼν ἰδόμην καὶ ξείνια δῶκα.
there Odysseus I saw and gifts-of-hospitality gave
καὶ γὰρ τὸν Κρήτηνδε κατήγαγεν ἶς ἀνέμοιο,
also for him to-Crete brought-in the-force of-the-wind
ἱέμενον Τροίηνδε παραπλάγξασα Μαλειῶν·
eager to-Troy driving(-him)-off-course from-Malea
στῆσε δ' ἐν Ἀμνισῷ, ὅθι τε σπέος Εἰλειθυίης,
he-anchored and in Amnisus where — the-cave of-Eileithyia
ἐν λιμέσιν χαλεποῖσι, μόγις δ' ὑπάλυξεν ἀέλλας.
in harbors difficult hardly and he-escaped the-storms

αὐτίκα δ' Ἰδομενῆα μετάλλα ἄστυδ' ἀνελθών·
at-once and for-Idomeneus he-asked to-the-town going-up
ξεῖνον γάρ οἱ ἔφασκε φίλον τ' ἔμεν αἰδοίόν τε.
a-guest-friend for his he-said dear both to-be revered and
τῷ δ' ἤδη δεκάτη ἢ ἑνδεκάτη πέλεν ἠὼς
to-him and already tenth or eleventh was the-dawn
οἰχομένῳ σὺν νηυσὶ κορωνίσιν Ἴλιον εἴσω.
having-gone with ships beaked Ilion to
τὸν μὲν ἐγὼ πρὸς δώματ' ἄγων εὖ ἐξείνισσα,
him indeed I to the-house leading well entertained
ἐνδυκέως φιλέων, πολλῶν κατὰ οἶκον ἐόντων·
kindly welcoming many through the-house being
καί οἱ τοῖς ἄλλοις ἑτάροις, οἳ ἅμ' αὐτῷ ἕποντο,
and for-him (and)-for-the other comrades who with him followed
δημόθεν ἄλφιτα δῶκα καὶ αἴθοπα οἶνον ἀγείρας
from-the-people barley-meal I-gave and sparkling wine gathering
καὶ βοῦς ἱερεύσασθαι, ἵνα πλησαίατο θυμόν.
and cattle to-sacrifice so-that they-might-sate heart
ἔνθα δυώδεκα μὲν μένον ἤματα δῖοι Ἀχαιοί·
there twelve indeed remained days the-noble Achaeans
εἶλει γὰρ Βορέης ἄνεμος μέγας οὐδ' ἐπὶ γαίῃ
held(-them) for Boreas wind great nor on land
εἴα ἵστασθαι, χαλεπὸς δέ τις ὦρορε δαίμων.
let(-them) stand harsh and some had-roused god
τῇ τρισκαιδεκάτῃ δ' ἄνεμος πέσε, τοὶ δ' ἀνάγοντο."
on-the thirteenth and the-wind fell they and put-to-sea
Ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα·
He-made lies many telling to-truths like
τῆς δ' ἄρ' ἀκουούσης ῥέε δάκρυα, τήκετο δὲ χρώς·
her and then as-she-listened flowed tears melted and the-flesh

ὡς δὲ χιὼν κατατήκετ᾽ ἐν ἀκροπόλοισιν ὄρεσσιν,
as and snow melts on high mountains
ἥν τ᾽ Εὖρος κατέτηξεν, ἐπὴν Ζέφυρος καταχεύῃ·
which — Eurus has-melted when Zephyrus has-poured(-it)-down
τηκομένης δ᾽ ἄρα τῆς ποταμοὶ πλήθουσι ῥέοντες·
melting and then it the-rivers fill flowing
ὣς τῆς τήκετο καλὰ παρήϊα δάκρυ χεούσης,
so her melted fair cheeks tears shedding
κλαιούσης ἑὸν ἄνδρα παρήμενον. αὐτὰρ Ὀδυσσεὺς
weeping for-her-own husband sitting-beside(-her) but Odysseus
θυμῷ μὲν γοόωσαν ἐὴν ἐλέαιρε γυναῖκα,
in-heart indeed lamenting his-own pitied wife
ὀφθαλμοὶ δ᾽ ὡς εἰ κέρα ἕστασαν ἠὲ σίδηρος
the-eyes but as if horn stood or iron
ἀτρέμας ἐν βλεφάροισι· δόλῳ δ᾽ ὅ γε δάκρυα κεῦθεν.
unmoving in eyelids by-guile and he indeed tears hid
ἡ δ᾽ ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο,
she and when then she-had-had-her-fill of-tearful lament
ἐξαῦτίς μιν ἔπεσσιν ἀμειβομένη προσέειπε·
again him with-words answering addressed
"Νῦν μὲν δή σευ, ξεῖνέ γ᾽, ὀΐω πειρήσεσθαι,
Now indeed truly you stranger indeed I-think to-test
εἰ ἐτεὸν δὴ κεῖθι σὺν ἀντιθέοις ἑτάροισι
if truly indeed there with godlike comrades
ξείνισας ἐν μεγάροισιν ἐμὸν πόσιν, ὡς ἀγορεύεις.
you-entertained in the-halls my husband as you-say
εἰπέ μοι ὁπποῖ᾽ ἄσσα περὶ χροῒ εἵματα ἕστο,
tell me what-kind-of things about skin clothes he-wore
αὐτός θ᾽ οἷος ἦεν, καὶ ἑταίρους, οἵ οἱ ἕποντο."
himself and what-like he-was and the-comrades who him followed

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Her and answering addressed of-many-wiles Odysseus
" Ὦ γύναι, ἀργαλέον τόσσον χρόνον ἀμφὶς ἐόντα
O woman hard so-long time apart being
εἰπέμεν· ἤδη γάρ οἱ ἐεικοστὸν ἔτος ἐστὶν
to-tell already for to-him the-twentieth year is
ἐξ οὗ κεῖθεν ἔβη καὶ ἐμῆς ἀπελήλυθε πάτρης·
from when thence he-went and from-my has-gone native-land
αὐτάρ τοι ἐρέω ὥς μοι ἰνδάλλεται ἦτορ.
but to-you I-will-tell as to-me pictures heart
χλαῖναν πορφυρέην οὔλην ἔχε δῖος Ὀδυσσεύς,
cloak purple woolly had noble Odysseus
διπλῆν· αὐτάρ οἱ περόνη χρυσοῖο τέτυκτο
double but on-it a-brooch of-gold was-made
αὐλοῖσιν διδύμοισι· πάροιθε δὲ δαίδαλον ἦεν·
with-sockets double in-front and inlaid it-was
ἐν προτέροισι πόδεσσι κύων ἔχε ποικίλον ἐλλόν,
in front paws a-hound held a-dappled fawn
ἀσπαίροντα λάων· τὸ δὲ θαυμάζεσκον ἅπαντες,
struggling gripping it and marveled-at all
ὡς οἱ χρύσεοι ἐόντες ὁ μὲν λάε νεβρὸν ἀπάγχων,
how they golden being he indeed gripped the-fawn strangling
αὐτὰρ ὁ ἐκφυγέειν μεμαὼς ἤσπαιρε πόδεσσι.
but it to-escape eager struggled with-feet
τὸν δὲ χιτῶν' ἐνόησα περὶ χροῒ σιγαλόεντα,
the and tunic I-noticed around skin glossy
οἷόν τε κρομύοιο λοπὸν κάτα ἰσχαλέοιο·
like — of-an-onion the-skin over dried
τὼς μὲν ἔην μαλακός, λαμπρὸς δ' ἦν ἠέλιος ὥς·
so indeed it-was soft bright and was the-sun like

ἦ μὲν πολλαί γ᾽ αὐτὸν ἐθηήσαντο γυναῖκες.
truly indeed many indeed it gazed-at women
ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
another-thing and to-you I-will-tell you and in mind lay(-it) your
οὐκ οἶδ᾽ ἢ τάδε ἕστο περὶ χροΐ οἵκοθ᾽ Ὀδυσσεύς,
not I-know whether these he-wore about skin from-home Odysseus
ἦ τις ἑταίρων δῶκε θοῆς ἐπὶ νηὸς ἰόντι,
or some of-the-comrades gave swift on ship going
ἤ τίς που καὶ ξεῖνος, ἐπεὶ πολλοῖσιν Ὀδυσσεὺς
or some perhaps also a-host since to-many Odysseus
ἔσκε φίλος· παῦροι γὰρ Ἀχαιῶν ἦσαν ὁμοῖοι.
was a-friend few for of-the-Achaeans were like(-him)
καί οἱ ἐγὼ χάλκειον ἄορ καὶ δίπλακα δῶκα
and to-him I bronze sword and double-cloak gave
καλὴν πορφυρέην καὶ τερμιόεντα χιτῶνα,
fair purple and fringed tunic
αἰδοίως δ᾽ ἀπέπεμπον ἐϋσσέλμου ἐπὶ νηός.
respectfully and I-sent(-him)-off well-benched on ship
καὶ μέν οἱ κῆρυξ ὀλίγον προγενέστερος αὐτοῦ
and indeed him a-herald a-little older than-him
εἵπετο· καὶ τόν τοι μυθήσομαι, οἷος ἔην περ.
followed and him to-you I-will-describe what-like he-was indeed
γυρὸς ἐν ὤμοισιν, μελανόχροος, οὐλοκάρηνος,
round in shoulders dark-skinned woolly-haired
Εὐρυβάτης δ᾽ ὄνομ᾽ ἔσκε· τίεν δέ μιν ἔξοχον ἄλλων
Eurybates and name was honored and him above others
ὧν ἑτάρων Ὀδυσεύς, ὅτι οἱ φρεσὶν ἄρτια ᾔδη."
of-his comrades Odysseus because his in-mind fitting he-knew

Penelope recognizes the clothes and the brooch she gave, and weeps that Odysseus will never come home. The stranger tells her that Odysseus is near, in Thesprotia, gathering treasure; his comrades were lost for killing the cattle of Helios, and the Phaeacians honored him. He swears that Odysseus will return this very year, at the turn of the month.

Ὣς φάτο, τῇ δ' ἔτι μᾶλλον ὑφ' ἵμερον ὦρσε γόοιο,
So he-spoke in-her and still more beneath a-longing roused for-lament
σήματ' ἀναγνούσῃ τά οἱ ἔμπεδα πέφραδ' Ὀδυσσεύς. 250
the-tokens recognizing which to-her sure showed Odysseus
ἡ δ' ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο,
she and when then she-had-had-her-fill of-tearful lament
καὶ τότε μιν μύθοισιν ἀμειβομένη προσέειπε·
and then him with-words answering addressed
"Νῦν μὲν δή μοι, ξεῖνε, πάρος περ ἐὼν ἐλεεινός,
Now indeed truly to-me stranger before though being pitied
ἐν μεγάροισιν ἐμοῖσι φίλος τ' ἔσῃ αἰδοῖός τε·
in halls my dear both you-shall-be revered and
αὐτὴ γὰρ τάδε εἵματ' ἐγὼ πόρον, οἷ' ἀγορεύεις, 255
myself for these clothes I gave which you-speak-of
πτύξασ' ἐκ θαλάμου, περόνην τ' ἐπέθηκα φαεινὴν
having-folded(-them) from the-chamber a-brooch and I-attached shining
κείνῳ ἄγαλμ' ἔμεναι· τὸν δ' οὐχ ὑποδέξομαι αὖτις
for-him an-ornament to-be him but not I-shall-welcome again
οἶκαδε νοστήσαντα φίλην ἐς πατρίδα γαῖαν.
home having-returned dear to native land

τῷ ῥα κακῇ αἴσῃ κοίλης ἐπὶ νηὸς Ὀδυσσεὺς
therefore then with-evil fate hollow on ship Odysseus
ᾤχετ᾽ ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν.᾽᾽
went to-see Evil-Ilios not to-be-named
Τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Her and answering addressed of-many-wiles Odysseus
“ Ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
O woman revered of-the-son-of-Laertes Odysseus
μηκέτι νῦν χρόα καλὸν ἐναίρεο, μηδέ τι θυμὸν
no-longer now skin fair mar nor at-all heart
τῆκε, πόσιν γοόωσα. νεμεσσῶμαί γε μὲν οὐδέν·
waste for-husband lamenting I-blame indeed indeed not-at-all
καὶ γάρ τίς τ᾽ ἀλλοῖον ὀδύρεται ἄνδρ᾽ ὀλέσασα
also for any — other-sort mourns a-husband having-lost
κουρίδιον, τῷ τέκνα τέκῃ φιλότητι μιγεῖσα,
wedded to-whom children she-has-borne in-love having-lain
ἢ Ὀδυσῆ᾽, ὅν φασι θεοῖς ἐναλίγκιον εἶναι.
than Odysseus who they-say to-gods like to-be
ἀλλὰ γόου μὲν παῦσαι, ἐμεῖο δὲ σύνθεο μῦθον·
but from-lament indeed cease of-me but heed the-word
νημερτέως γάρ τοι μυθήσομαι οὐδ᾽ ἐπικεύσω
truly for to-you I-will-speak nor will-conceal
ὡς ἤδη Ὀδυσῆος ἐγὼ περὶ νόστου ἄκουσα
how already of-Odysseus I about return have-heard
ἀγχοῦ, Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμῳ,
near of-the-Thesprotian men in rich land

ζωοῦ· αὐτὰρ ἄγει κειμήλια πολλὰ καὶ ἐσθλὰ
living but he-brings treasures many and good
αἰτίζων ἀνὰ δῆμον. ἀτὰρ ἐρίηρας ἑταίρους
begging throughout the-land but trusty comrades
ὤλεσε καὶ νῆα γλαφυρὴν ἐνὶ οἴνοπι πόντῳ,
he-lost and ship hollow in wine-dark sea
Θρινακίης ἄπο νήσου ἰών· ὀδύσαντο γὰρ αὐτῷ
from-Thrinacia away the-island coming were-wroth for with-him
Ζεύς τε καὶ Ἠέλιος· τοῦ γὰρ βόας ἔκταν ἑταῖροι.
Zeus both and Helios his for kine killed the-comrades
οἱ μὲν πάντες ὄλοντο πολυκλύστῳ ἐνὶ πόντῳ·
they indeed all perished much-dashing in sea
τὸν δ' ἄρ' ἐπὶ τρόπιος νεὸς ἔκβαλε κῦμ' ἐπὶ χέρσου,
him and then on the-keel of-the-ship cast the-wave on the-shore
Φαιήκων ἐς γαῖαν, οἳ ἀγχίθεοι γεγάασιν,
of-the-Phaeacians to land who near-to-the-gods are-born
οἳ δή μιν περὶ κῆρι θεὸν ὣς τιμήσαντο
who indeed him exceedingly in-heart a-god like honored
καί οἱ πολλὰ δόσαν πέμπειν τέ μιν ἤθελον αὐτοὶ
and to-him many-things gave to-convey and him wished themselves
οἴκαδ' ἀπήμαντον. καί κεν πάλαι ἐνθάδ' Ὀδυσσεὺς
home unharmed and — long-since here Odysseus
ἦην· ἀλλ' ἄρα οἱ τό γε κέρδιον εἴσατο θυμῷ,
would-have-been but then to-him this indeed more-profitable seemed in-heart
χρήματ' ἀγυρτάζειν πολλὴν ἐπὶ γαῖαν ἰόντι·
wealth to-gather much over land going
ὣς περὶ κέρδεα πολλὰ καταθνητῶν ἀνθρώπων
so beyond(-all) gains many of-mortal men
οἶδ' Ὀδυσεύς, οὐδ' ἄν τις ἐρίσσειε βροτὸς ἄλλος·
knows Odysseus nor — any would-vie mortal other

ὥς μοι Θεσπρωτῶν βασιλεὺς μυθήσατο Φείδων·
as to-me of-the-Thesprotians king told Pheidon
ὤμνυε δὲ πρὸς ἔμ᾽ αὐτόν, ἀποσπένδων ἐνὶ οἴκῳ,
he-swore and to me myself pouring-libations in the-house
νῆα κατειρύσθαι καὶ ἐπαρτέας ἔμμεν ἑταίρους,
the-ship to-have-been-drawn-down and ready to-be comrades
οἳ δή μιν πέμψουσι φίλην ἐς πατρίδα γαῖαν.
who indeed him will-convey dear to native land
ἀλλ᾽ ἐμὲ πρὶν ἀπέπεμψε· τύχησε γὰρ ἐρχομένη νηῦς
but me before sent-off happened for going a-ship
ἀνδρῶν Θεσπρωτῶν ἐς Δουλίχιον πολύπυρον.
of-men Thesprotian to Dulichium rich-in-wheat
καί μοι κτήματ᾽ ἔδειξεν, ὅσα ξυναγείρατ᾽ Ὀδυσσεύς·
and to-me possessions showed as-many-as gathered Odysseus
καί νύ κεν ἐς δεκάτην γενεὴν ἕτερόν γ᾽ ἔτι βόσκοι,
and now — to the-tenth generation another indeed still would-feed
ὅσσα οἱ ἐν μεγάροις κειμήλια κεῖτο ἄνακτος.
so-much his in the-halls treasures lay of-the-lord
τὸν δ᾽ ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα θεοῖο
him and to Dodona he-said to-have-gone so-that of-the-god
ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσαι,
from the-oak high-leafed of-Zeus the-will he-might-hear
ὅππως νοστήσειε φίλην ἐς πατρίδα γαῖαν
how he-should-return dear to native land
ἤδη δὴν ἀπεών, ἢ ἀμφαδὸν ἦε κρυφηδόν.
now long being-away whether openly or secretly

"Ὣς ὁ μὲν οὕτως ἐστὶ σόος καὶ ἐλεύσεται ἤδη
So he indeed thus is safe and will-come already
ἄγχι μάλ', οὐδ' ἔτι τῆλε φίλων καὶ πατρίδος αἴης
near very nor longer far from-friends and native land
δηρὸν ἀπεσσεῖται· ἔμπης δέ τοι ὅρκια δώσω.
long will-be-away nevertheless and to-you oaths I-will-give
ἴστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος,
let-know now Zeus first of-the-gods highest and best
ἱστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω·
hearth and of-Odysseus blameless which I-come-to
ἦ μέν τοι τάδε πάντα τελείεται ὡς ἀγορεύω.
truly indeed you-know these-things all will-be-fulfilled as I-say
τοῦδ' αὐτοῦ λυκάβαντος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεύς,
of-this very year will-come here Odysseus
τοῦ μὲν φθίνοντος μηνός, τοῦ δ' ἱσταμένοιο."
the indeed waning month the and beginning

XIX.5 · EURYCLEIA

Penelope doubts it, but orders the maids to bathe him and make up a bed. He will let only an old woman who has suffered as he has wash his feet. Penelope calls Eurycleia, his old nurse, who says she has never seen anyone so like Odysseus in build, voice, and feet.

Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Him and in-turn addressed wise Penelope
"Αἰ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη·
If-only for this stranger word fulfilled might-be

τῷ κε τάχα γνοίης φιλότητά τε πολλά τε δῶρα
then — soon you-would-know kindness both many and gifts
ἐξ ἐμεῦ, ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι.
from me so-that — anyone you meeting would-call-blessed
ἀλλά μοι ὧδ' ἀνὰ θυμὸν ὀΐεται, ὡς ἔσεταί περ·
but to-me thus in heart it-forebodes as it-will-be indeed
οὔτ' Ὀδυσεὺς ἔτι οἶκον ἐλεύσεται, οὔτε σὺ πομπῆς
neither Odysseus longer home will-come nor you of-conveyance
τεύξῃ, ἐπεὶ οὐ τοῖοι σημάντορές εἰσ' ἐνὶ οἴκῳ
will-get since not such masters are in the-house
οἷος Ὀδυσσεὺς ἔσκε μετ' ἀνδράσιν, εἴ ποτ' ἔην γε,
as Odysseus was among men if ever he-was indeed
ξείνους αἰδοίους ἀποπεμπέμεν ἠδὲ δέχεσθαι.
strangers revered to-send-off and to-receive
ἀλλά μιν, ἀμφίπολοι, ἀπονίψατε, κάτθετε δ' εὐνήν,
but him handmaids wash set and a-bed
δέμνια καὶ χλαίνας καὶ ῥήγεα σιγαλόεντα,
bedstead and cloaks and blankets glittering
ὥς κ' εὖ θαλπιόων χρυσόθρονον Ἠῶ ἵκηται.
so-that — well keeping-warm fair-throned Dawn he-may-reach
ἠῶθεν δὲ μάλ' ἦρι λοέσσαι τε χρῖσαί τε,
at-dawn and very early bathe both anoint and
ὥς κ' ἔνδον παρὰ Τηλεμάχῳ δείπνοιο μέδηται
so-that — within beside Telemachus of-the-meal he-may-think
ἥμενος ἐν μεγάρῳ· τῷ δ' ἄλγιον ὅς κεν ἐκείνων
sitting in the-hall for-him but worse whoever — of-them
τοῦτον ἀνιάζῃ θυμοφθόρος· οὐδέ τι ἔργον
this-one vexes heart-destroying nor at-all work
ἐνθάδ' ἔτι πρήξει, μάλα περ κεχολωμένος αἰνῶς.
here still will-he-do very though angered terribly

πῶς γὰρ ἐμεῦ σύ, ξεῖνε, δαήσεαι εἴ τι γυναικῶν
how for of-me you stranger will-learn if at-all of-women
ἀλλάων περίειμι νόον καὶ ἐπίφρονα μῆτιν,
others I-surpass in-mind and prudent counsel
εἴ κεν ἀϋσταλέος, κακὰ εἱμένος ἐν μεγάροισιν
if — squalid badly clothed in the-halls
δαινύῃ; ἄνθρωποι δὲ μινυνθάδιοι τελέθουσιν.
you-dine men and short-lived are
ὃς μὲν ἀπηνὴς αὐτὸς ἔῃ καὶ ἀπηνέα εἰδῇ,
who indeed harsh himself is and harsh-things knows
τῷ δὲ καταρῶνται πάντες βροτοὶ ἄλγε' ὀπίσσω
him and curse all mortals pains hereafter
ζωῷ, ἀτὰρ τεθνεῶτί γ' ἐφεψιόωνται ἅπαντες·
living but dead indeed mock all
ὃς δ' ἂν ἀμύμων αὐτὸς ἔῃ καὶ ἀμύμονα εἰδῇ,
who but — blameless himself is and blameless-things knows
τοῦ μέν τε κλέος εὐρὺ διὰ ξεῖνοι φορέουσι
of-him indeed — fame wide abroad strangers carry
πάντας ἐπ' ἀνθρώπους, πολλοί τέ μιν ἐσθλὸν ἔειπον."
all among men many and him good have-called

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Her and answering addressed of-many-wiles Odysseus
" Ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
O woman revered of-the-son-of-Laertes Odysseus
ἦ τοι ἐμοὶ χλαῖναι καὶ ῥήγεα σιγαλόεντα
truly indeed to-me cloaks and blankets glittering
ἤχθεθ', ὅτε πρῶτον Κρήτης ὄρεα νιφόεντα
became-hateful when first of-Crete the-mountains snowy
νοσφισάμην ἐπὶ νηὸς ἰὼν δολιχηρέτμοιο,
I-left on ship going long-oared

κείω δ' ὡς τὸ πάρος περ ἀΰπνους νύκτας ἴαυον·
I-will-lie and as the before indeed sleepless nights I-passed
πολλὰς γὰρ δὴ νύκτας ἀεικελίῳ ἐνὶ κοίτῃ
many for indeed nights unseemly in bed
ἄεσα καί τ' ἀνέμεινα ἐΰθρονον Ἠῶ δῖαν.
I-slept and — awaited fair-throned Dawn bright
οὐδέ τί μοι ποδάνιπτρα ποδῶν ἐπιήρανα θυμῷ
nor at-all to-me foot-baths for-feet pleasant to-heart
γίγνεται· οὐδὲ γυνὴ ποδὸς ἅψεται ἡμετέροιο
are nor woman foot will-touch our
τάων αἵ τοι δῶμα κάτα δρήστειραι ἔασιν,
of-those who you-know the-house throughout servants are
εἰ μή τις γρηῢς ἔστι παλαιή, κεδνὰ ἰδυῖα,
if not some old-woman there-is aged careful-things knowing
ἥ τις δὴ τέτληκε τόσα φρεσὶν ὅσσα τ' ἐγώ περ·
who any indeed has-endured as-much in-mind as-much-as — I indeed
τῇ δ' οὐκ ἂν φθονέοιμι ποδῶν ἅψασθαι ἐμεῖο."
her but not — I-would-grudge feet to-touch my
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Him and in-turn addressed wise Penelope
"Ξεῖνε φίλ'· οὐ γάρ πώ τις ἀνὴρ πεπνυμένος ὧδε
Stranger dear not for yet any man prudent so
ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα,
of-strangers far-off dearer my has-come-to house
ὡς σὺ μάλ' εὐφραδέως πεπνυμένα πάντ' ἀγορεύεις·
as you very wisely prudent-things all speak
ἔστι δέ μοι γρηῢς πυκινὰ φρεσὶ μήδε' ἔχουσα,
there-is and to-me an-old-woman shrewd in-mind counsels having
ἥ κεῖνον δύστηνον ἐΰ τρέφεν ἠδ' ἀτίταλλε,
who him wretched well nursed and reared

δεξαμένη χείρεσσ', ὅτε μιν πρῶτον τέκε μήτηρ,
receiving(-him) in-hands when him first bore mother
ἥ σε πόδας νίψει, ὀλιγηπελέουσά περ ἔμπης.
who your feet will-wash feeble though all-the-same
ἀλλ' ἄγε νῦν ἀνστᾶσα, περίφρων Εὐρύκλεια,
but come now rising wise Eurycleia
νίψον σοῖο ἄνακτος ὁμήλικα· καί που Ὀδυσσεὺς
wash of-your lord the-age-mate and surely Odysseus
ἤδη τοιόσδ' ἐστὶ πόδας τοιόσδε τε χεῖρας·
already such is in-feet such and in-hands
αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν."
quickly for in misery mortals grow-old
Ὣς ἄρ' ἔφη, γρηῢς δὲ κατέσχετο χερσὶ πρόσωπα,
So then she-spoke the-old-woman and covered with-hands face
δάκρυα δ' ἔκβαλε θερμά, ἔπος δ' ὀλοφυδνὸν ἔειπεν·
tears and shed warm word and piteous said
"Ὤ μοι ἐγὼ σέο, τέκνον, ἀμήχανος· ἦ σε περὶ Ζεὺς
Ah me I for-you child helpless truly you beyond Zeus
ἀνθρώπων ἤχθηρε θεουδέα θυμὸν ἔχοντα.
of-men hated god-fearing heart having
οὐ γάρ πώ τις τόσσα βροτῶν Διὶ τερπικεραύνῳ
not for yet any so-many of-mortals to-Zeus thunder-delighting
πίονα μηρί' ἔκη' οὐδ' ἐξαίτους ἑκατόμβας,
rich thigh-pieces burned nor choice hecatombs
ὅσσα σὺ τῷ ἐδίδους, ἀρώμενος ἧος ἵκοιο
as-many-as you to-him gave praying that you-might-reach
γῆράς τε λιπαρὸν θρέψαιό τε φαίδιμον υἱόν·
old-age both sleek might-rear and glorious son
νῦν δέ τοι οἴῳ πάμπαν ἀφείλετο νόστιμον ἦμαρ.
now but to-you alone wholly has-taken-away of-return the-day

οὕτω που καὶ κείνῳ ἐφεψιόωντο γυναῖκες
so surely also him mocked women
ξείνων τηλεδαπῶν, ὅτε τευ κλυτὰ δώματ' ἵκοιτο,
of-strangers far-off when someone's famous house he-came-to
ὡς σέθεν αἱ κύνες αἵδε καθεψιόωνται ἅπασαι,
as you the bitches these mock all
τάων νῦν λώβην τε καὶ αἴσχεα πόλλ' ἀλεείνων
of-these now the-insult both and shames many shunning
οὐκ ἐάας νίζειν· ἐμὲ δ' οὐκ ἀέκουσαν ἄνωγε
not you-let(-them) wash me but not unwilling bids
κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια.
daughter of-Icarius wise Penelope
τῷ σε πόδας νίψω ἅμα τ' αὐτῆς Πηνελοπείης
therefore your feet I-will-wash together both herself Penelope
καὶ σέθεν εἵνεκ', ἐπεί μοι ὀρώρεται ἔνδοθι θυμὸς
and of-you for-the-sake-of since my is-stirred within heart
κήδεσιν. ἀλλ' ἄγε νῦν ξυνίει ἔπος, ὅττι κεν εἴπω·
with-sorrows but come now heed the-word whatever — I-say
πολλοὶ δὴ ξεῖνοι ταλαπείριοι ἐνθάδ' ἵκοντο,
many indeed strangers much-suffering here have-come
ἀλλ' οὔ πώ τινά φημι ἐοικότα ὧδε ἰδέσθαι
but not yet anyone I-say like so to-have-seen
ὡς σὺ δέμας φωνήν τε πόδας τ' Ὀδυσῆϊ ἔοικας."
as you in-build voice both feet and to-Odysseus are-like

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Her and answering addressed of-many-wiles Odysseus
"Ὦ γρηῦ, οὕτω φασὶν ὅσοι ἴδον ὀφθαλμοῖσιν
O old-woman so say as-many-as have-seen with-eyes
ἡμέας ἀμφοτέρους, μάλα εἰκέλω ἀλλήλοιϊν
us both very like each-other
ἔμμεναι, ὡς σύ περ αὐτὴ ἐπιφρονέουσ' ἀγορεύεις." 385
to-be as you indeed yourself perceiving say

XIX.6 · THE SCAR

Odysseus turns from the fire, fearing she will see his scar, but as she washes him she knows it at once. The tale is told: Autolycus named him, and as a young man he hunted on Parnassus and was gashed above the knee by a boar. Eurycleia drops his foot, and the basin overturns.

Ὣς ἄρ' ἔφη, γρηῢς δὲ λέβηθ' ἕλε παμφανόωντα,
So then he-spoke the-old-woman and the-basin took shining
τοῦ πόδας ἐξαπένιζεν, ὕδωρ δ' ἐνεχεύατο πουλὺ
in-which feet she-used-to-wash water and she-poured much
ψυχρόν, ἔπειτα δὲ θερμὸν ἐπήφυσεν. αὐτὰρ Ὀδυσσεὺς
cold then and warm drew-in but Odysseus
ἷζεν ἐπ' ἐσχαρόφιν, ποτὶ δὲ σκότον ἐτράπετ' αἶψα·
sat at the-hearth toward and the-darkness turned quickly
αὐτίκα γὰρ κατὰ θυμὸν ὀΐσατο, μή ἑ λαβοῦσα 390
at-once for in heart he-thought lest him taking(-his-foot)
οὐλὴν ἀμφράσσαιτο καὶ ἀμφαδὰ ἔργα γένοιτο.
the-scar she-might-notice and openly the-deeds should-become

νίζε δ' ἄρ' ἆσσον ἰοῦσα ἄναχθ' ἑόν· αὐτίκα δ' ἔγνω
she-washed and then nearer coming master her-own at-once and she-knew
οὐλήν, τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι
the-scar which once him a-boar inflicted with-white tusk
Παρνησόνδ' ἐλθόντα μετ' Αὐτόλυκόν τε καὶ υἷας,
to-Parnassus having-gone to Autolycus both and the-sons
μητρὸς ἑῆς πάτερ' ἐσθλόν, ὃς ἀνθρώπους ἐκέκαστο
of-mother his-own father noble who men excelled
κλεπτοσύνῃ θ' ὅρκῳ τε· θεὸς δέ οἱ αὐτὸς ἔδωκεν
in-thievery both in-oath and a-god and to-him himself had-given
Ἑρμείας· τῷ γὰρ κεχαρισμένα μηρία καῖεν
Hermes to-him for pleasing thigh-pieces he-burned
ἀρνῶν ἠδ' ἐρίφων· ὁ δέ οἱ πρόφρων ἅμ' ὀπήδει.
of-lambs and of-kids he and him readily with attended
Αὐτόλυκος δ' ἐλθὼν Ἰθάκης ἐς πίονα δῆμον
Autolycus and coming of-Ithaca to rich land
παῖδα νέον γεγαῶτα κιχήσατο θυγατέρος ἧς·
the-child new born found of-daughter his-own
τόν ῥά οἱ Εὐρύκλεια φίλοις ἐπὶ γούνασι θῆκε
him then to-him Eurycleia dear on knees set
παυομένῳ δόρποιο, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
ceasing supper word and spoke out and named(-him)
"Αὐτόλυκ', αὐτὸς νῦν ὄνομ' εὕρεο ὅττι κε θῆαι
Autolycus yourself now a-name find whatever — you-may-give
παιδὸς παιδὶ φίλῳ· πολυάρητος δέ τοί ἐστιν."
of-child to-the-child dear much-prayed-for and to-you he-is
Τὴν δ' αὖτ' Αὐτόλυκος ἀπαμείβετο φώνησέν τε·
Her and in-turn Autolycus answered spoke and
"Γαμβρὸς ἐμὸς θυγάτηρ τε, τίθεσθ' ὄνομ' ὅττι κεν εἴπω·
Son-in-law my daughter and give the-name whatever — I-say

πολλοῖσιν γὰρ ἐγώ γε ὀδυσσάμενος τόδ' ἱκάνω,
with-many for I indeed having-been-angered here I-come
ἀνδράσιν ἠδὲ γυναιξὶν ἀνὰ χθόνα πουλυβότειραν·
men and women over the-earth all-nourishing
τῷ δ' Ὀδυσεὺς ὄνομ' ἔστω ἐπώνυμον· αὐτὰρ ἐγώ γε,
for-him and Odysseus the-name let-be by-name but I indeed
ὁππότ' ἂν ἡβήσας μητρώϊον ἐς μέγα δῶμα
when — grown mother's to great house
ἔλθῃ Παρνησόνδ', ὅθι πού μοι κτήματ' ἔασι,
he-comes to-Parnassus where perhaps my possessions are
τῶν οἱ ἐγὼ δώσω καί μιν χαίροντ' ἀποπέμψω."
of-these to-him I will-give and him rejoicing I-will-send-away
Τῶν ἕνεκ' ἦλθ' Ὀδυσεύς, ἵνα οἱ πόροι ἀγλαὰ δῶρα.
Of-these for-the-sake went Odysseus so-that to-him might-give glorious gifts
τὸν μὲν ἄρ' Αὐτόλυκός τε καὶ υἱέες Αὐτολύκοιο
him indeed then Autolycus both and the-sons of-Autolycus
χερσίν τ' ἠσπάζοντο ἔπεσσί τε μειλιχίοισι·
with-hands both welcomed with-words and gentle
μήτηρ δ' Ἀμφιθέη μητρὸς περιφῦσ' Ὀδυσῆϊ
mother and Amphithea of-mother clinging to-Odysseus
κύσσ' ἄρα μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλά.
kissed then him on-head both and both eyes fair
Αὐτόλυκος δ' υἱοῖσιν ἐκέκλετο κυδαλίμοισι
Autolycus and to-sons called glorious
δεῖπνον ἐφοπλίσσαι· τοὶ δ' ὀτρύνοντος ἄκουσαν,
supper to-prepare they and urging heard
αὐτίκα δ' εἰσάγαγον βοῦν ἄρσενα πενταέτηρον·
at-once and brought-in an-ox male five-year-old
τὸν δέρον ἀμφί θ' ἔπον, καί μιν διέχευαν ἅπαντα,
it they-flayed around and dressed and it cut-up all

μίστυλλόν τ᾽ ἄρ᾽ ἐπισταμένως πεῖράν τ᾽ ὀβελοῖσιν,
cut-small and then skillfully pierced(-it) and on-spits
ὤπτησάν τε περιφραδέως, δάσσαντό τε μοίρας.
roasted both carefully divided and the-portions
ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
so then indeed all day to sun setting
δαίνυντ᾽, οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης·
feasted nor at-all heart lacked of-a-feast equal
ἦμος δ᾽ ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθεν,
when and the-sun set and on darkness came
δὴ τότε κοιμήσαντο καὶ ὕπνου δῶρον ἕλοντο.
indeed then they-lay-down and of-sleep the-gift took
Ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
When and early-born appeared rosy-fingered Dawn
βάν ῥ᾽ ἴμεν ἐς θήρην, ἠμὲν κύνες ἠδὲ καὶ αὐτοὶ
went then to-go to the-hunt both the-dogs and also themselves
υἱέες Αὐτολύκου· μετὰ τοῖσι δὲ δῖος Ὀδυσσεὺς
the-sons of-Autolycus among them and noble Odysseus
ᾔϊεν· αἰπὺ δ᾽ ὄρος προσέβαν καταειμένον ὕλῃ
went steep and the-mountain they-climbed clad with-wood
Παρνησοῦ, τάχα δ᾽ ἵκανον πτύχας ἠνεμοέσσας.
of-Parnassus soon and they-reached the-glens windy
Ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας
the-sun indeed then newly struck the-fields
ἐξ ἀκαλαρρείταο βαθυρρόου Ὠκεανοῖο,
from softly-flowing deep-flowing Ocean

οἱ δ' ἐς βῆσσαν ἴκανον ἐπακτῆρες· πρὸ δ' ἄρ' αὐτῶν
they and to a-glade came the-beaters before and then them
ἴχνι' ἐρευνῶντες κύνες ἤϊσαν, αὐτὰρ ὄπισθεν
tracks searching-out the-dogs went but behind
υἱέες Αὐτολύκου· μετὰ τοῖσι δὲ δῖος Ὀδυσσεὺς
the-sons of-Autolycus among them and noble Odysseus
ἤϊεν ἄγχι κυνῶν, κραδάων δολιχόσκιον ἔγχος.
went near the-dogs brandishing long-shadowed spear
ἔνθα δ' ἄρ' ἐν λόχμῃ πυκινῇ κατέκειτο μέγας σῦς·
there and then in a-thicket dense lay great boar
τὴν μὲν ἄρ' οὔτ' ἀνέμων διάει μένος ὑγρὸν ἀέντων,
it indeed then neither of-winds pierced the-strength moist blowing
οὔτε μιν Ἠέλιος φαέθων ἀκτῖσιν ἔβαλλεν,
nor it the-sun shining with-rays struck
οὔτ' ὄμβρος περάασκε διαμπερές· ὣς ἄρα πυκνὴ
nor rain passed-through right-through so then dense
ἦεν, ἀτὰρ φύλλων ἐνέην χύσις ἤλιθα πολλή.
it-was but of-leaves was-in(-it) a-heap exceedingly much
τὸν δ' ἀνδρῶν τε κυνῶν τε περὶ κτύπος ἦλθε ποδοῖϊν,
him and of-men both of-dogs and around the-noise came of-feet
ὡς ἐπάγοντες ἐπῆσαν· ὁ δ' ἀντίος ἐκ ξυλόχοιο
as driving-on they-came he and to-meet from the-lair
φρίξας εὖ λοφιήν, πῦρ δ' ὀφθαλμοῖσι δεδορκώς,
bristling well mane fire and with-eyes glaring
στῆ ῥ' αὐτῶν σχεδόθεν· ὁ δ' ἄρα πρώτιστος Ὀδυσσεὺς
stood then them near he and then first Odysseus
ἔσσυτ' ἀνασχόμενος δολιχὸν δόρυ χειρὶ παχείῃ,
rushed raising long spear in-hand stout

οὐτάμεναι μεμαώς· ὁ δέ μιν φθάμενος ἔλασεν σῦς
to-wound eager he but him first struck the-boar
γουνὸς ὕπερ, πολλὸν δὲ διήφυσε σαρκὸς ὀδόντι
knee above much and tore-through of-flesh with-tusk
λικριφὶς ἀΐξας, οὐδ' ὀστέον ἵκετο φωτός.
sideways darting nor to-the-bone reached of-the-man
τὸν δ' Ὀδυσεὺς οὔτησε τυχὼν κατὰ δεξιὸν ὦμον,
him and Odysseus wounded hitting on right shoulder
ἀντικρὺ δὲ διῆλθε φαεινοῦ δουρὸς ἀκωκή·
straight-through and went of-the-shining spear the-point
κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακών, ἀπὸ δ' ἔπτατο θυμός.
down and he-fell in the-dust bellowing away and flew the-spirit
τὸν μὲν ἄρ' Αὐτολύκου παῖδες φίλοι ἀμφεπένοντο,
him indeed then of-Autolycus sons dear tended
ὠτειλὴν δ' Ὀδυσῆος ἀμύμονος ἀντιθέοιο
the-wound and of-Odysseus blameless godlike
δῆσαν ἐπισταμένως, ἐπαοιδῇ δ' αἷμα κελαινὸν
bound skillfully with-a-spell and blood black
ἔσχεθον, αἶψα δ' ἵκοντο φίλου πρὸς δώματα πατρός.
checked quickly and they-came of-dear to house of-father
τὸν μὲν ἄρ' Αὐτόλυκός τε καὶ υἱέες Αὐτολύκοιο
him indeed then Autolycus both and the-sons of-Autolycus
εὖ ἰησάμενοι ἠδ' ἀγλαὰ δῶρα πορόντες
well having-healed and glorious gifts having-given
καρπαλίμως χαίροντα φίλην ἐς πατρίδ' ἔπεμπον
quickly rejoicing dear to native-land sent
εἰς Ἰθάκην. τῷ μέν ῥα πατὴρ καὶ πότνια μήτηρ
to Ithaca him indeed then father and queenly mother
χαῖρον νοστήσαντι καὶ ἐξερέεινον ἕκαστα,
rejoiced at-his-return and asked each-thing

οὐλὴν ὅττι πάθοι· ὁ δ' ἄρα σφίσιν εὖ κατέλεξεν
the-scar how he-got he and then to-them well told
ὥς μιν θηρεύοντ' ἔλασεν σὺς λευκῷ ὀδόντι,
how him hunting struck a-boar with-white tusk
Παρνησόνδ' ἐλθόντα σὺν υἱάσιν Αὐτολύκοιο.
to-Parnassus having-gone with the-sons of-Autolycus
Τὴν γρηῢς χείρεσσι καταπρηνέσσι λαβοῦσα
This the-old-woman with-hands flat taking
γνῶ ῥ' ἐπιμασσαμένη, πόδα δὲ προέηκε φέρεσθαι·
knew then having-touched(-it) the-foot and let-go to-fall
ἐν δὲ λέβητι πέσε κνήμη, κανάχησε δὲ χαλκός,
in and the-basin fell the-shin rang and the-bronze
ἂψ δ' ἑτέρωσ' ἐκλίθη· τὸ δ' ἐπὶ χθονὸς ἐξέχυθ' ὕδωρ.
back and to-the-other-side it-tipped the and on the-ground was-spilled water
τὴν δ' ἅμα χάρμα καὶ ἄλγος ἕλε φρένα, τὼ δέ οἱ ὄσσε
her and at-once joy and grief seized in-mind the-two and her eyes
δακρυόφι πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
with-tears were-filled full and her was-checked voice
ἁψαμένη δὲ γενείου Ὀδυσσῆα προσέειπεν·
touching and the-chin Odysseus she-addressed
"Ἦ μάλ' Ὀδυσσεύς ἐσσι, φίλον τέκος· οὐδέ σ' ἐγώ γε
Truly very Odysseus you-are dear child nor you I indeed
πρὶν ἔγνων, πρὶν πάντα ἄνακτ' ἐμὸν ἀμφαφάασθαι."
before I-knew before all lord my to-touch

Eurycleia looks toward Penelope, but Athena has turned Penelope's mind away. Odysseus seizes the nurse by the throat and threatens her with death if she tells anyone. She promises to be as silent as stone or iron and offers to name the disloyal maids, but he says he will mark them himself. She fetches fresh water and finishes the washing, and he hides the scar under his rags.

Ἦ καὶ Πηνελόπειαν ἐσέδρακεν ὀφθαλμοῖσι,
She-spoke and at-Penelope looked with-eyes
πεφραδέειν ἐθέλουσα φίλον πόσιν ἔνδον ἐόντα.
to-show(-her) wishing dear husband within being
ἡ δ' οὔτ' ἀθρῆσαι δύνατ' ἀντίη οὔτε νοῆσαι·
she but neither to-see was-able facing(-her) nor to-perceive
τῇ γὰρ Ἀθηναίη νόον ἔτραπεν· αὐτὰρ Ὀδυσσεὺς
for-her for Athena the-mind had-turned but Odysseus
480 χεῖρ' ἐπιμασσάμενος φάρυγος λάβε δεξιτερῇφι,
with-hand feeling-for the-throat seized with-the-right
τῇ δ' ἑτέρῃ ἔθεν ἆσσον ἐρύσσατο φώνησέν τε.
with-the and other himself nearer drew spoke and
"Μαῖα, τίη μ' ἐθέλεις ὀλέσαι; σὺ δέ μ' ἔτρεφες αὐτὴ
Nurse why me do-you-wish to-destroy you and me nursed yourself
τῷ σῷ ἐπὶ μαζῷ· νῦν δ' ἄλγεα πολλὰ μογήσας
at your at breast now and pains many having-suffered
ἤλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
I-have-come in-the-twentieth year to native land
485 ἀλλ' ἐπεὶ ἐφράσθης καί τοι θεὸς ἔμβαλε θυμῷ,
but since you-have-perceived and to-you a-god has-put(-it) in-heart
σίγα, μή τίς τ' ἄλλος ἐνὶ μεγάροισι πύθηται.
be-silent lest any — other in the-halls learn(-it)

ὧδε γὰρ ἐξερέω, καὶ μὴν τετελεσμένον ἔσται·
thus for I-will-declare and surely fulfilled it-will-be
εἴ χ' ὑπ' ἐμοί γε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυούς,
if — by me indeed a-god subdues the-suitors lordly
οὐδὲ τροφοῦ οὕσης σεῦ ἀφέξομαι, ὁππότ' ἂν ἄλλας
not-even my-nurse being you will-I-spare when — the-other
δμῳὰς ἐν μεγάροισιν ἐμοῖς κτείνωμι γυναῖκας." 490
maidservants in halls my I-kill women

Τὸν δ' αὖτε προσέειπε περίφρων Εὐρύκλεια·
Him and in-turn addressed wise Eurycleia
"Τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.
Child my what you word escaped the-fence of-teeth
οἶσθα μὲν οἷον ἐμὸν μένος ἔμπεδον οὐδ' ἐπιεικτόν,
you-know indeed what-kind my might steadfast nor yielding
ἕξω δ' ὡς ὅτε τις στερεὴ λίθος ἠὲ σίδηρος.
I-will-hold and as when some hard stone or iron
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν· 495
another-thing and to-you I-will-tell you and in mind lay(-it) your
εἴ χ' ὑπὸ σοί γε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυούς,
if — by you indeed a-god subdues the-suitors lordly
δὴ τότε τοι καταλέξω ἐνὶ μεγάροισι γυναῖκας,
indeed then to-you I-will-recount in the-halls the-women
αἵ τέ σ' ἀτιμάζουσι καὶ αἳ νηλείτιδές εἰσι."
who both you dishonor and who guiltless are

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Her and answering addressed of-many-wiles Odysseus
"Μαῖα, τίη δὲ σὺ τὰς μυθήσεαι; οὐδέ τί σε χρή. 500
Nurse why and you of-them will-tell nor at-all you need

εὖ νυ καὶ αὐτὸς ἐγὼ φράσομαι καὶ εἴσομ᾽ ἑκάστην·
well now also myself I will-mark and will-know each
ἀλλ᾽ ἔχε σιγῇ μῦθον, ἐπίτρεψον δὲ θεοῖσιν.”
but keep in-silence the-word leave(-it) and to-the-gods
Ὣς ἄρ᾽ ἔφη, γρηῢς δὲ διὲκ μεγάροιο βεβήκει
So then he-spoke the-old-woman and through the-hall went
οἰσομένη ποδάνιπτρα· τὰ γὰρ πρότερ᾽ ἔκχυτο πάντα.
to-fetch foot-water that for before was-spilled all
αὐτὰρ ἐπεὶ νίψεν τε καὶ ἤλειψεν λίπ᾽ ἐλαίῳ,
but when she-had-washed both and anointed richly with-oil
αὖτις ἄρ᾽ ἀσσοτέρω πυρὸς ἕλκετο δίφρον Ὀδυσσεὺς
again then nearer the-fire drew the-stool Odysseus
θερσόμενος, οὐλὴν δὲ κατὰ ῥακέεσσι κάλυψε.
to-warm-himself the-scar and down with-the-rags he-covered

XIX.8 · PENELOPE’S DREAM

Penelope tells the stranger her heart is torn like the nightingale’s song, between staying and marrying, and asks him to read a dream in which an eagle killed her geese and spoke as Odysseus. He says it is plain. She answers that dreams come through gates of horn and ivory, and announces a contest: she will marry whoever strings Odysseus’ bow and shoots through twelve axes. He urges her not to delay it, and she goes up to weep.

Τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·
To-them and of-speech began wise Penelope
“Ξεῖνε, τὸ μέν σ᾽ ἔτι τυτθὸν ἐγὼν εἰρήσομαι αὐτή·
Stranger this indeed you still a-little I will-ask myself
καὶ γὰρ δὴ κοίτοιο τάχ᾽ ἔσσεται ἡδέος ὥρη,
also for indeed of-rest soon will-be sweet the-hour

ὅν τινά γ' ὕπνος ἕλοι γλυκερός, καὶ κηδόμενόν περ.
whom any indeed sleep should-take sweet even troubled though
αὐτὰρ ἐμοὶ καὶ πένθος ἀμέτρητον πόρε δαίμων·
but to-me also grief immeasurable has-given a-god
ἤματα μὲν γὰρ τέρπομ' ὀδυρομένη, γοόωσα,
by-days indeed for I-delight lamenting mourning
ἔς τ' ἐμὰ ἔργ' ὁρόωσα καὶ ἀμφιπόλων ἐνὶ οἴκῳ·
at and my work looking and of-the-handmaids in the-house
αὐτὰρ ἐπὴν νὺξ ἔλθῃ, ἕλησί τε κοῖτος ἅπαντας,
but when night comes takes and rest all
κεῖμαι ἐνὶ λέκτρῳ, πυκιναὶ δέ μοι ἀμφ' ἀδινὸν κῆρ
I-lie in bed thick and my around throbbing heart
ὀξεῖαι μελεδῶνες ὀδυρομένην ἐρέθουσιν.
sharp cares lamenting(-me) torment
ὡς δ' ὅτε Πανδαρέου κούρη, χλωρηΐς ἀηδών,
as and when of-Pandareus the-daughter pale-green nightingale
καλὸν ἀείδῃσιν ἔαρος νέον ἱσταμένοιο,
fair sings of-spring newly set-in
δενδρέων ἐν πετάλοισι καθεζομένη πυκινοῖσιν,
of-trees among leaves sitting thick
ἥ τε θαμὰ τρωπῶσα χέει πολυηχέα φωνήν,
who — often changing pours many-toned voice
παῖδ' ὀλοφυρομένη Ἴτυλον φίλον, ὅν ποτε χαλκῷ
child bewailing Itylus dear whom once with-bronze
κτεῖνε δι' ἀφραδίας, κοῦρον Ζήθοιο ἄνακτος,
she-killed through folly the-son of-Zethus the-lord
ὣς καὶ ἐμοὶ δίχα θυμὸς ὀρώρεται ἔνθα καὶ ἔνθα,
so also my in-two heart is-stirred this-way and that-way
ἠὲ μένω παρὰ παιδὶ καὶ ἔμπεδα πάντα φυλάσσω,
whether I-stay with the-child and steadfast all guard

κτῆσιν ἐμήν, δμῳάς τε καὶ ὑψερεφὲς μέγα δῶμα,
possessions my slaves both and high-roofed great house
εὐνήν τ' αἰδομένη πόσιος δήμοιό τε φῆμιν,
the-bed both respecting of-husband of-the-people and the-voice
ἢ ἤδη ἄμ' ἕπωμαι Ἀχαιῶν ὅς τις ἄριστος
or already with(-him) I-go of-the-Achaeans who any best
μνᾶται ἐνὶ μεγάροισι, πορὼν ἀπερείσια ἕδνα.
woos in the-halls having-given countless bride-gifts
παῖς δ' ἐμὸς ἧος ἔην ἔτι νήπιος ἠδὲ χαλίφρων,
son and my while he-was still a-child and slack-witted
γήμασθ' οὔ μ' εἴα πόσιος κατὰ δῶμα λιποῦσαν·
to-marry not me let husband's behind house leaving
νῦν δ' ὅτε δὴ μέγας ἐστὶ καὶ ἥβης μέτρον ἱκάνει,
now but when indeed big he-is and of-youth the-measure reaches
καὶ δή μ' ἀρᾶται πάλιν ἐλθέμεν ἐκ μεγάροιο,
even indeed me he-prays back to-go from the-hall
κτήσιος ἀσχαλόων, τήν οἱ κατέδουσιν Ἀχαιοί.
for-the-property chafing which his devour the-Achaeans
ἀλλ' ἄγε μοι τὸν ὄνειρον ὑπόκριναι καὶ ἄκουσον.
but come to-me the dream interpret and hear
χῆνές μοι κατὰ οἶκον ἐείκοσι πυρὸν ἔδουσιν
geese for-me through the-house twenty wheat eat
ἐξ ὕδατος, καί τέ σφιν ἰαίνομαι εἰσορόωσα·
from the-water and — at-them I-am-warmed looking
ἐλθὼν δ' ἐξ ὄρεος μέγας αἰετὸς ἀγκυλοχείλης
coming and from the-mountain a-great eagle crook-beaked
πᾶσι κατ' αὐχένας ἦξε καὶ ἔκτανεν· οἱ δ' ἐκέχυντο
on-all down necks broke and killed they and were-strewn
ἀθρόοι ἐν μεγάροις, ὁ δ' ἐς αἰθέρα δῖαν ἀέρθη.
heaped in the-halls he and to the-air bright was-lifted

αὐτὰρ ἐγὼ κλαῖον καὶ ἐκώκυον ἔν περ ὀνείρῳ,
but I wept and wailed in indeed the-dream
ἀμφὶ δ' ἔμ' ἠγερέθοντο ἐϋπλοκαμῖδες Ἀχαιαί,
around and me gathered fair-tressed Achaean-women
οἴκτρ' ὀλοφυρομένην ὅ μοι αἰετὸς ἔκτανε χῆνας.
piteously lamenting because my eagle had-killed the-geese
ἂψ δ' ἐλθὼν κατ' ἄρ' ἕζετ' ἐπὶ προὔχοντι μελάθρῳ,
back and coming down then he-sat on the-projecting roof-beam
φωνῇ δὲ βροτέῃ κατερήτυε φώνησέν τε·
with-voice and mortal checked(-me) spoke and
"'Θάρσει, Ἰκαρίου κούρη τηλεκλειτοῖο·
Take-heart of-Icarius daughter far-famed
οὐκ ὄναρ, ἀλλ' ὕπαρ ἐσθλόν, ὅ τοι τετελεσμένον ἔσται.
not a-dream but a-waking-vision good which to-you fulfilled will-be
χῆνες μὲν μνηστῆρες, ἐγὼ δέ τοι αἰετὸς ὄρνις
geese indeed the-suitors I and to-you eagle bird
ἦα πάρος, νῦν αὖτε τεὸς πόσις εἰλήλουθα,
was before now in-turn your husband have-come
ὃς πᾶσι μνηστῆρσιν ἀεικέα πότμον ἐφήσω.'
who on-all the-suitors unseemly doom will-send
" Ὣς ἔφατ', αὐτὰρ ἐμὲ μελιηδὴς ὕπνος ἀνῆκε·
So he-spoke but me honey-sweet sleep released
παπτήνασα δὲ χῆνας ἐνὶ μεγάροισι νόησα
looking-about and the-geese in the-halls I-saw
πυρὸν ἐρεπτομένους παρὰ πύελον, ἦχι πάρος περ."
wheat pecking by the-trough where before indeed

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Her and answering addressed of-many-wiles Odysseus
"Ὦ γύναι, οὔ πως ἔστιν ὑποκρίνασθαι ὄνειρον
O woman not in-any-way it-is-possible to-interpret the-dream
ἄλλῃ ἀποκλίναντ', ἐπεὶ ἦ ῥά τοι αὐτὸς Ὀδυσσεὺς
otherwise bending(-it) since truly then to-you himself Odysseus
πέφραδ' ὅπως τελέει· μνηστῆρσι δὲ φαίνετ' ὄλεθρος
has-shown how he-will-accomplish(-it) to-the-suitors and appears destruction
πᾶσι μάλ', οὐδέ κέ τις θάνατον καὶ κῆρας ἀλύξει."
for-all very nor — any death and dooms will-escape
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Him and in-turn addressed wise Penelope
"Ξεῖν', ἦ τοι μὲν ὄνειροι ἀμήχανοι ἀκριτόμυθοι
Stranger truly indeed indeed dreams baffling of-confused-speech
γίγνοντ', οὐδέ τι πάντα τελείεται ἀνθρώποισι.
are nor at-all all are-fulfilled for-men
δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων·
two for — gates of-unsubstantial are dreams
αἱ μὲν γὰρ κεράεσσι τετεύχαται, αἱ δ' ἐλέφαντι·
these indeed for of-horn are-made those and of-ivory
τῶν οἳ μέν κ' ἔλθωσι διὰ πριστοῦ ἐλέφαντος,
of-these which indeed — come through sawn ivory
οἵ ῥ' ἐλεφαίρονται, ἔπε' ἀκράαντα φέροντες·
they then deceive words unfulfilled bringing
οἱ δὲ διὰ ξεστῶν κεράων ἔλθωσι θύραζε,
they and through polished horn come out-of-doors
οἵ ῥ' ἔτυμα κραίνουσι, βροτῶν ὅτε κέν τις ἴδηται.
they then true-things accomplish of-mortals when — anyone sees(-them)

ἀλλ᾽ ἐμοὶ οὐκ ἐντεῦθεν ὀΐομαι αἰνὸν ὄνειρον
but to-me not from-there I-think the-dread dream
ἐλθέμεν· ἦ κ᾽ ἀσπαστὸν ἐμοὶ καὶ παιδὶ γένοιτο.
to-have-come truly — welcome to-me and to-the-son it-would-be
ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν· 570
another-thing and to-you I-will-tell you and in mind lay(-it) your
ἥδε δὴ ἠὼς εἶσι δυσώνυμος, ἥ μ᾽ Ὀδυσῆος
this indeed dawn will-come ill-named which me from-Odysseus'
οἴκου ἀποσχήσει· νῦν γὰρ καταθήσω ἄεθλον,
house will-cut-off now for I-will-set a-contest
τοὺς πελέκεας, τοὺς κεῖνος ἐνὶ μεγάροισιν ἑοῖσιν
the axes which he in halls his-own
ἵστασχ᾽ ἑξείης, δρυόχους ὥς, δώδεκα πάντας·
used-to-set in-a-row trestles like twelve all
στὰς δ᾽ ὅ γε πολλὸν ἄνευθε διαρρίπτασκεν ὀϊστόν. 575
standing and he indeed far away used-to-shoot-through an-arrow
νῦν δὲ μνηστήρεσσιν ἄεθλον τοῦτον ἐφήσω·
now and for-the-suitors contest this I-will-set
ὃς δέ κε ῥηΐτατ᾽ ἐντανύσῃ βιὸν ἐν παλάμῃσι
who and — most-easily strings the-bow in hands
καὶ διοϊστεύσῃ πελέκεων δυοκαίδεκα πάντων,
and shoots-through axes twelve all
τῷ κεν ἅμ᾽ ἑσποίμην, νοσφισσαμένη τόδε δῶμα
him — with I-would-follow leaving this house
κουρίδιον, μάλα καλόν, ἐνίπλειον βιότοιο· 580
of-my-marriage very fair full of-livelihood
τοῦ ποτὲ μεμνήσεσθαι ὀΐομαι ἔν περ ὀνείρῳ."
which some-day to-remember I-think in indeed a-dream

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Her and answering addressed of-many-wiles Odysseus
"Ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
O woman revered of-the-son-of-Laertes Odysseus
μηκέτι νῦν ἀνάβαλλε δόμοις ἔνι τοῦτον ἄεθλον·
no-longer now put-off the-house in this contest
πρὶν γάρ τοι πολύμητις ἐλεύσεται ἐνθάδ' Ὀδυσσεύς,
before for you-know of-many-wiles will-come here Odysseus
πρὶν τούτους τόδε τόξον ἐΰξοον ἀμφαφόωντας
before these this bow well-polished handling
νευρήν τ' ἐντανύσαι διοϊστεῦσαί τε σιδήρου."
the-string both to-stretch to-shoot-through and the-iron
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Him and in-turn addressed wise Penelope
"Εἴ κ' ἐθέλοις μοι, ξεῖνε, παρήμενος ἐν μεγάροισι
If — you-were-willing for-me stranger sitting-beside(-me) in the-halls
τέρπειν, οὔ κέ μοι ὕπνος ἐπὶ βλεφάροισι χυθείη.
to-delight not — my sleep on eyelids would-be-poured
ἀλλ' οὐ γάρ πως ἔστιν ἀΰπνους ἔμμεναι αἰεὶ
but not for in-any-way it-is-possible sleepless to-be always
ἀνθρώπους· ἐπὶ γάρ τοι ἑκάστῳ μοῖραν ἔθηκαν
men upon for you-know each a-portion have-set
ἀθάνατοι θνητοῖσιν ἐπὶ ζείδωρον ἄρουραν.
the-immortals for-mortals over grain-giving earth
ἀλλ' ἦ τοι μὲν ἐγὼν ὑπερώϊον εἰσαναβᾶσα
but truly indeed indeed I the-upper-room having-gone-up
λέξομαι εἰς εὐνήν, ἥ μοι στονόεσσα τέτυκται,
will-lie-down on the-bed which for-me mournful has-become

αἰεὶ δάκρυσ᾽ ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς
always with-tears my stained from when Odysseus
ᾤχετ᾽ ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν.
went to-see Evil-Ilion not to-be-named
ἔνθα κε λεξαίμην· σὺ δὲ λέξεο τῷδ᾽ ἐνὶ οἴκῳ,
there — I-would-lie-down you and lie-down this in house
ἢ χαμάδις στορέσας ἤ τοι κατὰ δέμνια θέντων.”
either on-the-ground strewing or for-you down a-bedstead let-them-set
Ὣς εἰποῦσ᾽ ἀνέβαιν᾽ ὑπερῴϊα σιγαλόεντα, 600
So having-spoken she-went-up to-the-upper-room shining
οὐκ οἴη, ἅμα τῇ γε καὶ ἀμφίπολοι κίον ἄλλαι.
not alone with her indeed also handmaids went others
ἐς δ᾽ ὑπερῷ᾽ ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶ
to and the-upper-rooms having-gone-up with handmaid women
κλαῖεν ἔπειτ᾽ Ὀδυσῆα, φίλον πόσιν, ὄφρα οἱ ὕπνον
she-wept then Odysseus dear husband until on-her sleep
ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.
sweet on eyelids cast flashing-eyed Athena

BOOK XX

XX.1 · ODYSSEUS LIES AWAKE

Odysseus lies sleepless in the forecourt and sees the maids go laughing to the suitors. His heart growls like a bitch over her puppies, and he bids it endure, as it endured the Cyclops. He tosses like a paunch on the fire, wondering how one man can fight so many. Athena reassures him and sends sleep. Penelope wakes and prays to Artemis for death, since even her dreams bring Odysseus to her side.

Αὐτὰρ ὁ ἐν προδόμῳ εὐνάζετο δῖος Ὀδυσσεύς·
But he in the-forecourt lay-down noble Odysseus
κὰμ μὲν ἀδέψητον βοέην στόρεσ', αὐτὰρ ὕπερθε
down indeed an-untanned ox-hide spread but above
κώεα πόλλ' οἰῶν, τοὺς ἱρεύεσκον Ἀχαιοί·
fleeces many of-sheep which used-to-sacrifice the-Achaeans
Εὐρυνόμη δ' ἄρ' ἐπὶ χλαῖναν βάλε κοιμηθέντι.
Eurynome and then over a-cloak threw on-him-lying-down
ἔνθ' Ὀδυσεὺς μνηστῆρσι κακὰ φρονέων ἐνὶ θυμῷ
there Odysseus for-the-suitors evils devising in heart
κεῖτ' ἐγρηγορόων· ταὶ δ' ἐκ μεγάροιο γυναῖκες
lay awake they and from the-hall the-women
ἤϊσαν, αἳ μνηστῆρσιν ἐμισγέσκοντο πάρος περ,
went who with-the-suitors used-to-lie before indeed
ἀλλήλῃσι γέλω τε καὶ εὐφροσύνην παρέχουσαι.
to-each-other laughter both and merriment giving
τοῦ δ' ὠρίνετο θυμὸς ἐνὶ στήθεσσι φίλοισι·
his and was-stirred heart in breast dear
πολλὰ δὲ μερμήριζε κατὰ φρένα καὶ κατὰ θυμόν,
much and he-pondered in mind and in heart

ἠὲ μεταΐξας θάνατον τεύξειεν ἑκάστῃ,
whether rushing-after(-them) death he-should-deal to-each
ἦ ἔτ' ἐῷ μνηστῆρσιν ὑπερφιάλοισι μιγῆναι
or still he-should-let with-the-suitors overbearing to-lie
ὕστατα καὶ πύματα, κραδίη δέ οἱ ἔνδον ὑλάκτει.
last and latest the-heart and his within growled
ὡς δὲ κύων ἀμαλῇσι περὶ σκυλάκεσσι βεβῶσα
as and a-bitch tender around puppies standing
ἄνδρ' ἀγνοιήσασ' ὑλάει μέμονέν τε μάχεσθαι,
a-man not-knowing barks is-eager and to-fight
ὣς ῥα τοῦ ἔνδον ὑλάκτει ἀγαιομένου κακὰ ἔργα·
so then his within growled resenting evil deeds
στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ·
the-breast and striking the-heart he-rebuked with-speech
"Τέτλαθι δή, κραδίη· καὶ κύντερον ἄλλο ποτ' ἔτλης.
Endure indeed heart even more-shameless other-thing once you-endured
ἤματι τῷ ὅτε μοι μένος ἄσχετος ἤσθιε Κύκλωψ
on-the-day that when my might unchecked was-eating the-Cyclops
ἰφθίμους ἑτάρους· σὺ δ' ἐτόλμας, ὄφρα σε μῆτις
mighty comrades you but endured until you cunning
ἐξάγαγ' ἐξ ἄντροιο ὀϊόμενον θανέεσθαι."
led from the-cave thinking to-die
Ὣς ἔφατ', ἐν στήθεσσι καθαπτόμενος φίλον ἦτορ·
So he-spoke in breast rebuking dear heart
τῷ δὲ μάλ' ἐν πείσῃ κραδίη μένε τετληυῖα
for-him and very in obedience the-heart remained enduring
νωλεμέως· ἀτὰρ αὐτὸς ἑλίσσετο ἔνθα καὶ ἔνθα.
steadfastly but himself was-tossing this-way and that-way
ὡς δ' ὅτε γαστέρ' ἀνὴρ πολέος πυρὸς αἰθομένοιο,
as and when a-paunch a-man of-great fire blazing

ἐμπλείην κνίσης τε καὶ αἵματος, ἔνθα καὶ ἔνθα
filled with-fat both and blood this-way and that-way
αἰόλλῃ, μάλα δ' ὦκα λιλαίεται ὀπτηθῆναι,
turns very and swiftly longs to-be-roasted
ὣς ἄρ' ὅ γ' ἔνθα καὶ ἔνθα ἑλίσσετο, μερμηρίζων
so then he indeed this-way and that-way was-tossing pondering
ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσει
how indeed on-the-suitors shameless hands he-should-lay
μοῦνος ἐὼν πολέσι. σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη
alone being against-many near and to-him came Athena
οὐρανόθεν καταβᾶσα· δέμας δ' ἤϊκτο γυναικί·
from-heaven having-come-down in-form and was-like to-a-woman
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπε·
stood and then over the-head and him to speech said
"Τίπτ' αὖτ' ἐγρήσσεις, πάντων περὶ κάμμορε φωτῶν;
Why again are-you-awake of-all beyond ill-fated men
οἶκος μέν τοι ὅδ' ἐστί, γυνὴ δέ τοι ἥδ' ἐνὶ οἴκῳ
house indeed your this is a-wife and your this-one in the-house
καὶ πάϊς, οἷόν πού τις ἐέλδεται ἔμμεναι υἷα."
and a-son such-as surely anyone wishes to-be a-son
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Her and answering addressed of-many-wiles Odysseus
"Ναὶ δὴ ταῦτά γε πάντα, θεά, κατὰ μοῖραν ἔειπες·
Yes indeed these-things indeed all goddess according-to due you-have-spoken
ἀλλά τί μοι τόδε θυμὸς ἐνὶ φρεσὶ μερμηρίζει,
but somewhat my this heart in mind ponders
ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσω,
how indeed on-the-suitors shameless hands I-should-lay
μοῦνος ἐών· οἱ δ' αἰὲν ἀολλέες ἔνδον ἔασι.
alone being they and always in-a-throng within are

πρὸς δ' ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶ μερμηρίζω·
besides and still also this greater in mind I-ponder
εἴ περ γὰρ κτείναιμι Διός τε σέθεν τε ἔκητι,
if indeed for I-should-kill of-Zeus both of-you and by-favor
πῆ κεν ὑπεκπροφύγοιμι; τά σε φράζεσθαι ἄνωγα."
where — should-I-escape these you to-consider I-bid
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Him and in-turn addressed the-goddess flashing-eyed Athena
"Σχέτλιε, καὶ μέν τίς τε χερείονι πείθεθ' ἑταίρῳ,
Cruel-one and indeed anyone — a-worse trusts comrade
ὅς περ θνητός τ' ἐστὶ καὶ οὐ τόσα μήδεα οἶδεν·
who indeed mortal — is and not so-many counsels knows
αὐτὰρ ἐγὼ θεός εἰμι, διαμπερὲς ἥ σε φυλάσσω
but I a-god am throughout who you guard
ἐν πάντεσσι πόνοις. ἐρέω δέ τοι ἐξαναφανδόν·
in all toils I-will-tell and to-you plainly
εἴ περ πεντήκοντα λόχοι μερόπων ἀνθρώπων
if indeed fifty bands of-mortal men
νῶϊ περισταῖεν, κτεῖναι μεμαῶτες Ἄρηϊ,
us-two should-surround to-kill eager in-battle
καί κεν τῶν ἐλάσαιο βόας καὶ ἴφια μῆλα.
even — their you-would-drive-off kine and fat flocks
ἀλλ' ἐλέτω σε καὶ ὕπνος· ἀνίη καὶ τὸ φυλάσσειν
but let-take you also sleep a-vexation also the to-watch
πάννυχον ἐγρήσσοντα, κακῶν δ' ὑποδύσεαι ἤδη."
all-night waking from-evils and you-will-emerge soon
Ὣς φάτο, καί ῥά οἱ ὕπνον ἐπὶ βλεφάροισιν ἔχευεν,
So she-spoke and then on-his sleep on eyelids poured
αὐτὴ δ' ἂψ ἐς Ὄλυμπον ἀφίκετο δῖα θεάων.
she-herself and back to Olympus went bright of-goddesses

Εὖτε τὸν ὕπνος ἔμαρπτε, λύων μελεδήματα θυμοῦ,
When him sleep seized loosing the-cares of-the-heart
λυσιμελής, ἄλοχος δ' ἄρ' ἐπέγρετο κεδνὰ ἰδυῖα·
limb-loosening the-wife and then woke careful-things knowing
κλαῖε δ' ἄρ' ἐν λέκτροισι καθεζομένη μαλακοῖσιν.
she-wept and then in bed sitting soft
αὐτὰρ ἐπεὶ κλαίουσα κορέσσατο ὃν κατὰ θυμόν,
but when weeping she-had-had-her-fill her-own in heart
Ἀρτέμιδι πρώτιστον ἐπεύξατο δῖα γυναικῶν·
to-Artemis first prayed bright among-women
" Ἄρτεμι, πότνα θεά, θύγατερ Διός, αἴθε μοι ἤδη
Artemis queenly goddess daughter of-Zeus would-that me now
ἰὸν ἐνὶ στήθεσσι βαλοῦσ' ἐκ θυμὸν ἕλοιο
an-arrow in breast casting out life you-would-take
αὐτίκα νῦν, ἢ ἔπειτα μ' ἀναρπάξασα θύελλα
at-once now or afterward me snatching-up a-storm-wind
οἴχοιτο προφέρουσα κατ' ἠερόεντα κέλευθα,
may-go bearing-off along misty paths
ἐν προχοῇς δὲ βάλοι ἀψορρόου Ὠκεανοῖο.
at the-mouths and may-cast of-back-flowing Ocean
ὡς δ' ὅτε Πανδαρέου κούρας ἀνέλοντο θύελλαι·
as and when of-Pandareus the-daughters took-up storm-winds
τῇσι τοκῆας μὲν φθῖσαν θεοί, αἱ δ' ἐλίποντο
for-them the-parents indeed destroyed the-gods they and were-left
ὀρφαναὶ ἐν μεγάροισι, κόμισσε δὲ δῖ' Ἀφροδίτη
orphans in the-halls tended and bright Aphrodite
τυρῷ καὶ μέλιτι γλυκερῷ καὶ ἡδεῖ οἴνῳ·
with-cheese and honey sweet and pleasant wine

Ἥρη δ' αὐτῇσιν περὶ πασέων δῶκε γυναικῶν
Hera and to-them beyond all gave women
εἶδος καὶ πινυτήν, μῆκος δ' ἔπορ' Ἄρτεμις ἁγνή,
beauty and wisdom stature and gave Artemis pure
ἔργα δ' Ἀθηναίη δέδαε κλυτὰ ἐργάζεσθαι.
works and Athena taught famous to-do
εὖτ' Ἀφροδίτη δῖα προσέστιχε μακρὸν Ὄλυμπον,
when Aphrodite bright went-up-to high Olympus
κούρῃς αἰτήσουσα τέλος θαλεροῖο γάμοιο —
for-the-girls to-ask-for the-end of-blooming marriage
ἐς Δία τερπικέραυνον, ὁ γάρ τ' εὖ οἶδεν ἅπαντα,
to Zeus thunder-delighting he for — well knows all-things
μοῖράν τ' ἀμμορίην τε καταθνητῶν ἀνθρώπων —
fate both ill-fate and of-mortal men
τόφρα δὲ τὰς κούρας ἅρπυιαι ἀνηρείψαντο
meanwhile and the girls the-storm-winds snatched-away
καί ῥ' ἔδοσαν στυγερῇσιν ἐρινύσιν ἀμφιπολεύειν·
and then gave to-hateful furies to-serve
ὣς ἔμ' ἀϊστώσειαν Ὀλύμπια δώματ' ἔχοντες,
so me may-blot-out Olympian houses having
ἠέ μ' ἐϋπλόκαμος βάλοι Ἄρτεμις, ὄφρ' Ὀδυσῆα
or me fair-tressed may-strike Artemis so-that Odysseus
ὀσσομένη καὶ γαῖαν ὕπο στυγερὴν ἀφικοίμην,
seeing-in-mind even earth beneath hateful I-may-go
μηδέ τι χείρονος ἀνδρὸς ἐϋφραίνοιμι νόημα.
nor at-all of-a-worse man I-may-gladden the-mind
ἀλλὰ τὸ μὲν καὶ ἀνεκτὸν ἔχει κακόν, ὁππότε κέν τις
but this indeed even bearable has the-evil when — anyone
ἤματα μὲν κλαίῃ, πυκινῶς ἀκαχήμενος ἦτορ,
by-days indeed weeps thickly grieved at-heart

νύκτας δ' ὕπνος ἔχῃσιν — ὁ γάρ τ' ἐπέλησεν ἁπάντων,
by-nights but sleep holds he for — makes-forget all
ἐσθλῶν ἠδὲ κακῶν, ἐπεὶ ἄρ βλέφαρ' ἀμφικαλύψῃ —
good and evil when then the-eyelids it-covers
αὐτὰρ ἐμοὶ καὶ ὀνείρατ' ἐπέσσευεν κακὰ δαίμων.
but to-me also dreams has-sent evil a-god
τῇδε γὰρ αὖ μοι νυκτὶ παρέδραθεν εἴκελος αὐτῷ,
this for again by-me night slept-beside like him
τοῖος ἐὼν οἷος ἦεν ἅμα στρατῷ· αὐτὰρ ἐμὸν κῆρ
such being as he-was with the-host but my heart
χαῖρ', ἐπεὶ οὐκ ἐφάμην ὄναρ ἔμμεναι, ἀλλ' ὕπαρ ἤδη."
rejoiced since not I-thought a-dream to-be but a-waking-vision already

XX.2 · THE OMENS OF THE DAY

At dawn Odysseus prays for a sign, and Zeus thunders from a clear sky while a weak woman grinding at the mill prays that this be the suitors' last feast. Telemachus asks Eurycleia how the stranger was cared for and goes to the assembly, and she sets the maids to make ready the house for the feast day. Eumaeus brings fatted hogs, and Melanthius comes with goats and taunts Odysseus again.

Ὣς ἔφατ', αὐτίκα δὲ χρυσόθρονος ἦλυθεν Ἠώς.
So she-spoke at-once and golden-throned came Dawn
τῆς δ' ἄρα κλαιούσης ὄπα σύνθετο δῖος Ὀδυσσεύς·
her and then weeping the-voice heard noble Odysseus
μερμήριζε δ' ἔπειτα, δόκησε δέ οἱ κατὰ θυμὸν
he-pondered and then it-seemed and to-him in heart
ἤδη γιγνώσκουσα παρεστάμεναι κεφαλῆφι.
already recognizing(-him) to-stand-by at-his-head
χλαῖναν μὲν συνελὼν καὶ κώεα, τοῖσιν ἐνεῦδεν,
the-cloak indeed gathering and the-fleeces on-which he-had-slept

ἐς μέγαρον κατέθηκεν ἐπὶ θρόνου, ἐκ δὲ βοείην
into the-hall he-laid on a-chair out and the-ox-hide
θῆκε θύραζε φέρων, Διὶ δ' εὔξατο χεῖρας ἀνασχών·
set out-of-doors carrying to-Zeus and prayed hands raising
"Ζεῦ πάτερ, εἴ μ' ἐθέλοντες ἐπὶ τραφερήν τε καὶ ὑγρὴν
Zeus father if me willingly over dry both and wet
ἤγετ' ἐμὴν ἐς γαῖαν, ἐπεί μ' ἐκακώσατε λίην,
you-have-brought my to land after me you-had-afflicted exceedingly
φήμην τίς μοι φάσθω ἐγειρομένων ἀνθρώπων
an-omen some for-me let-speak of-those-waking men
ἔνδοθεν, ἔκτοσθεν δὲ Διὸς τέρας ἄλλο φανήτω."
within outside and of-Zeus sign another let-appear
Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε μητίετα Ζεύς,
So he-spoke praying him and heard counselor Zeus
αὐτίκα δ' ἐβρόντησεν ἀπ' αἰγλήεντος Ὀλύμπου,
at-once and he-thundered from gleaming Olympus
ὑψόθεν ἐκ νεφέων· γήθησε δὲ δῖος Ὀδυσσεύς.
from-on-high out-of the-clouds rejoiced and noble Odysseus
φήμην δ' ἐξ οἴκοιο γυνὴ προέηκεν ἀλετρὶς
an-omen and from the-house a-woman uttered grinding-at-the-mill
πλησίον, ἔνθ' ἄρα οἱ μύλαι ἦατο ποιμένι λαῶν,
near where then his mills stood for-the-shepherd of-the-people
τῇσιν δώδεκα πᾶσαι ἐπερρώοντο γυναῖκες
at-which twelve all toiled women
ἄλφιτα τεύχουσαι καὶ ἀλείατα, μυελὸν ἀνδρῶν.
barley-meal making and wheat-meal the-marrow of-men
αἱ μὲν ἄρ' ἄλλαι εὗδον, ἐπεὶ κατὰ πυρὸν ἄλεσσαν,
the indeed then others slept since down the-wheat they-had-ground

ἡ δὲ μί᾽ οὔπω παύετ᾽, ἀφαυροτάτη δ᾽ ἐτέτυκτο·
she but one not-yet ceased the-weakest and she-was
ἥ ῥα μύλην στήσασα ἔπος φάτο, σῆμα ἄνακτι·
who then the-mill stopping word spoke a-sign for-the-lord
"Ζεῦ πάτερ, ὅς τε θεοῖσι καὶ ἀνθρώποισιν ἀνάσσεις,
Zeus father who — over-gods and men rule
ἦ μεγάλ᾽ ἐβρόντησας ἀπ᾽ οὐρανοῦ ἀστερόεντος,
truly greatly you-have-thundered from heaven starry
οὐδέ ποθι νέφος ἐστί· τέρας νύ τεῳ τόδε φαίνεις.
nor anywhere a-cloud is a-sign now to-someone this you-show
κρῆνον νῦν καὶ ἐμοὶ δειλῇ ἔπος, ὅττι κεν εἴπω·
fulfill now also for-me wretched the-word whatever — I-say
μνηστῆρες πύματόν τε καὶ ὕστατον ἤματι τῷδε
the-suitors the-last both and latest on-day this
ἐν μεγάροις Ὀδυσῆος ἑλοίατο δαῖτ᾽ ἐρατεινήν,
in the-halls of-Odysseus may-take feast lovely
οἳ δή μοι καμάτῳ θυμαλγέϊ γούνατ᾽ ἔλυσαν
who indeed my with-toil heart-grieving knees have-loosed
ἄλφιτα τευχούσῃ· νῦν ὕστατα δειπνήσειαν."
barley-meal making now for-the-last-time may-they-dine
Ὣς ἄρ᾽ ἔφη, χαῖρεν δὲ κλεηδόνι δῖος Ὀδυσσεὺς
So then she-spoke rejoiced and at-the-omen noble Odysseus
Ζηνός τε βροντῇ· φάτο γὰρ τίσασθαι ἀλείτας.
of-Zeus and at-the-thunder he-thought for to-punish the-sinners
Αἱ δ᾽ ἄλλαι δμῳαὶ κατὰ δώματα κάλ᾽ Ὀδυσῆος
The and other maidservants throughout the-house fair of-Odysseus
ἀγρόμεναι ἀνέκαιον ἐπ᾽ ἐσχάρῃ ἀκάματον πῦρ.
gathering kindled on the-hearth unwearying fire
Τηλέμαχος δ᾽ εὐνῆθεν ἀνίστατο, ἰσόθεος φώς,
Telemachus and from-bed rose godlike man

εἵματα ἑσσάμενος· περὶ δὲ ξίφος ὀξὺ θέτ᾽ ὤμῳ·
clothes having-put-on around and sword sharp he-put shoulder
ποσσὶ δ᾽ ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
feet and under glistening he-bound fair sandals
εἵλετο δ᾽ ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέϊ χαλκῷ·
took and valiant spear pointed with-sharp bronze
στῆ δ᾽ ἄρ᾽ ἐπ᾽ οὐδὸν ἰών, πρὸς δ᾽ Εὐρύκλειαν ἔειπε·
stood and then on the-threshold going to and Eurycleia said
"Μαῖα φίλη, τὸν ξεῖνον ἐτιμήσασθ᾽ ἐνὶ οἴκῳ
Nurse dear the stranger did-you-honor in the-house
εὐνῇ καὶ σίτῳ, ἦ αὔτως κεῖται ἀκηδής;
with-bed and food or just-so does-he-lie uncared-for
τοιαύτη γὰρ ἐμὴ μήτηρ, πινυτή περ ἐοῦσα·
such for my mother wise though being
ἐμπλήγδην ἕτερόν γε τίει μερόπων ἀνθρώπων
recklessly the-one indeed honors of-mortal men
χείρονα, τὸν δέ τ᾽ ἀρείον᾽ ἀτιμήσασ᾽ ἀποπέμπει."
worse the and — better dishonoring sends-away
Τὸν δ᾽ αὖτε προσέειπε περίφρων Εὐρύκλεια·
Him and in-turn addressed wise Eurycleia
"Οὐκ ἄν μιν νῦν, τέκνον, ἀναίτιον αἰτιόῳο.
Not — her now child guiltless you-would-blame
οἶνον μὲν γὰρ πῖνε καθήμενος, ὄφρ᾽ ἔθελ᾽ αὐτός,
wine indeed for he-drank sitting as-long-as wished himself
σίτου δ᾽ οὐκέτ᾽ ἔφη πεινήμεναι· εἴρετο γάρ μιν.
of-bread but no-longer he-said to-hunger she-asked for him
ἀλλ᾽ ὅτε δὴ κοίτοιο καὶ ὕπνου μιμνήσκοιτο,
but when indeed of-bed and sleep he-was-mindful
ἡ μὲν δέμνι᾽ ἄνωγεν ὑποστορέσαι δμῳῇσιν,
she indeed bedding bade to-spread the-maids

αὐτὰρ ὅ γ', ὥς τις πάμπαν ὀϊζυρὸς καὶ ἄποτμος,
but he indeed as some wholly wretched and ill-starred
οὐκ ἔθελ' ἐν λέκτροισι καὶ ἐν ῥήγεσσι καθεύδειν,
not wished in bed and in blankets to-sleep
ἀλλ' ἐν ἀδεψήτῳ βοέῃ καὶ κώεσιν οἰῶν
but on untanned ox-hide and fleeces of-sheep
ἔδραθ' ἐνὶ προδόμῳ· χλαῖναν δ' ἐπιέσσαμεν ἡμεῖς."
slept in the-forecourt a-cloak and we-put-over(-him) we
Ὣς φάτο, Τηλέμαχος δὲ διὲκ μεγάροιο βεβήκει
So she-spoke Telemachus and through the-hall went
ἔγχος ἔχων, ἅμα τῷ γε δύω κύνες ἀργοὶ ἕποντο.
the-spear holding along with-him indeed two dogs swift followed
βῆ δ' ἴμεν εἰς ἀγορὴν μετ' ἐϋκνήμιδας Ἀχαιούς.
went and to-go to the-assembly among well-greaved Achaeans
ἡ δ' αὖτε δμῳῇσιν ἐκέκλετο δῖα γυναικῶν,
she and in-turn to-the-maidservants called bright among-women
Εὐρύκλει', Ὦπος θυγάτηρ Πεισηνορίδαο·
Eurycleia of-Ops daughter of-Peisenor's-son
"Ἀγρεῖθ', αἱ μὲν δῶμα κορήσατε ποιπνύσασαι,
Come some indeed the-house sweep bustling
ῥάσσατέ τ', ἔν τε θρόνοις εὐποιήτοισι τάπητας
sprinkle and on and chairs well-made coverlets
βάλλετε πορφυρέους· αἱ δὲ σπόγγοισι τραπέζας
throw purple others and with-sponges the-tables
πάσας ἀμφιμάσασθε, καθήρατε δὲ κρητῆρας
all wipe-round cleanse and the-mixing-bowls
καὶ δέπα ἀμφικύπελλα τετυγμένα· ταὶ δὲ μεθ' ὕδωρ
and cups two-handled well-wrought others and for water
ἔρχεσθε κρήνηνδε, καὶ οἴσετε θᾶσσον ἰοῦσαι.
go to-the-spring and bring quickly going

οὐ γὰρ δὴν μνηστῆρες ἀπέσσονται μεγάροιο,
not for long the-suitors will-be-away from-the-hall
ἀλλὰ μάλ' ἦρι νέονται, ἐπεὶ καὶ πᾶσιν ἑορτή."
but very early they-come since also for-all a-feast-day
Ὣς ἔφαθ', αἱ δ' ἄρα τῆς μάλα μὲν κλύον ἠδ' ἐπίθοντο.
So she-spoke they and then her very indeed heard and obeyed
αἱ μὲν ἐείκοσι βῆσαν ἐπὶ κρήνην μελάνυδρον,
these indeed twenty went to the-spring of-dark-water
αἱ δ' αὐτοῦ κατὰ δώματ' ἐπισταμένως πονέοντο.
these and there through the-house skillfully toiled
Ἐς δ' ἦλθον δρηστῆρες Ἀχαιῶν. οἱ μὲν ἔπειτα
In and came the-serving-men of-the-Achaeans they indeed then
εὖ καὶ ἐπισταμένως κέασαν ξύλα, ταὶ δὲ γυναῖκες
well and skillfully split wood the and women
ἦλθον ἀπὸ κρήνης· ἐπὶ δέ σφισιν ἦλθε συβώτης
came from the-spring on and them came the-swineherd
τρεῖς σιάλους κατάγων, οἳ ἔσαν μετὰ πᾶσιν ἄριστοι.
three fatted-hogs driving which were among all best
καὶ τοὺς μέν ῥ' εἴασε καθ' ἕρκεα καλὰ νέμεσθαι,
and them indeed then he-let in courts fair feed
αὐτὸς δ' αὖτ' Ὀδυσῆα προσηύδα μειλιχίοισι·
himself and in-turn Odysseus addressed with-gentle(-words)
"Ξεῖν', ἦ ἄρ τί σε μᾶλλον Ἀχαιοὶ εἰσορόωσιν,
Stranger truly then at-all you more the-Achaeans regard
ἦέ σ' ἀτιμάζουσι κατὰ μέγαρ', ὡς τὸ πάρος περ;"
or you dishonor through the-hall as the before indeed
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"Αἴ γὰρ δή, Εὔμαιε, θεοὶ τισαίατο λώβην,
If-only for indeed Eumaeus the-gods would-punish the-outrage

ἣν οἵδ' ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται
which these outraging reckless-things devise
οἴκῳ ἐν ἀλλοτρίῳ, οὐδ' αἰδοῦς μοῖραν ἔχουσιν."
house in another's nor of-shame a-portion have
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
So they indeed such-things to each-other spoke
ἀγχίμολον δέ σφ' ἦλθε Μελάνθιος, αἰπόλος αἰγῶν.
near and to-them came Melanthius goatherd of-goats
αἶγας ἄγων αἳ πᾶσι μετέπρεπον αἰπολίοισι,
goats driving which among-all excelled the-goat-flocks
δεῖπνον μνηστήρεσσι. δύω δ' ἅμ' ἕποντο νομῆες.
a-meal for-the-suitors two and with(-him) followed herdsmen
καὶ τὰς μὲν κατέδησεν ὑπ' αἰθούσῃ ἐριδούπῳ,
and them indeed he-tied under the-portico echoing
αὐτὸς δ' αὖτ' Ὀδυσῆα προσηύδα κερτομίοισι·
himself and in-turn Odysseus addressed with-taunts
"Ξεῖν', ἔτι καὶ νῦν ἐνθάδ' ἀνιήσεις κατὰ δῶμα
Stranger still even now here will-you-trouble(-us) through the-house
ἀνέρας αἰτίζων, ἀτὰρ οὐκ ἔξεισθα θύραζε;
the-men begging but not will-you-go out-of-doors
πάντως οὐκέτι νῶϊ διακρινέεσθαι ὀΐω
by-all-means no-longer we-two to-part I-think
πρὶν χειρῶν γεύσασθαι, ἐπεὶ σύ περ οὐ κατὰ κόσμον
before of-fists to-taste since you indeed not in order
αἰτίζεις· εἰσὶν δὲ καὶ ἄλλαι δαῖτες Ἀχαιῶν."
beg there-are and also other feasts of-the-Achaeans
Ὣς φάτο, τὸν δ' οὔ τι προσέφη πολύμητις Ὀδυσσεύς,
So he-spoke him and not at-all addressed of-many-wiles Odysseus
ἀλλ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
but in-silence shook (his)-head evils deeply-plotting

The cowherd Philoetius arrives with a heifer and, seeing the stranger, weeps for Odysseus, who may be wandering in such rags; he would have fled to another king but for hope of his master's return. Odysseus swears that Odysseus will come home and that Philoetius will see the suitors killed. An eagle with a dove turns the suitors from their plot against Telemachus, who at the feast seats his father in the hall and warns them off.

Τοῖσι δ' ἐπὶ τρίτος ἦλθε Φιλοίτιος, ὄρχαμος ἀνδρῶν,
To-them and in-addition third came Philoetius leader of-men
βοῦν στείραν μνηστῆρσιν ἄγων καὶ πίονας αἶγας.
a-heifer barren for-the-suitors driving and fat goats
πορθμῆες δ' ἄρα τούς γε διήγαγον, οἵ τε καὶ ἄλλους
ferrymen and then them indeed had-brought-over who — also other
ἀνθρώπους πέμπουσιν, ὅτις σφέας εἰσαφίκηται.
men convey whoever them reaches
καὶ τὰ μὲν εὖ κατέδησεν ὑπ' αἰθούσῃ ἐριδούπῳ,
and them indeed well he-tied under the-portico echoing
αὐτὸς δ' αὖτ' ἐρέεινε συβώτην ἄγχι παραστάς·
himself and in-turn questioned the-swineherd near standing-by
"Τίς δὴ ὅδε ξεῖνος νέον εἰλήλουθε, συβῶτα,
Who indeed this stranger newly has-come swineherd
ἡμέτερον πρὸς δῶμα; τέων δ' ἐξ εὔχεται εἶναι
our to house of-what and from does-he-declare to-be
ἀνδρῶν; ποῦ δέ νύ οἱ γενεὴ καὶ πατρὶς ἄρουρα;
of-men where and now his family and native land
δύσμορος, ἦ τε ἔοικε δέμας βασιλῆϊ ἄνακτι·
ill-fated truly — he-resembles in-build a-king lord

ἀλλὰ θεοὶ δυόωσι πολυπλάγκτους ἀνθρώπους,
but the-gods plunge-in-misery much-wandering men
ὁππότε καὶ βασιλεῦσιν ἐπικλώσωνται ὀϊζύν."
when even for-kings they-spin misery
Ἦ καὶ δεξιτερῇ δειδίσκετο χειρὶ παραστάς,
He-spoke and with-the-right pledged(-him) hand standing-by
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
"Χαῖρε, πάτερ ὦ ξεῖνε· γένοιτό τοι ἔς περ ὀπίσσω
Hail father O stranger may-be to-you in indeed hereafter
ὄλβος· ἀτὰρ μὲν νῦν γε κακοῖς ἔχεαι πολέεσσι.
happiness but indeed now indeed by-evils you-are-held many
Ζεῦ πάτερ, οὔ τις σεῖο θεῶν ὀλοώτερος ἄλλος·
Zeus father not any than-you of-the-gods more-baneful other
οὐκ ἐλεαίρεις ἄνδρας, ἐπὴν δὴ γείνεαι αὐτός,
not you-pity men when indeed you-beget(-them) yourself
μισγέμεναι κακότητι καὶ ἄλγεσι λευγαλέοισιν.
to-bring(-them)-into with-misery and with-pains woeful
ἴδιον, ὡς ἐνόησα, δεδάκρυνται δέ μοι ὄσσε
I-sweated as I-noticed(-you) are-wet and my eyes
μνησαμένῳ Ὀδυσῆος, ἐπεὶ καὶ κεῖνον ὀΐω
remembering Odysseus since also him I-think
τοιάδε λαίφε' ἔχοντα κατ' ἀνθρώπους ἀλάλησθαι,
such rags having among men to-wander
εἴ που ἔτι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο.
if somewhere still he-lives and sees the-light of-the-sun
εἰ δ' ἤδη τέθνηκε καὶ εἰν Ἀΐδαο δόμοισιν,
if but already he-has-died and in of-Hades the-halls

ὤ μοι ἔπειτ᾽ Ὀδυσῆος ἀμύμονος, ὅς μ᾽ ἐπὶ βουσὶν
ah me then for-Odysseus blameless who me over the-cattle
εἶσ᾽ ἔτι τυτθὸν ἐόντα Κεφαλλήνων ἐνὶ δήμῳ.
set still little being of-the-Cephallenians in the-land
νῦν δ᾽ αἱ μὲν γίγνονται ἀθέσφατοι, οὐδέ κεν ἄλλως
now but they indeed become countless nor — otherwise
ἀνδρί γ᾽ ὑποσταχύοιτο βοῶν γένος εὐρυμετώπων·
for-a-man indeed could-sprout of-cattle the-breed broad-browed
τὰς δ᾽ ἄλλοι με κέλονται ἀγινέμεναί σφισιν αὐτοῖς
them but others me bid to-drive for-them themselves
ἔδμεναι· οὐδέ τι παιδὸς ἐνὶ μεγάροις ἀλέγουσιν,
to-eat nor at-all of-the-son in the-halls they-care
οὐδ᾽ ὄπιδα τρομέουσι θεῶν· μεμάασι γὰρ ἤδη
nor the-vengeance fear of-the-gods they-are-eager for already
κτήματα δάσσασθαι δὴν οἰχομένοιο ἄνακτος.
the-possessions to-divide long gone of-the-lord
αὐτὰρ ἐμοὶ τόδε θυμὸς ἐνὶ στήθεσσι φίλοισι
but to-me this heart in breast dear
πόλλ᾽ ἐπιδινεῖται· μάλα μὲν κακὸν υἷος ἐόντος
much keeps-turning very indeed bad the-son being(-alive)
ἄλλων δῆμον ἱκέσθαι ἰόντ᾽ αὐτῇσι βόεσσιν,
of-others to-the-land to-go going with-the-very cattle
ἄνδρας ἐς ἀλλοδαπούς· τὸ δὲ ῥίγιον, αὖθι μένοντα
men to foreign this and worse there remaining
βουσὶν ἐπ᾽ ἀλλοτρίῃσι καθήμενον ἄλγεα πάσχειν.
cattle by another's sitting pains to-suffer
καί κεν δὴ πάλαι ἄλλον ὑπερμενέων βασιλήων
and — indeed long-ago another of-mighty kings
ἐξικόμην φεύγων, ἐπεὶ οὐκέτ᾽ ἀνεκτὰ πέλονται·
I-would-have-reached fleeing since no-longer bearable things-are

ἀλλ᾽ ἔτι τὸν δύστηνον ὀΐομαι, εἴ ποθεν ἐλθὼν
but still the wretched I-think-of if from-somewhere coming
ἀνδρῶν μνηστήρων σκέδασιν κατὰ δώματα θείη.᾽᾽
of-the-men suitors a-scattering through the-house he-might-make

Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
᾽᾽Βουκόλ᾽, ἐπεὶ οὔτε κακῷ οὔτ᾽ ἄφρονι φωτὶ ἔοικας,
Herdsman since neither to-a-base nor to-a-senseless man you-are-like
γιγνώσκω δὲ καὶ αὐτὸς ὅ τοι πινυτὴ φρένας ἵκει,
I-perceive and also myself that your wisdom mind reaches
τοὔνεκά τοι ἐρέω καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι·
therefore to-you I-will-speak and also a-great oath will-swear
ἴστω νῦν Ζεὺς πρῶτα θεῶν ξενίη τε τράπεζα
let-know now Zeus first of-the-gods hospitable both table
ἑστίη τ᾽ Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,
hearth and of-Odysseus blameless which I-come-to
ἦ σέθεν ἐνθάδ᾽ ἐόντος ἐλεύσεται οἶκαδ᾽ Ὀδυσσεύς·
truly you here being will-come home Odysseus
σοῖσιν δ᾽ ὀφθαλμοῖσιν ἐπόψεαι, αἴ κ᾽ ἐθέλῃσθα,
your and with-eyes you-will-see if — you-are-willing
κτεινομένους μνηστῆρας, οἳ ἐνθάδε κοιρανέουσιν.᾽᾽
being-slain the-suitors who here lord-it

Τὸν δ᾽ αὖτε προσέειπε βοῶν ἐπιβουκόλος ἀνήρ·
Him and in-turn addressed of-the-cattle the-herdsman man
᾽᾽Αἴ γὰρ τοῦτο, ξεῖνε, ἔπος τελέσειε Κρονίων·
If-only for this stranger word may-fulfill the-son-of-Cronus
γνοίης χ᾽ οἵη ἐμὴ δύναμις καὶ χεῖρες ἕπονται.᾽᾽
you-would-know — what-sort my might and hands follow

Ὣς δ᾽ αὔτως Εὔμαιος ἐπεύξατο πᾶσι θεοῖσι
So and likewise Eumaeus prayed to-all gods
νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε.
to-return Odysseus shrewd to-his-own home
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
So they indeed such-things to each-other spoke
μνηστῆρες δ᾽ ἄρα Τηλεμάχῳ θάνατόν τε μόρον τε
the-suitors and then for-Telemachus death both fate and
ἤρτυον· αὐτὰρ ὁ τοῖσιν ἀριστερὸς ἤλυθεν ὄρνις,
were-planning but he to-them on-the-left came a-bird
αἰετὸς ὑψιπέτης, ἔχε δὲ τρήρωνα πέλειαν.
an-eagle high-flying held and a-timid dove
τοῖσιν δ᾽ Ἀμφίνομος ἀγορήσατο καὶ μετέειπεν·
among-them and Amphinomus addressed-the-assembly and spoke-among(-them)
“ Ὦ φίλοι, οὐχ ἡμῖν συνθεύσεται ἥδε γε βουλή,
O friends not for-us will-run-well this indeed plan
Τηλεμάχοιο φόνος· ἀλλὰ μνησώμεθα δαιτός.”
of-Telemachus murder but let-us-think-of the-feast
Ὣς ἔφατ᾽ Ἀμφίνομος, τοῖσιν δ᾽ ἐπιήνδανε μῦθος.
So spoke Amphinomus to-them and pleased the-word
ἐλθόντες δ᾽ ἐς δώματ᾽ Ὀδυσσῆος θείοιο
coming and into the-house of-Odysseus godlike
χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε,
cloaks indeed they-laid on armchairs both chairs and
οἱ δ᾽ ἱέρευον ὄϊς μεγάλους καὶ πίονας αἶγας,
they and sacrificed sheep great and fat goats
ἵρευον δὲ σύας σιάλους καὶ βοῦν ἀγελαίην·
sacrificed and swine fatted and a-cow of-the-herd

σπλάγχνα δ' ἄρ' ὀπτήσαντες ἐνώμων, ἐν δέ τε οἶνον
the-entrails and then having-roasted they-dealt in and — the-wine
κρητῆρσιν κερόωντο· κύπελλα δὲ νείμε συβώτης.
in-mixing-bowls they-mixed cups and dealt the-swineherd
σῖτον δέ σφ' ἐπένειμε Φιλοίτιος, ὄρχαμος ἀνδρῶν,
bread and to-them dealt Philoetius leader of-men
καλοῖς ἐν κανέοισιν, ἐώνοχόει δὲ Μελανθεύς. 255
fair in baskets poured-wine and Melantheus
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
they and on food ready lying-before hands put-forth
Τηλέμαχος δ' Ὀδυσῆα καθίδρυε, κέρδεα νωμῶν,
Telemachus and Odysseus seated cunning-things planning
ἐντὸς ἐϋσταθέος μεγάρου, παρὰ λάϊνον οὐδόν,
within the-well-built hall by the-stone threshold
δίφρον ἀεικέλιον καταθεὶς ὀλίγην τε τράπεζαν·
a-stool mean setting small and a-table
πὰρ δ' ἐτίθει σπλάγχνων μοίρας, ἐν δ' οἶνον ἔχευεν 260
beside and he-placed of-the-entrails portions in and wine poured
ἐν δέπαϊ χρυσέῳ, καί μιν πρὸς μῦθον ἔειπεν·
in a-cup golden and him to speech said
" Ἐνταυθοῖ νῦν ἧσο μετ' ἀνδράσιν οἰνοποτάζων·
Here now sit among men wine-drinking
κερτομίας δέ τοι αὐτὸς ἐγὼ καὶ χεῖρας ἀφέξω
the-insults and from-you myself I and hands will-keep-off
πάντων μνηστήρων, ἐπεὶ οὔ τοι δήμιός ἐστιν
of-all the-suitors since not you-know public is
οἶκος ὅδ', ἀλλ' Ὀδυσῆος, ἐμοὶ δ' ἐκτήσατο κεῖνος. 265
house this but of-Odysseus for-me and acquired he

ὑμεῖς δέ, μνηστῆρες, ἐπίσχετε θυμὸν ἐνιπῆς
you and suitors restrain the-heart from-reproach
καὶ χειρῶν, ἵνα μή τις ἔρις καὶ νεῖκος ὄρηται."
and from-hands so-that not any strife and quarrel arise
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες
So he-spoke they and then all with-teeth in lips growing
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευε.
at-Telemachus marveled because boldly he-spoke
τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
to-them and Antinous spoke-among of-Eupeithes son
"Καὶ χαλεπόν περ ἐόντα δεχώμεθα μῦθον, Ἀχαιοί,
Even hard though being let-us-accept the-word Achaeans
Τηλεμάχου· μάλα δ' ἡμιν ἀπειλήσας ἀγορεύει.
of-Telemachus very and to-us threatening he-speaks
οὐ γὰρ Ζεὺς εἴασε Κρονίων· τῷ κέ μιν ἤδη
not for Zeus has-allowed son-of-Cronus then — him already
παύσαμεν ἐν μεγάροισι, λιγύν περ ἐόντ' ἀγορητήν."
we-would-have-stopped in the-halls shrill though being a-speaker
Ὣς ἔφατ' Ἀντίνοος· ὁ δ' ἄρ' οὐκ ἐμπάζετο μύθων.
So he-spoke Antinous he and then not heeded the-words
κήρυκες δ' ἀνὰ ἄστυ θεῶν ἱερὴν ἑκατόμβην
heralds and through the-town of-the-gods sacred hecatomb
ἦγον· τοὶ δ' ἀγέροντο κάρη κομόωντες Ἀχαιοὶ
led they and gathered on-head long-haired Achaeans
ἄλσος ὕπο σκιερὸν ἑκατηβόλου Ἀπόλλωνος.
the-grove beneath shady of-far-shooting Apollo
Οἱ δ' ἐπεὶ ὤπτησαν κρέ' ὑπέρτερα καὶ ἐρύσαντο,
They and when they-had-roasted the-meats outer and drew-off(-the-spits)
μοίρας δασσάμενοι δαίνυντ' ἐρικυδέα δαῖτα·
portions having-divided feasted glorious feast

πὰρ δ' ἄρ' Ὀδυσσῆϊ μοῖραν θέσαν οἳ πονέοντο
beside and then for-Odysseus a-portion set who were-busy
ἴσην, ὡς αὐτοί περ ἐλάγχανον· ὣς γὰρ ἀνώγει
equal as they-themselves indeed received so for bade
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο.
Telemachus dear son of-Odysseus godlike

XX.4 · THEOCLYMENUS' VISION

Ctesippus throws an ox's foot at Odysseus as his guest-gift, and Telemachus says he would have speared him for it. Agelaus urges Telemachus to make his mother marry. Athena sets the suitors laughing past control, with blood on their meat and tears in their eyes, and Theoclymenus sees porch and court full of ghosts hastening to Erebus. They mock him and he leaves, while Penelope listens to their last supper.

Μνηστῆρας δ' οὐ πάμπαν ἀγήνορας εἴα Ἀθήνη
The-suitors but not at-all proud let Athena
λώβης ἴσχεσθαι θυμαλγέος, ὄφρ' ἔτι μᾶλλον
from-outrage refrain heart-grieving so-that still more
δύη ἄχος κραδίην Λαερτιάδην Ὀδυσῆα.
might-sink pain heart the-son-of-Laertes Odysseus
ἦν δέ τις ἐν μνηστῆρσιν ἀνὴρ ἀθεμίστια εἰδώς,
was and some among the-suitors a-man lawless-things knowing
Κτήσιππος δ' ὄνομ' ἔσκε, Σάμῃ δ' ἐνὶ οἰκία ναίεν·
Ctesippus and name was Same and in dwellings he-dwelt
ὃς δή τοι κτεάτεσσι πεποιθὼς θεσπεσίοισι
who indeed you-know in-possessions trusting boundless
μνάσκετ' Ὀδυσσῆος δὴν οἰχομένοιο δάμαρτα.
wooed of-Odysseus long gone the-wife
ὅς ῥα τότε μνηστῆρσιν ὑπερφιάλοισι μετηύδα·
who then then to-the-suitors overbearing spoke

"Κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, ὄφρα τι εἴπω·
Hear me suitors proud that something I-may-say
μοῖραν μὲν δὴ ξεῖνος ἔχει πάλαι, ὡς ἐπέοικεν,
a-portion indeed truly the-stranger has long-since as is-fitting
ἴσην· οὐ γὰρ καλὸν ἀτέμβειν οὐδὲ δίκαιον
equal not for good to-cheat nor just
ξείνους Τηλεμάχου, ὅς κεν τάδε δώμαθ' ἵκηται.
the-guests of-Telemachus whoever — this house reaches
ἀλλ' ἄγε οἱ καὶ ἐγὼ δῶ ξείνιον, ὄφρα καὶ αὐτὸς
but come to-him also I let-me-give a-guest-gift so-that also himself
ἠὲ λοετροχόῳ δώῃ γέρας ἠέ τῳ ἄλλῳ
either to-the-bath-woman may-give a-prize or to-some other
δμώων, οἳ κατὰ δῶματ' Ὀδυσσῆος θείοιο."
of-the-servants who throughout the-house of-Odysseus godlike
Ὣς εἰπὼν ἔρριψε βοὸς πόδα χειρὶ παχείῃ,
So having-spoken he-hurled an-ox's foot with-hand stout
κείμενον ἐκ κανέοιο λαβών· ὁ δ' ἀλεύατ' Ὀδυσσεὺς
lying from the-basket taking he but avoided(-it) Odysseus
ἦκα παρακλίνας κεφαλήν, μείδησε δὲ θυμῷ
gently bending-aside (his)-head smiled and in-heart
σαρδάνιον μάλα τοῖον· ὁ δ' εὔδμητον βάλε τοῖχον.
sardonically very so-much it and well-built struck the-wall
Κτήσιππον δ' ἄρα Τηλέμαχος ἠνίπαπε μύθῳ·
Ctesippus and then Telemachus rebuked with-speech
"Κτήσιππ', ἦ μάλα τοι τόδε κέρδιον ἔπλετο θυμῷ·
Ctesippus truly very you-know this more-profitable was for-heart
οὐκ ἔβαλες τὸν ξεῖνον· ἀλεύατο γὰρ βέλος αὐτός.
not you-hit the stranger he-avoided for the-missile himself
ἦ γάρ κέν σε μέσον βάλον ἔγχεϊ ὀξυόεντι,
truly for — you through-the-middle I-would-have-struck with-spear sharp

καί κέ τοι ἀντὶ γάμοιο πατὴρ τάφον ἀμφεπονεῖτο
and — for-you instead-of marriage father a-funeral would-be-busy-with
ἐνθάδε. τῷ μή τίς μοι ἀεικείας ἐνὶ οἴκῳ
here therefore not any to-me unseemly-things in the-house
φαινέτω· ἤδη γὰρ νοέω καὶ οἶδα ἕκαστα,
let-show already for I-perceive and know each-thing
ἐσθλά τε καὶ τὰ χέρηα· πάρος δ' ἔτι νήπιος ἦα.
good-things both and the worse before but still a-child I-was
ἀλλ' ἔμπης τάδε μὲν καὶ τέτλαμεν εἰσορόωντες,
but nevertheless these indeed also we-endure looking-on
μήλων σφαζομένων οἴνοιό τε πινομένοιο
sheep being-slaughtered wine and being-drunk
καὶ σίτου· χαλεπὸν γὰρ ἐρυκακέειν ἕνα πολλούς.
and bread hard for to-restrain for-one many
ἀλλ' ἄγε μηκέτι μοι κακὰ ῥέζετε δυσμενέοντες·
but come no-longer to-me evils do in-enmity
εἰ δ' ἤδη μ' αὐτὸν κτεῖναι μενεαίνετε χαλκῷ,
if but already me myself to-kill you-are-eager with-bronze
καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη
even — this I-would-wish and — much more-profitable it-would-be
τεθνάμεν ἢ τάδε γ' αἰὲν ἀεικέα ἔργ' ὁράασθαι,
to-be-dead than these indeed always unseemly deeds to-look-on
ξείνους τε στυφελιζομένους δμῳάς τε γυναῖκας
strangers both being-mistreated serving and women
ῥυστάζοντας ἀεικελίως κατὰ δώματα καλά."
dragging shamefully through house fair
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·
So he-spoke they and then all silent became in-silence
ὀψὲ δὲ δὴ μετέειπε Δαμαστορίδης Ἀγέλαος·
late and indeed spoke-among son-of-Damastor Agelaus

" Ὦ φίλοι, οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίῳ
O friends not — indeed anyone at a-thing-said just
ἀντιβίοις ἐπέεσσι καθαπτόμενος χαλεπαίνοι·
with-hostile words assailing should-be-angry
μήτε τι τὸν ξεῖνον στυφελίζετε μήτε τιν' ἄλλον
neither at-all the stranger mistreat nor any other
δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
of-the-servants who throughout the-house of-Odysseus godlike
Τηλεμάχῳ δέ κε μῦθον ἐγὼ καὶ μητέρι φαίην
to-Telemachus and — a-word I and to-mother would-say
ἤπιον, εἴ σφωϊν κραδίῃ ἅδοι ἀμφοτέροιϊν.
gentle if to-you-two in-heart it-may-please both
ὄφρα μὲν ὑμῖν θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει
while indeed your heart in breast hoped
νοστήσειν Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε,
to-return Odysseus shrewd to-his-own home
τόφρ' οὔ τις νέμεσις μενέμεν τ' ἦν ἰσχέμεναί τε
so-long not any blame to-wait both was to-restrain and
μνηστῆρας κατὰ δώματ', ἐπεὶ τόδε κέρδιον ἦεν,
the-suitors in the-house since this more-profitable was
εἰ νόστησ' Ὀδυσεὺς καὶ ὑπότροπος ἵκετο δῶμα·
if had-returned Odysseus and back had-come-to the-house
νῦν δ' ἤδη τόδε δῆλον, ὅ τ' οὐκέτι νόστιμός ἐστιν.
now but already this clear that — no-longer returning is
ἀλλ' ἄγε, σῇ τάδε μητρὶ παρεζόμενος κατάλεξον,
but come to-your this mother sitting-by recount
γήμασθ' ὅς τις ἄριστος ἀνὴρ καὶ πλεῖστα πόρῃσιν,
to-marry who any best man and most gives

ὄφρα σὺ μὲν χαίρων πατρώϊα πάντα νέμηαι,
so-that you indeed rejoicing ancestral-things all may-possess
ἔσθων καὶ πίνων, ἡ δ' ἄλλου δῶμα κομίζῃ."
eating and drinking she and another's house may-tend
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
"Οὐ μὰ Ζῆν', Ἀγέλαε, καὶ ἄλγεα πατρὸς ἐμοῖο,
Not by Zeus Agelaus and the-pains of-father my
ὅς που τῆλ' Ἰθάκης ἢ ἔφθιται ἢ ἀλάληται,
who somewhere far-from Ithaca either has-perished or wanders
οὔ τι διατρίβω μητρὸς γάμον, ἀλλὰ κελεύω
not at-all do-I-delay of-mother the-marriage but I-bid
γήμασθ' ᾧ κ' ἐθέλῃ, ποτὶ δ' ἄσπετα δῶρα δίδωμι.
to-marry whom — she-wishes besides and countless gifts I-give
αἰδέομαι δ' ἀέκουσαν ἀπὸ μεγάροιο δίεσθαι
I-am-ashamed but unwilling from the-hall to-drive
μύθῳ ἀναγκαίῳ· μὴ τοῦτο θεὸς τελέσειεν."
with-word compelling may-not this a-god bring-to-pass
Ὣς φάτο Τηλέμαχος· μνηστῆρσι δὲ Παλλὰς Ἀθήνη
So he-spoke Telemachus on-the-suitors and Pallas Athena
ἄσβεστον γέλω ὦρσε, παρέπλαγξεν δὲ νόημα.
unquenchable laughter roused bewildered and the-mind
οἱ δ' ἤδη γναθμοῖσι γελοίων ἀλλοτρίοισιν,
they and already with-jaws laughed of-others
αἱμοφόρυκτα δὲ δὴ κρέα ἤσθιον· ὄσσε δ' ἄρα σφέων
blood-befouled and indeed meats they-ate the-eyes and then their
δακρυόφιν πίμπλαντο, γόον δ' ὠΐετο θυμός.
with-tears were-filled lament and boded the-heart
τοῖσι δὲ καὶ μετέειπε Θεοκλύμενος θεοειδής·
among-them and also spoke Theoclymenus godlike

"Ἆ δειλοί, τί κακὸν τόδε πάσχετε; νυκτὶ μὲν ὑμέων
Ah wretches what evil this you-suffer in-night indeed your
εἰλύαται κεφαλαί τε πρόσωπά τε νέρθε τε γοῦνα.
are-wrapped heads both faces and below and knees
οἰμωγὴ δὲ δέδηε, δεδάκρυνται δὲ παρειαί,
wailing and has-blazed are-wet and the-cheeks
αἵματι δ' ἐρράδαται τοῖχοι καλαί τε μεσόδμαι·
with-blood and are-sprinkled walls fair and crossbeams
εἰδώλων δὲ πλέον πρόθυρον, πλείη δὲ καὶ αὐλή,
of-phantoms and full the-porch full and also the-court
ἱεμένων Ἔρεβόσδε ὑπὸ ζόφον· ἠέλιος δὲ
hastening to-Erebus beneath the-gloom the-sun and
οὐρανοῦ ἐξαπόλωλε, κακὴ δ' ἐπιδέδρομεν ἀχλύς."
from-heaven has-perished evil and has-run-over mist
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡδὺ γέλασσαν.
So he-spoke they and then all at him sweetly laughed
τοῖσιν δ' Εὐρύμαχος, Πολύβου πάϊς, ἦρχ' ἀγορεύειν·
among-them and Eurymachus of-Polybus son began to-speak
"Ἀφραίνει ξεῖνος νέον ἄλλοθεν εἰληλουθώς.
Is-mad the-stranger lately from-elsewhere having-come
ἀλλά μιν αἶψα, νέοι, δόμου ἐκπέμψασθε θύραζε
but him quickly young-men from-the-house send out-of-doors
εἰς ἀγορὴν ἔρχεσθαι, ἐπεὶ τάδε νυκτὶ ἔοικεν."
to the-assembly to-go since this to-night he-likens
Τὸν δ' αὖτε προσέειπε Θεοκλύμενος θεοειδής·
Him and in-turn addressed Theoclymenus godlike
"Εὐρύμαχ', οὔ τί σ' ἄνωγα ἐμοὶ πομπῆας ὀπάζειν·
Eurymachus not at-all you I-bid me escorts to-give

εἰσί μοι ὀφθαλμοί τε καὶ οὔατα καὶ πόδες ἄμφω
there-are to-me eyes both and ears and feet both
καὶ νόος ἐν στήθεσσι τετυγμένος οὐδὲν ἀεικής.
and mind in breast fashioned not-at-all unseemly
τοῖς ἔξειμι θύραζε, ἐπεὶ νοέω κακὸν ὔμμιν
with-these I-will-go out-of-doors since I-perceive evil for-you
ἐρχόμενον, τό κεν οὔ τις ὑπεκφύγοι οὐδ' ἀλέαιτο
coming which — not any could-escape nor avoid
μνηστήρων, οἳ δῶμα κάτ' ἀντιθέου Ὀδυσῆος
of-the-suitors who the-house throughout of-godlike Odysseus
ἀνέρας ὑβρίζοντες ἀτάσθαλα μηχανάασθε."
men outraging reckless-things devise
Ὣς εἰπὼν ἐξῆλθε δόμων εὖ ναιεταόντων,
So having-spoken he-went-out from-the-house well dwelt-in
ἵκετο δ' ἐς Πείραιον, ὅ μιν πρόφρων ὑπέδεκτο.
came and to Piraeus who him kindly received
μνηστῆρες δ' ἄρα πάντες ἐς ἀλλήλους ὁρόωντες
the-suitors and then all at each-other looking
Τηλέμαχον ἐρέθιζον, ἐπὶ ξείνοις γελόωντες·
Telemachus provoked at the-guests laughing
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
thus and one would-say of-the-youths overbearing
"Τηλέμαχ', οὔ τις σεῖο κακοξεινώτερος ἄλλος·
Telemachus not any than-you more-unlucky-in-guests other
οἷον μέν τινα τοῦτον ἔχεις ἐπίμαστον ἀλήτην,
such indeed some this-one you-have a-vagrant beggar
σίτου καὶ οἴνου κεχρημένον, οὐδέ τι ἔργων
of-bread and wine needing nor at-all of-works
ἔμπαιον οὐδὲ βίης, ἀλλ' αὔτως ἄχθος ἀρούρης.
skilled nor of-strength but just-so a-burden of-the-earth

ἄλλος δ' αὖτέ τις οὗτος ἀνέστη μαντεύεσθαι.
other and in-turn some this-one stood-up to-prophesy
ἀλλ' εἴ μοί τι πίθοιο, τό κεν πολὺ κέρδιον εἴη·
but if to-me at-all you-would-listen this — much more-profitable it-would-be
τοὺς ξείνους ἐν νηῒ πολυκληῖδι βαλόντες
the strangers in a-ship many-benched throwing
ἐς Σικελοὺς πέμψωμεν, ὅθεν κέ τοι ἄξιον ἄλφοι."
to the-Sicels let-us-send whence — for-you a-worthy-price it-would-fetch
Ὣς ἔφασαν μνηστῆρες· ὁ δ' οὐκ ἐμπάζετο μύθων,
So spoke the-suitors he but not heeded the-words
ἀλλ' ἀκέων πατέρα προσεδέρκετο, δέγμενος αἰεί,
but in-silence at-father looked waiting always
ὁππότε δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσει.
when indeed on-the-suitors shameless hands he-should-lay
Ἡ δὲ κατ' ἄντηστιν θεμένη περικαλλέα δίφρον
She and at the-opposite-place having-set very-fair chair
κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια,
daughter of-Icarius wise Penelope
ἀνδρῶν ἐν μεγάροισιν ἑκάστου μῦθον ἄκουεν.
of-the-men in the-halls of-each the-word heard
δεῖπνον μὲν γάρ τοί γε γελοίωντες τετύκοντο
supper indeed for they indeed laughing had-prepared
ἡδύ τε καὶ μενοεικές, ἐπεὶ μάλα πόλλ' ἱέρευσαν·
sweet both and heart-pleasing since very many they-had-sacrificed
δόρπου δ' οὐκ ἄν πως ἀχαρίστερον ἄλλο γένοιτο,
than-supper but not — somehow more-graceless other could-be

οἷον δὴ τάχ᾽ ἔμελλε θεὰ καὶ καρτερὸς ἀνὴρ
such indeed soon was-about a-goddess and mighty man
θησέμεναι· πρότεροι γὰρ ἀεικέα μηχανόωντο.
to-set-before(-them) first for unseemly-things they-devised

BOOK XXI

XXI.1 · THE BOW OF ODYSSEUS

Athena moves Penelope to set the contest. She fetches from the storeroom the bow that Iphitus, son of Eurytus, gave Odysseus in Messene before Heracles murdered him as a guest; Odysseus never took it to war but kept it at home in memory of his friend. She weeps over it, carries it to the suitors with the iron axes, and declares that she will follow whoever strings it and shoots through all twelve.

Τῇ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη,
Her and then in mind put the-goddess flashing-eyed Athena
κούρῃ Ἰκαρίοιο, περίφρονι Πηνελοπείῃ,
to-the-daughter of-Icarius wise Penelope
τόξον μνηστήρεσσι θέμεν πολιόν τε σίδηρον
the-bow for-the-suitors to-set gray and iron
ἐν μεγάροις Ὀδυσῆος, ἀέθλια καὶ φόνου ἀρχήν.
in the-halls of-Odysseus as-contest and of-slaughter the-beginning
κλίμακα δ' ὑψηλὴν προσεβήσετο οἷο δόμοιο,
the-stairway and lofty she-climbed of-her-own house
εἵλετο δὲ κληῖδ' εὐκαμπέα χειρὶ παχείῃ
took and a-key well-curved in-hand stout
καλὴν χαλκείην· κώπη δ' ἐλέφαντος ἐπῆεν.
fair of-bronze a-handle and of-ivory was-on(-it)
βῆ δ' ἴμεναι θάλαμόνδε σὺν ἀμφιπόλοισι γυναιξὶν
went and to-go to-the-chamber with handmaid women
ἔσχατον· ἔνθα δέ οἱ κειμήλια κεῖτο ἄνακτος,
innermost there and his treasures lay of-the-lord
χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος.
bronze both gold and wrought-with-toil and iron

ἔνθα δὲ τόξον κεῖτο παλίντονον ἠδὲ φαρέτρη
there and the-bow lay back-bent and a-quiver
ἰοδόκος, πολλοὶ δ' ἔνεσαν στονόεντες ὀϊστοί,
arrow-holding many and were-in(-it) grievous arrows
δῶρα τά οἱ ξεῖνος Λακεδαίμονι δῶκε τυχήσας
gifts which to-him a-guest-friend in-Lacedaemon gave meeting(-him)
Ἶφιτος Εὐρυτίδης, ἐπιείκελος ἀθανάτοισι.
Iphitus son-of-Eurytus like to-the-immortals
τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν
the-two and in Messene met each-other
οἴκῳ ἐν Ὀρτιλόχοιο δαΐφρονος. ἦ τοι Ὀδυσσεὺς
house in of-Ortilochus wise truly indeed Odysseus
ἦλθε μετὰ χρεῖος, τό ῥά οἱ πᾶς δῆμος ὄφελλε·
had-come for a-debt which then to-him all the-people owed
μῆλα γὰρ ἐξ Ἰθάκης Μεσσήνιοι ἄνδρες ἄειραν
sheep for from Ithaca Messenian men had-lifted
νηυσὶ πολυκλήϊσι τριηκόσι' ἠδὲ νομῆας.
in-ships many-benched three-hundred and shepherds
τῶν ἕνεκ' ἐξεσίην πολλὴν ὁδὸν ἦλθεν Ὀδυσσεὺς
of-which for-the-sake-of on-an-embassy long journey came Odysseus
παιδνὸς ἐών· πρὸ γὰρ ἦκε πατὴρ ἄλλοι τε γέροντες.
a-youth being forward for sent(-him) father others and elders
Ἶφιτος αὖθ' ἵππους διζήμενος, αἵ οἱ ὄλοντο
Iphitus in-turn mares seeking which his were-lost
δώδεκα θήλειαι, ὑπὸ δ' ἡμίονοι ταλαεργοί·
twelve females under(-them) and mules hardy
αἳ δή οἱ καὶ ἔπειτα φόνος καὶ μοῖρα γένοντο,
which indeed for-him also afterward death and doom became
ἐπεὶ δὴ Διὸς υἱὸν ἀφίκετο καρτερόθυμον,
when indeed of-Zeus the-son he-came-to stout-hearted

φῶθ' Ἡρακλῆα, μεγάλων ἐπιίστορα ἔργων,
the-man Heracles of-great privy deeds
ὅς μιν ξεῖνον ἐόντα κατέκτανεν ᾧ ἐνὶ οἴκῳ,
who him a-guest being slew his-own in house
σχέτλιος, οὐδὲ θεῶν ὄπιν ᾐδέσατ' οὐδὲ τράπεζαν,
cruel nor of-the-gods the-vengeance respected nor the-table
τὴν ἧν οἱ παρέθηκεν· ἔπειτα δὲ πέφνε καὶ αὐτόν,
that which to-him he-had-set-before then and slew also him
ἵππους δ' αὐτὸς ἔχε κρατερώνυχας ἐν μεγάροισι.
the-mares and himself kept strong-hoofed in the-halls
τὰς ἐρέων Ὀδυσῆϊ συνήντετο, δῶκε δὲ τόξον,
them asking Odysseus met gave and the-bow
τὸ πρὶν μέν ῥ' ἐφόρει μέγας Εὔρυτος, αὐτὰρ ὁ παιδὶ
which before indeed then bore great Eurytus but he to-the-son
κάλλιπ' ἀποθνήσκων ἐν δώμασιν ὑψηλοῖσι.
left dying in house lofty
τῷ δ' Ὀδυσεὺς ξίφος ὀξὺ καὶ ἄλκιμον ἔγχος ἔδωκεν,
to-him and Odysseus sword sharp and valiant spear gave
ἀρχὴν ξεινοσύνης προσκηδέος· οὐδὲ τραπέζῃ
the-beginning of-guest-friendship close nor at-table
γνώτην ἀλλήλων· πρὶν γὰρ Διὸς υἱὸς ἔπεφνεν
they-knew each-other before for of-Zeus the-son slew
Ἶφιτον Εὐρυτίδην, ἐπιείκελον ἀθανάτοισιν,
Iphitus son-of-Eurytus like to-the-immortals

ὅς οἱ τόξον ἔδωκε. τὸ δ' οὔ ποτε δῖος Ὀδυσσεὺς
who to-him the-bow gave it but not ever noble Odysseus
ἐρχόμενος πόλεμόνδε μελαινάων ἐπὶ νηῶν
going to-war black on ships
ἦρεῖτ', ἀλλ' αὐτοῦ μνῆμα ξείνοιο φίλοιο
took but there a-memorial of-guest-friend dear
κέσκετ' ἐνὶ μεγάροισι, φόρει δέ μιν ἧς ἐπὶ γαίης.
lay in the-halls carried and it his-own on land
Ἡ δ' ὅτε δὴ θάλαμον τὸν ἀφίκετο δῖα γυναικῶν
She and when indeed the-chamber this reached bright among-women
οὐδόν τε δρύϊνον προσεβήσετο, τόν ποτε τέκτων
the-threshold and oaken stepped-on which once a-carpenter
ξέσσεν ἐπισταμένως καὶ ἐπὶ στάθμην ἴθυνεν,
planed skillfully and to the-line made-straight
ἐν δὲ σταθμοὺς ἄρσε, θύρας δ' ἐπέθηκε φαεινάς,
in and doorposts fitted doors and set shining
αὐτίκ' ἄρ' ἥ γ' ἱμάντα θοῶς ἀπέλυσε κορώνης,
at-once then she indeed the-thong quickly loosed from-the-hook
ἐν δὲ κληῖδ' ἧκε, θυρέων δ' ἀνέκοπτεν ὀχῆας
in and the-key thrust of-the-doors and shot-back the-bolts
ἄντα τιτυσκομένη· τὰ δ' ἀνέβραχεν ἠΰτε ταῦρος
straight aiming they and bellowed like a-bull
βοσκόμενος λειμῶνι· τόσ' ἔβραχε καλὰ θύρετρα
grazing in-a-meadow so-loud bellowed the-fair doors
πληγέντα κληῖδι, πετάσθησαν δέ οἱ ὦκα.
struck by-the-key flew-open and for-her quickly
ἡ δ' ἄρ' ἐφ' ὑψηλῆς σανίδος βῆ· ἔνθα δὲ χηλοὶ
she and then onto the-high platform stepped where and chests
ἕστασαν, ἐν δ' ἄρα τῇσι θυώδεα εἵματ' ἔκειτο.
stood in and then them fragrant clothes lay

ἔνθεν ὀρεξαμένη ἀπὸ πασσάλου αἴνυτο τόξον
thence reaching from the-peg she-took the-bow
αὐτῷ γωρυτῷ, ὅς οἱ περίκειτο φαεινός.
with-its-very case which it surrounded shining
ἑζομένη δὲ κατ᾽ αὖθι, φίλοις ἐπὶ γούνασι θεῖσα,
sitting and down there dear on knees setting(-it)
κλαῖε μάλα λιγέως, ἐκ δ᾽ ἧρεε τόξον ἄνακτος.
wept very shrilly out and took the-bow of-the-lord
ἡ δ᾽ ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο,
she and when then she-had-had-her-fill of-tearful lament
βῆ ῥ᾽ ἴμεναι μέγαρόνδε μετὰ μνηστῆρας ἀγαυοὺς
went then to-go to-the-hall among the-suitors lordly
τόξον ἔχουσ᾽ ἐν χειρὶ παλίντονον ἠδὲ φαρέτρην
the-bow holding in hand back-bent and the-quiver
ἰοδόκον· πολλοὶ δ᾽ ἔνεσαν στονόεντες ὀϊστοί.
arrow-holding many and were-in(-it) grievous arrows
τῇ δ᾽ ἄρ᾽ ἅμ᾽ ἀμφίπολοι φέρον ὄγκιον, ἔνθα σίδηρος
her and then with handmaids carried a-chest where iron
κεῖτο πολὺς καὶ χαλκός, ἀέθλια τοῖο ἄνακτος.
lay much and bronze the-prizes of-the lord
ἡ δ᾽ ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
she and when indeed the-suitors reached bright among-women
στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
stood then by the-pillar of-the-roof stoutly built
ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα.
before cheeks holding glistening veils
ἀμφίπολος δ᾽ ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη.
a-handmaid and then her trusty on-either-side stood-by
αὐτίκα δὲ μνηστῆρσι μετηύδα καὶ φάτο μῦθον·
at-once and to-the-suitors spoke-among and said word

"Κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, οἳ τόδε δῶμα
Hear me suitors proud who this house
ἐχράετ' ἐσθιέμεν καὶ πινέμεν ἐμμενὲς αἰεὶ
have-pressed-upon to-eat and to-drink continually always
ἀνδρὸς ἀποιχομένοιο πολὺν χρόνον· οὐδέ τιν' ἄλλην
of-a-man gone much time nor any other
μύθου ποιήσασθαι ἐπισχεσίην ἐδύνασθε,
for-speech to-make pretext were-you-able
ἀλλ' ἐμὲ ἱέμενοι γῆμαι θέσθαι τε γυναῖκα.
but me eager to-marry to-make and a-wife
ἀλλ' ἄγετε, μνηστῆρες, ἐπεὶ τόδε φαίνετ' ἄεθλον.
but come suitors since this appears a-prize
θήσω γὰρ μέγα τόξον Ὀδυσσῆος θείοιο·
I-will-set for the-great bow of-Odysseus godlike
ὃς δέ κε ῥηΐτατ' ἐντανύσῃ βιὸν ἐν παλάμῃσι
who and — most-easily strings the-bow in hands
καὶ διοϊστεύσῃ πελέκεων δυοκαίδεκα πάντων,
and shoots-through axes twelve all
τῷ κεν ἅμ' ἑσποίμην, νοσφισσαμένη τόδε δῶμα
him — with I-would-follow leaving this house
κουρίδιον, μάλα καλόν, ἐνίπλειον βιότοιο,
of-my-marriage very fair full of-livelihood
τοῦ ποτὲ μεμνήσεσθαι ὀΐομαι ἔν περ ὀνείρῳ."
which some-day to-remember I-think in indeed a-dream

Eumaeus and the cowherd weep at the sight of the bow, and Antinous rebukes them. Telemachus sets up the axes and would have strung the bow at the fourth try had Odysseus not checked him with a nod. Leiodes fails, and the young men warm the bow and grease it, but still fail.

Ὣς φάτο, καί ῥ' Εὔμαιον ἀνώγει, δῖον ὑφορβόν,
So she-spoke and then Eumaeus bade noble swineherd
τόξον μνηστήρεσσι θέμεν πολιόν τε σίδηρον.
the-bow for-the-suitors to-set gray and iron
δακρύσας δ' Εὔμαιος ἐδέξατο καὶ κατέθηκε·
weeping and Eumaeus received(-it) and set(-it)-down
κλαῖε δὲ βουκόλος ἄλλοθ', ἐπεὶ ἴδε τόξον ἄνακτος.
wept and the-herdsman elsewhere when he-saw the-bow of-the-lord
Ἀντίνοος δ' ἐνένιπεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
Antinous and rebuked word and spoke out and named(-them)
"Νήπιοι ἀγροιῶται, ἐφημέρια φρονέοντες,
Fools boors day-to-day-things minding
ἆ δειλώ, τί νυ δάκρυ κατείβετον ἠδὲ γυναικὶ
ah wretched-two why now a-tear do-you-shed and of-the-woman
θυμὸν ἐνὶ στήθεσσιν ὀρίνετον; ἦ τε καὶ ἄλλως
the-heart in breast stir for-whom — even otherwise
κεῖται ἐν ἄλγεσι θυμός, ἐπεὶ φίλον ὤλεσ' ἀκοίτην.
lies in pains the-heart since dear she-lost husband
ἀλλ' ἀκέων δαίνυσθε καθήμενοι, ἠὲ θύραζε
but in-silence feast sitting or out-of-doors
κλαίετον ἐξελθόντε, κατ' αὐτόθι τόξα λιπόντε,
weep going-out down there the-bow leaving

μνηστήρεσσιν ἄεθλον ἀάατον· οὐ γὰρ ὀΐω
for-the-suitors a-contest decisive not for I-think
ῥηϊδίως τόδε τόξον ἐΰξοον ἐντανύεσθαι.
easily this bow well-polished to-be-strung
οὐ γάρ τις μέτα τοῖος ἀνὴρ ἐν τοίσδεσι πᾶσιν
not for any among such a-man in these all
οἷος Ὀδυσσεὺς ἔσκεν· ἐγὼ δέ μιν αὐτὸς ὄπωπα,
as Odysseus was I and him myself have-seen
καὶ γὰρ μνήμων εἰμί, πάϊς δ' ἔτι νήπιος ἦα."
and for remembering I-am a-child but still young I-was
Ὣς φάτο, τῷ δ' ἄρα θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει
So he-spoke for-him and then the-heart in breast hoped
νευρὴν ἐντανύσειν διοϊστεύσειν τε σιδήρου.
the-string to-stretch to-shoot-through and the-iron
ἦ τοι ὀϊστοῦ γε πρῶτος γεύσεσθαι ἔμελλεν
truly indeed of-the-arrow indeed first to-taste he-was-about
ἐκ χειρῶν Ὀδυσῆος ἀμύμονος, ὃν τότ' ἀτίμα
from the-hands of-Odysseus blameless whom then he-dishonored
ἥμενος ἐν μεγάροις, ἐπὶ δ' ὦρνυε πάντας ἑταίρους.
sitting in the-halls on and roused all comrades
Τοῖσι δὲ καὶ μετέειφ' ἱερὴ ἶς Τηλεμάχοιο·
To-them and also spoke-among the-sacred might of-Telemachus
" Ὤ πόποι, ἦ μάλα με Ζεὺς ἄφρονα θῆκε Κρονίων·
Oh for-shame truly very me Zeus senseless has-made son-of-Cronus
μήτηρ μέν μοί φησι φίλη, πινυτή περ ἐοῦσα,
mother indeed my says dear wise though being
ἄλλῳ ἅμ' ἕψεσθαι νοσφισσαμένη τόδε δῶμα·
another with will-follow leaving this house
αὐτὰρ ἐγὼ γελόω καὶ τέρπομαι ἄφρονι θυμῷ.
but I laugh and delight with-senseless heart

ἀλλ᾽ ἄγετε, μνηστῆρες, ἐπεὶ τόδε φαίνετ᾽ ἄεθλον,
but come suitors since this appears a-prize
οἵη νῦν οὐκ ἔστι γυνὴ κατ᾽ Ἀχαιΐδα γαῖαν,
such-as now not is a-woman throughout Achaean land
οὔτε Πύλου ἱερῆς οὔτ᾽ Ἄργεος οὔτε Μυκήνης·
neither of-Pylos sacred nor of-Argos nor of-Mycenae
οὔτ᾽ αὐτῆς Ἰθάκης οὔτ᾽ ἠπείροιο μελαίνης·
nor itself of-Ithaca nor of-the-mainland black
καὶ δ᾽ αὐτοὶ τόδε γ᾽ ἴστε· τί με χρὴ μητέρος αἴνου; 110
and also yourselves this indeed know why me must of-mother praise
ἀλλ᾽ ἄγε μὴ μύνῃσι παρέλκετε μηδ᾽ ἔτι τόξου
but come not with-pretexts draw-aside nor longer from-the-bow
δηρὸν ἀποτρωπᾶσθε τανυστύος, ὄφρα ἴδωμεν.
long turn-away from-the-stringing so-that we-may-see
καὶ δέ κεν αὐτὸς ἐγὼ τοῦ τόξου πειρησαίμην·
and also — myself I the bow might-try
εἰ δέ κεν ἐντανύσω διοϊστεύσω τε σιδήρου,
if and — I-string(-it) shoot-through and the-iron
οὔ κέ μοι ἀχνυμένῳ τάδε δώματα πότνια μήτηρ 115
not — to-me grieving this house queenly mother
λείποι ἅμ᾽ ἄλλῳ ἰοῦσ᾽, ὅτ᾽ ἐγὼ κατόπισθε λιποίμην
would-leave with another going when I behind should-be-left
οἷός τ᾽ ἤδη πατρὸς ἀέθλια κάλ᾽ ἀνελέσθαι."
such — already of-father the-prizes fair to-take-up
Ἦ καὶ ἀπ᾽ ὤμοιϊν χλαῖναν θέτο φοινικόεσσαν
He-spoke and from shoulders the-cloak put crimson
ὀρθὸς ἀναΐξας, ἀπὸ δὲ ξίφος ὀξὺ θέτ᾽ ὤμων.
upright springing-up from and sword sharp put shoulders

πρῶτον μὲν πελέκεας στῆσεν, διὰ τάφρον ὀρύξας
first indeed the-axes he-set through a-trench digging
πᾶσι μίαν μακρήν, καὶ ἐπὶ στάθμην ἴθυνεν,
for-all one long and to the-line made-straight
ἀμφὶ δὲ γαῖαν ἔναξε· τάφος δ' ἕλε πάντας ἰδόντας,
around and the-earth stamped amazement and seized all seeing(-it)
ὡς εὐκόσμως στῆσε· πάρος δ' οὐ πώ ποτ' ὀπώπει.
how in-order he-set(-them) before but not yet ever he-had-seen(-it)
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰὼν καὶ τόξου πειρήτιζε.
stood and then on the-threshold going and the-bow tried
τρὶς μέν μιν πελέμιξεν ἐρύσσεσθαι μενεαίνων,
three-times indeed it he-made-quiver to-draw eager
τρὶς δὲ μεθῆκε βίης, ἐπιελπόμενος τό γε θυμῷ,
three-times and relaxed from-force hoping this indeed in-heart
νευρὴν ἐντανύειν διοϊστεύσειν τε σιδήρου.
the-string to-stretch to-shoot-through and the-iron
καί νύ κε δή ῥ' ἐτάνυσσε βίῃ τὸ τέταρτον ἀνέλκων,
and now — indeed then he-would-have-strung(-it) by-force the fourth drawing
ἀλλ' Ὀδυσεὺς ἀνένευε καὶ ἔσχεθεν ἱέμενόν περ.
but Odysseus shook-his-head and checked eager though
τοῖς δ' αὖτις μετέειφ' ἱερὴ ἴς Τηλεμάχοιο·
to-them and again spoke-among the-sacred might of-Telemachus
" Ὤ πόποι, ἦ καὶ ἔπειτα κακός τ' ἔσομαι καὶ ἄκικυς,
Oh for-shame truly even hereafter coward both I-shall-be and weakling
ἠὲ νεώτερός εἰμι καὶ οὔ πω χερσὶ πέποιθα
or younger I-am and not yet in-hands I-trust
ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ.
a-man to-ward-off when anyone first grows-angry

ἀλλ᾽ ἄγεθ᾽, οἵ περ ἐμεῖο βίῃ προφερέστεροί ἐστε,
but come who indeed than-me in-strength stronger are
τόξου πειρήσασθε, καὶ ἐκτελέωμεν ἄεθλον.᾽᾽
the-bow try and let-us-finish the-contest
Ὣς εἰπὼν τόξον μὲν ἀπὸ ἕο θῆκε χαμᾶζε,
So having-spoken the-bow indeed from himself set to-the-ground
κλίνας κολλητῇσιν ἐϋξέστῃς σανίδεσσιν,
leaning(-it) against-the-joined well-polished doors
αὐτοῦ δ᾽ ὠκὺ βέλος καλῇ προσέκλινε κορώνῃ,
there and the-swift arrow against-the-fair leaned hook
ἂψ δ᾽ αὖτις κατ᾽ ἄρ᾽ ἕζετ᾽ ἐπὶ θρόνου ἔνθεν ἀνέστη.
back and again down then sat on the-chair from-which he-had-risen
Τοῖσιν δ᾽ Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
To-them and Antinous spoke-among of-Eupeithes son
᾽᾽ Ὄρνυσθ᾽ ἐξείης ἐπιδέξια πάντες ἑταῖροι,
Rise in-order from-left-to-right all comrades
ἀρξάμενοι τοῦ χώρου ὅθεν τέ περ οἰνοχοεύει.᾽᾽
beginning-from the place whence — indeed one-pours-wine
Ὣς ἔφατ᾽ Ἀντίνοος, τοῖσιν δ᾽ ἐπιήνδανε μῦθος.
So he-spoke Antinous to-them and was-pleasing the-word
Λειώδης δὲ πρῶτος ἀνίστατο, Οἴνοπος υἱός,
Leiodes and first rose of-Oenops son
ὅ σφι θυοσκόος ἔσκε, παρὰ κρητῆρα δὲ καλὸν
who for-them diviner was by mixing-bowl and fair
ἷζε μυχοίτατος αἰέν· ἀτασθαλίαι δέ οἱ οἷῳ
sat innermost always reckless-deeds and to-him alone
ἐχθραὶ ἔσαν, πᾶσιν δὲ νεμέσσα μνηστήρεσσιν·
hateful were to-all and was-indignant with-the-suitors
ὅς ῥα τότε πρῶτος τόξον λάβε καὶ βέλος ὠκύ.
who then then first the-bow took and arrow swift

στῆ δ᾽ ἄρ᾽ ἐπ᾽ οὐδὸν ἰὼν καὶ τόξου πειρήτιζεν,
stood and then on the-threshold going and the-bow tried
οὐδέ μιν ἐντάνυσε· πρὶν γὰρ κάμε χεῖρας ἀνέλκων
nor it did-he-string before for wearied hands drawing
ἀτρίπτους ἁπαλάς· μετὰ δὲ μνηστῆρσιν ἔειπεν·
unworn tender among and the-suitors spoke
“ Ὦ φίλοι, οὐ μὲν ἐγὼ τανύω, λαβέτω δὲ καὶ ἄλλος.
O friends not indeed I string(-it) let-take and also another
πολλοὺς γὰρ τόδε τόξον ἀριστῆας κεκαδήσει
many for this bow chiefs will-deprive
θυμοῦ καὶ ψυχῆς, ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστι
of-spirit and of-life since truly much better is
τεθνάμεν ἢ ζώοντας ἁμαρτεῖν, οὕθ᾽ ἕνεκ᾽ αἰεὶ
to-be-dead than living to-fail which for-the-sake-of always
ἐνθάδ᾽ ὁμιλέομεν, ποτιδέγμενοι ἤματα πάντα.
here we-gather waiting days all
νῦν μέν τις καὶ ἔλπετ᾽ ἐνὶ φρεσὶν ἠδὲ μενοινᾷ
now indeed someone also hopes in mind and purposes
γῆμαι Πηνελόπειαν, Ὀδυσσῆος παράκοιτιν.
to-marry Penelope of-Odysseus the-wife
αὐτὰρ ἐπὴν τόξου πειρήσεται ἠδὲ ἴδηται,
but when the-bow he-shall-try and see
ἄλλην δή τιν᾽ ἔπειτα Ἀχαιϊάδων εὐπέπλων
another indeed some then of-Achaean-women fair-robed
μνάσθω ἐέδνοισιν διζήμενος· ἡ δέ κ᾽ ἔπειτα
let-woo with-bride-gifts seeking(-her) she and — then
γήμαιθ᾽ ὅς κε πλεῖστα πόροι καὶ μόρσιμος ἔλθοι.”
may-marry who — most may-give and fated may-come

Ὣς ἄρ᾽ ἐφώνησεν καὶ ἀπὸ ἕο τόξον ἔθηκε,
So then he-spoke and from himself the-bow set
κλίνας κολλητῇσιν ἐϋξέστῃς σανίδεσσιν,
leaning(-it) against-the-joined well-polished doors
αὐτοῦ δ᾽ ὠκὺ βέλος καλῇ προσέκλινε κορώνῃ,
there and the-swift arrow against-the-fair leaned hook
ἂψ δ᾽ αὖτις κατ᾽ ἄρ᾽ ἕζετ᾽ ἐπὶ θρόνου ἔνθεν ἀνέστη.
back and again down then sat on the-chair from-which he-had-risen
Ἀντίνοος δ᾽ ἐνένιπεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
Antinous and rebuked word and spoke out and named(-him)
“Λειῶδες, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων,
Leiodes what you word escaped the-fence of-teeth
δεινόν τ᾽ ἀργαλέον τε, — νεμεσσῶμαι δέ τ᾽ ἀκούων —
dread both grievous and I-am-indignant and — hearing
εἰ δὴ τοῦτό γε τόξον ἀριστῆας κεκαδήσει
if indeed this indeed bow chiefs will-deprive
θυμοῦ καὶ ψυχῆς, ἐπεὶ οὐ δύνασαι σὺ τανύσσαι.
of-spirit and of-life since not are-able you to-string(-it)
οὐ γάρ τοί σέ γε τοῖον ἐγείνατο πότνια μήτηρ
not for you-know you indeed such bore queenly mother
οἷόν τε ῥυτῆρα βιοῦ τ᾽ ἔμεναι καὶ ὀϊστῶν·
such-as — a-drawer of-bow both to-be and of-arrows
ἀλλ᾽ ἄλλοι τανύουσι τάχα μνηστῆρες ἀγαυοί.”
but others will-string(-it) soon the-suitors lordly
Ὣς φάτο, καί ῥ᾽ ἐκέλευσε Μελάνθιον, αἰπόλον αἰγῶν·
So he-spoke and then bade Melanthius goatherd of-goats
“Ἄγρει δή, πῦρ κῆον ἐνὶ μεγάροισι, Μελανθεῦ,
Come indeed fire kindle in the-halls Melantheus
πὰρ δὲ τίθει δίφρον τε μέγαν καὶ κῶας ἐπ᾽ αὐτοῦ,
beside and set a-stool both great and a-fleece on it

ἐκ δὲ στέατος ἔνεικε μέγαν τροχὸν ἔνδον ἐόντος,
out and of-fat bring a-great cake within being
ὄφρα νέοι θάλποντες, ἐπιχρίοντες ἀλοιφῇ,
so-that we-young-men warming anointing with-grease
τόξου πειρώμεσθα καὶ ἐκτελέωμεν ἄεθλον."
the-bow may-try and let-us-finish the-contest
Ὣς φάθ', ὁ δ' αἶψ' ἀνέκαιε Μελάνθιος ἀκάματον πῦρ,
So he-spoke he and at-once kindled Melanthius unwearying fire
πὰρ δὲ φέρων δίφρον θῆκεν καὶ κῶας ἐπ' αὐτοῦ,
beside and bringing a-stool set and a-fleece on it
ἐκ δὲ στέατος ἔνεικε μέγαν τροχὸν ἔνδον ἐόντος·
out and of-fat brought a-great cake within being
τῷ ῥα νέοι θάλποντες ἐπειρῶντ'· οὐδ' ἐδύναντο
with-it then the-young-men warming tried nor were-able
ἐντανύσαι, πολλὸν δὲ βίης ἐπιδευέες ἦσαν.
to-string(-it) much and of-force lacking were

Outside the hall Odysseus asks the herdsmen whether they would fight for Odysseus or for the suitors, and both pray for his return. He reveals himself, promising them wives and houses, and shows them the scar. They weep and embrace him. He tells Eumaeus to bring him the bow and to have the women lock the doors of the hall, and Philoetius to bar the gate of the court.

Ἀντίνοος δ᾽ ἔτ᾽ ἐπείχε καὶ Εὐρύμαχος θεοειδής,
Antinous but still held-back and Eurymachus godlike
ἀρχοὶ μνηστήρων· ἀρετῇ δ᾽ ἔσαν ἔξοχ᾽ ἄριστοι.
leaders of-the-suitors in-excellence and were by-far best
τὼ δ᾽ ἐξ οἴκου βῆσαν ὁμαρτήσαντες ἅμ᾽ ἄμφω
the-two and from the-house went keeping-company together both
βουκόλος ἠδὲ συφορβὸς Ὀδυσσῆος θείοιο·
the-herdsman and the-swineherd of-Odysseus godlike
ἐκ δ᾽ αὐτὸς μετὰ τοὺς δόμου ἤλυθε δῖος Ὀδυσσεύς. 190
out and himself after them from-the-house came noble Odysseus
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐκτὸς θυρέων ἔσαν ἠδὲ καὶ αὐλῆς,
but when indeed then outside the-doors they-were and also the-court
φθεγξάμενός σφε ἔπεσσι προσηύδα μειλιχίοισι·
speaking them with-words he-addressed gentle
"Βουκόλε καὶ σύ, συφορβέ, ἔπος τί κε μυθησαίμην,
Herdsman and you swineherd a-word some — should-I-say
ἦ αὐτὸς κεύθω; φάσθαι δέ με θυμὸς ἀνώγει.
or myself hide(-it) to-speak but me heart bids
ποῖοί κ᾽ εἶτ᾽ Ὀδυσῆϊ ἀμυνέμεν, εἴ ποθεν ἔλθοι 195
what-sort — would-you-be for-Odysseus to-defend(-him) if from-somewhere he-should-come
ὧδε μάλ᾽ ἐξαπίνης καί τις θεὸς αὐτὸν ἐνείκαι;
thus very suddenly and some god him should-bring

ἤ κε μνηστήρεσσιν ἀμύνοιτ᾽ ἦ Ὀδυσῆϊ;
whether — for-the-suitors would-you-defend or for-Odysseus
εἶπαθ᾽ ὅπως ὑμέας κραδίη θυμός τε κελεύει.᾽᾽
tell how you heart spirit and bids
Τὸν δ᾽ αὖτε προσέειπε βοῶν ἐπιβουκόλος ἀνήρ·
Him and in-turn addressed of-the-cattle the-herdsman man
200 ᾽᾽Ζεῦ πάτερ, αἴ γὰρ τοῦτο τελευτήσειας ἐέλδωρ,
Zeus father if-only for this you-would-fulfill wish
ὡς ἔλθοι μὲν κεῖνος ἀνήρ, ἀγάγοι δέ ἑ δαίμων·
that may-come indeed that man may-lead and him a-god
γνοίης χ᾽ οἵη ἐμὴ δύναμις καὶ χεῖρες ἕπονται.᾽᾽
you-would-know — what-sort my might and hands follow
Ὣς δ᾽ αὔτως Εὔμαιος ἐπεύχετο πᾶσι θεοῖσι
So and likewise Eumaeus prayed to-all gods
νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε.
to-return Odysseus shrewd to-his-own home
205 Αὐτὰρ ἐπεὶ δὴ τῶν γε νόον νημερτέ᾽ ἀνέγνω,
But when indeed of-them indeed the-mind true he-knew
ἐξαῦτίς σφε ἔπεσσιν ἀμειβόμενος προσέειπεν·
again them with-words answering he-addressed
᾽᾽ Ἔνδον μὲν δὴ ὅδ᾽ αὐτὸς ἐγώ, κακὰ πολλὰ μογήσας
Here indeed truly this-one myself I evils many having-toiled
ἤλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
I-have-come in-the-twentieth year to native land
γιγνώσκω δ᾽ ὡς σφῶϊν ἐελδομένοισιν ἱκάνω
I-perceive and that to-you-two longing(-for-me) I-come
210 οἵοισι δμώων· τῶν δ᾽ ἄλλων οὔ τευ ἄκουσα
alone of-the-servants of-the and others not anyone I-heard
εὐξαμένου ἐμὲ αὖτις ὑπότροπον οἶκαδ᾽ ἱκέσθαι.
praying me back returning home to-come

σφῶϊν δ', ὡς ἔσεταί περ, ἀληθείην καταλέξω.
to-you-two but as it-will-be indeed the-truth I-will-recount
εἴ χ' ὑπ' ἔμοι γε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυούς,
if — by me indeed a-god subdues the-suitors lordly
ἄξομαι ἀμφοτέροις ἀλόχους καὶ κτήματ' ὀπάσσω
I-will-bring for-both wives and possessions will-give
οἰκία τ' ἐγγὺς ἐμεῖο τετυγμένα· καί μοι ἔπειτα
houses and near me built and to-me thereafter
Τηλεμάχου ἑτάρω τε κασιγνήτω τε ἔσεσθον.
of-Telemachus comrades both brothers and you-two-shall-be
εἰ δ' ἄγε δή, καὶ σῆμα ἀριφραδὲς ἄλλο τι δείξω,
if and come indeed also a-sign clear another some I-will-show
ὄφρα μ' εὖ γνῶτον πιστωθῆτόν τ' ἐνὶ θυμῷ,
so-that me well you-two-may-know may-be-assured and in heart
οὐλήν, τήν ποτέ με σῦς ἤλασε λευκῷ ὀδόντι
the-scar which once me a-boar inflicted with-white tusk
Παρνησόνδ' ἐλθόντα σὺν υἱάσιν Αὐτολύκοιο."
to-Parnassus having-gone with the-sons of-Autolycus

Ὣς εἰπὼν ῥάκεα μεγάλης ἀποέργαθεν οὐλῆς.
So having-spoken the-rags from-the-great he-drew-aside scar
τὼ δ' ἐπεὶ εἰσιδέτην εὖ τ' ἐφράσσαντο ἕκαστα,
they-two and when they-saw(-it) well and noted each-thing
κλαῖον ἄρ' ἀμφ' Ὀδυσῆϊ δαΐφρονι χεῖρε βαλόντε,
wept then around Odysseus wise-hearted arms casting
καὶ κύνεον ἀγαπαζόμενοι κεφαλήν τε καὶ ὤμους
and kissed welcoming(-him) head both and shoulders
ὣς δ' αὖτως Ὀδυσεὺς κεφαλὰς καὶ χεῖρας ἔκυσσε.
so and likewise Odysseus heads and hands kissed

καί νύ κ᾽ ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,
and now — for-them-weeping would-have-set the-light of-the-sun
εἰ μὴ Ὀδυσσεὺς αὐτὸς ἐρύκακε φώνησέν τε·
if not Odysseus himself had-checked(-them) spoke and
"Παύεσθον κλαυθμοῖο γόοιό τε, μή τις ἴδηται
Cease from-weeping lament and lest anyone see(-us)
ἐξελθὼν μεγάροιο, ἀτὰρ εἴπῃσι καὶ ἔσω.
coming-out from-the-hall but tell(-it) also inside
ἀλλὰ προμνηστῖνοι ἐσέλθετε, μηδ᾽ ἅμα πάντες,
but one-by-one go-in not together all
πρῶτος ἐγώ, μετὰ δ᾽ ὔμμες· ἀτὰρ τόδε σῆμα τετύχθω·
first I after and you but this sign let-be-made
ἄλλοι μὲν γὰρ πάντες, ὅσοι μνηστῆρες ἀγαυοί,
others indeed for all as-many-as suitors lordly
οὐκ ἐάσουσιν ἐμοὶ δόμεναι βιὸν ἠδὲ φαρέτρην·
not will-allow to-me to-give the-bow and the-quiver
ἀλλὰ σύ, δῖ᾽ Εὔμαιε, φέρων ἀνὰ δώματα τόξον
but you noble Eumaeus carrying through the-house the-bow
ἐν χείρεσσιν ἐμοὶ θέμεναι, εἰπεῖν τε γυναιξὶ
in hands my to-put tell and the-women
κληῖσαι μεγάροιο θύρας πυκινῶς ἀραρυίας,
to-lock of-the-hall the-doors closely fitted
ἢν δέ τις ἢ στοναχῆς ἠὲ κτύπου ἔνδον ἀκούσῃ
if and anyone either groaning or din inside hears
ἀνδρῶν ἡμετέροισιν ἐν ἕρκεσι, μή τι θύραζε
of-men our in courts not at-all out-of-doors
προβλώσκειν, ἀλλ᾽ αὐτοῦ ἀκὴν ἔμεναι παρὰ ἔργῳ.
to-come-forth but there in-silence to-be at the-work

σοὶ δέ, Φιλοίτιε δῖε, θύρας ἐπιτέλλομαι αὐλῆς
to-you and Philoetius noble the-doors I-charge of-the-court
κληῖσαι κληῖδι, θοῶς δ' ἐπὶ δεσμὸν ἰῆλαι."
to-lock with-the-bar quickly and on a-knot to-cast
Ὣς εἰπὼν εἰσῆλθε δόμους εὖ ναιετάοντας·
So having-spoken he-entered the-house well dwelt-in
ἕζετ' ἔπειτ' ἐπὶ δίφρον ἰών, ἔνθεν περ ἀνέστη·
he-sat then on the-stool going whence indeed he-had-risen
ἐς δ' ἄρα καὶ τὼ δμῶε ἴτην θείου Ὀδυσῆος.
in and then also the-two servants went of-godlike Odysseus

XXI.4 · THE BEGGAR ASKS FOR THE BOW

Eurymachus fails and laments the disgrace. Antinous proposes to put off the contest, since it is Apollo's feast day. Odysseus asks to try the bow, and Antinous threatens him with the fate of the drunken Centaur Eurytion. Penelope says the stranger hopes for no marriage, and promises him clothes and arms if he succeeds. Telemachus claims the right to give the bow and sends his mother to her rooms.

Εὐρύμαχος δ' ἤδη τόξον μετὰ χερσὶν ἐνώμα,
Eurymachus and now the-bow among hands was-handling
θάλπων ἔνθα καὶ ἔνθα σέλᾳ πυρός· ἀλλά μιν οὐδ' ὣς
warming(-it) this-way and that-way at-the-blaze of-the-fire but it not-even so
ἐντανύσαι δύνατο, μέγα δ' ἔστενε κυδάλιμον κῆρ·
to-string was-he-able greatly and groaned glorious heart
ὀχθήσας δ' ἄρα εἶπεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
vexed and then he-spoke word and spoke out and named(-them)
" Ὢ πόποι, ἦ μοι ἄχος περί τ' αὐτοῦ καὶ περὶ πάντων·
Oh for-shame truly to-me grief for both myself and for all
οὔ τι γάμου τοσσοῦτον ὀδύρομαι, ἀχνύμενός περ·
not at-all for-the-marriage so-much do-I-mourn grieving though

εἰσὶ καὶ ἄλλαι πολλαὶ Ἀχαιΐδες, αἱ μὲν ἐν αὐτῇ
there-are also other many Achaean-women some indeed in itself
ἀμφιάλῳ Ἰθάκῃ, αἱ δ' ἄλλῃσιν πολίεσσιν·
sea-girt Ithaca some and in-other cities
ἀλλ' εἰ δὴ τοσσόνδε βίης ἐπιδευέες εἰμὲν
but if indeed so-much in-strength lacking we-are
ἀντιθέου Ὀδυσῆος, ὅ τ' οὐ δυνάμεσθα τανύσσαι
of-godlike Odysseus that — not are-we-able to-string
τόξον· ἐλεγχείη δὲ καὶ ἐσσομένοισι πυθέσθαι."
the-bow a-disgrace and even to-those-to-come to-learn

Τὸν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
Him and in-turn Antinous addressed of-Eupeithes son
"Εὐρύμαχ', οὐχ οὕτως ἔσται· νοέεις δὲ καὶ αὐτός.
Eurymachus not so it-will-be you-know and also yourself
νῦν μὲν γὰρ κατὰ δῆμον ἑορτὴ τοῖο θεοῖο
now indeed for throughout the-land a-feast of-the god
ἁγνή· τίς δέ κε τόξα τιταίνοιτ'; ἀλλὰ ἔκηλοι
holy who and — bows would-bend but at-ease
κάτθετ'· ἀτὰρ πελέκεάς γε καὶ εἴ κ' εἰῶμεν ἅπαντας
lay(-them)-down but the-axes indeed even if — we-let all
ἑστάμεν· οὐ μὲν γάρ τιν' ἀναιρήσεσθαι ὀΐω,
stand not indeed for anyone to-take-away I-think
ἐλθόντ' ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.
coming into the-hall of-the-son-of-Laertes Odysseus
ἀλλ' ἄγετ', οἰνοχόος μὲν ἐπαρξάσθω δεπάεσσιν,
but come the-cupbearer indeed let-pour-first in-cups
ὄφρα σπείσαντες καταθείομεν ἀγκύλα τόξα·
so-that having-poured-libation we-may-lay-down the-curved bows
ἠῶθεν δὲ κέλεσθε Μελάνθιον, αἰπόλον αἰγῶν,
at-dawn and bid Melanthius goatherd of-goats

αἶγας ἄγειν, αἳ πᾶσι μέγ' ἔξοχοι αἰπολίοισιν,
goats to-bring which among-all by-far best of-the-goat-flocks
ὄφρ' ἐπὶ μηρία θέντες Ἀπόλλωνι κλυτοτόξῳ
so-that on(-the-altar) thigh-pieces setting to-Apollo famed-for-the-bow
τόξου πειρώμεσθα καὶ ἐκτελέωμεν ἄεθλον."
the-bow we-may-try and may-finish the-contest
Ὣς ἔφατ' Ἀντίνοος, τοῖσιν δ' ἐπιήνδανε μῦθος.
So he-spoke Antinous to-them and was-pleasing the-word
τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
to-them and heralds indeed water over hands poured
κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο,
youths and mixing-bowls filled-to-the-brim with-drink
νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν.
distributed and then to-all having-poured-first-drops in-cups
οἱ δ' ἐπεὶ οὖν σπείσάν τ' ἔπιόν θ' ὅσον ἤθελε θυμός,
they and when then they-had-poured-libation both drunk and as-much-as wished the-heart
τοῖς δὲ δολοφρονέων μετέφη πολύμητις Ὀδυσσεύς·
to-them and with-crafty-mind spoke-among of-many-wiles Odysseus
"Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης·
Hear me suitors of-the-glorious queen
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει·
so-that I-may-say what me heart in breast bids
Εὐρύμαχον δὲ μάλιστα καὶ Ἀντίνοον θεοειδέα
Eurymachus and most and Antinous godlike
λίσσομ', ἐπεὶ καὶ τοῦτο ἔπος κατὰ μοῖραν ἔειπε,
I-beseech since also this word according-to due he-spoke
νῦν μὲν παῦσαι τόξον, ἐπιτρέψαι δὲ θεοῖσιν·
now indeed to-stop the-bow to-leave(-it) and to-the-gods
ἠῶθεν δὲ θεὸς δώσει κράτος ᾧ κ' ἐθέλῃσιν.
at-dawn and a-god will-give victory to-whom — he-wishes

ἀλλ᾽ ἄγ᾽ ἐμοὶ δότε τόξον ἐΰξοον, ὄφρα μεθ᾽ ὑμῖν
but come to-me give the-bow well-polished so-that among you
χειρῶν καὶ σθένεος πειρήσομαι, ἤ μοι ἔτ᾽ ἐστὶν
of-hands and strength I-may-make-trial whether my still is
ἶς, οἵη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν,
the-might such-as before was in supple limbs
ἦ ἤδη μοι ὄλεσσεν ἄλη τ᾽ ἀκομιστίη τε.᾽᾽
or already for-me has-destroyed(-it) wandering both neglect and
285 Ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ὑπερφιάλως νεμέσησαν,
So he-spoke they and then all exceedingly were-indignant
δείσαντες μὴ τόξον ἐΰξοον ἐντανύσειεν.
fearing lest the-bow well-polished he-should-string
Ἀντίνοος δ᾽ ἐνένιπεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
Antinous and rebuked word and spoke out and named(-him)
᾽᾽ Ἆ δειλὲ ξείνων, ἔνι τοι φρένες οὐδ᾽ ἠβαιαί·
Ah wretched of-strangers are-in to-you wits not-even a-little
οὐκ ἀγαπᾷς ὃ ἔκηλος ὑπερφιάλοισι μεθ᾽ ἡμῖν
not are-you-content that at-ease with-overbearing among us
290 δαίνυσαι, οὐδέ τι δαιτὸς ἀμέρδεαι, αὐτὰρ ἀκούεις
you-dine nor at-all of-the-feast are-deprived but you-hear
μύθων ἡμετέρων καὶ ῥήσιος; οὐδέ τις ἄλλος
words our and speech nor any other
ἡμετέρων μύθων ξεῖνος καὶ πτωχὸς ἀκούει.
our words stranger and beggar hears
οἰνός σε τρώει μελιηδής, ὅς τε καὶ ἄλλους
wine you wounds honey-sweet which — also others
βλάπτει, ὃς ἄν μιν χανδὸν ἕλῃ μηδ᾽ αἴσιμα πίνῃ.
harms who — it greedily takes nor in-measure drinks
295 οἶνος καὶ Κένταυρον, ἀγακλυτὸν Εὐρυτίωνα,
wine also the-Centaur famed Eurytion

ἄασ᾽ ἐνὶ μεγάρῳ μεγαθύμου Πειριθόοιο,
blinded in the-hall of-great-hearted Peirithous
ἐς Λαπίθας ἐλθόνθ᾽· ὁ δ᾽ ἐπεὶ φρένας ἄασεν οἴνῳ,
to the-Lapiths coming he and when wits he-had-blinded with-wine
μαινόμενος κάκ᾽ ἔρεξε δόμον κάτα Πειριθόοιο·
raving evils did house throughout of-Peirithous
ἥρωας δ᾽ ἄχος εἷλε, διὲκ προθύρου δὲ θύραζε
the-heroes and grief seized through the-doorway and out-of-doors
ἕλκον ἀναΐξαντες, ἀπ᾽ οὔατα νηλεΐ χαλκῷ
they-dragged(-him) springing-up off ears with-pitiless bronze
ῥῖνάς τ᾽ ἀμήσαντες· ὁ δὲ φρεσὶν ἧσιν ἀασθεὶς
nose and cutting-off he and in-mind his-own blinded
ᾔϊεν ἣν ἄτην ὀχέων ἀεσίφρονι θυμῷ.
went his-own folly bearing with-witless heart
ἐξ οὗ Κενταύροισι καὶ ἀνδράσι νεῖκος ἐτύχθη,
from which between-Centaurs and men strife came
οἳ δ᾽ αὐτῷ πρώτῳ κακὸν εὕρετο οἰνοβαρείων.
for-him and himself first evil he-found heavy-with-wine
ὣς καὶ σοὶ μέγα πῆμα πιφαύσκομαι, αἴ κε τὸ τόξον
so also to-you great woe I-declare if — the bow
ἐντανύσῃς· οὐ γάρ τευ ἐπητύος ἀντιβολήσεις
you-string not for of-anyone kindness you-will-meet
ἡμετέρῳ ἐνὶ δήμῳ, ἄφαρ δέ σε νηῒ μελαίνῃ
our in land at-once and you in-ship black
εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων,
to Echetus the-king of-mortals the-maimer of-all
πέμψομεν· ἔνθεν δ᾽ οὔ τι σαώσεαι· ἀλλὰ ἔκηλος
we-will-send thence and not at-all you-will-be-saved but at-ease
πῖνέ τε, μηδ᾽ ἐρίδαινε μετ᾽ ἀνδράσι κουροτέροισιν."
drink both nor contend with men younger

Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Him and in-turn addressed wise Penelope
"Ἀντίνο', οὐ μὲν καλὸν ἀτέμβειν οὐδὲ δίκαιον
Antinous not indeed good to-cheat nor just
ξείνους Τηλεμάχου, ὅς κεν τάδε δώμαθ' ἵκηται·
the-guests of-Telemachus whoever — this house reaches
ἔλπεαι, αἴ χ' ὁ ξεῖνος Ὀδυσσῆος μέγα τόξον
do-you-expect if — the stranger of-Odysseus the-great bow
ἐντανύσῃ χερσίν τε βίηφί τε ἦφι πιθήσας,
strings with-hands both force and his-own trusting
οἴκαδέ μ' ἄξεσθαι καὶ ἐὴν θήσεσθαι ἄκοιτιν;
home me to-lead and his-own to-make wife
οὐδ' αὐτός που τοῦτό γ' ἐνὶ στήθεσσιν ἔολπε·
not-even himself surely this indeed in breast hopes
μηδέ τις ὑμείων τοῦ γ' εἵνεκα θυμὸν ἀχεύων
nor any of-you of-him indeed for-the-sake-of heart grieving
ἐνθάδε δαινύσθω, ἐπεὶ οὐδὲ μὲν οὐδὲ ἔοικεν."
here let-feast since nor indeed even is-it-fitting
Τὴν δ' αὖτ' Εὐρύμαχος, Πολύβου πάϊς, ἀντίον ηὔδα·
Her and in-turn Eurymachus of-Polybus son in-reply spoke
"Κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
Daughter of-Icarius wise Penelope
οὔ τί σε τόνδ' ἄξεσθαι ὀϊόμεθ'· οὐδὲ ἔοικεν·
not at-all you this-one to-lead-home we-think nor is-it-fitting
ἀλλ' αἰσχυνόμενοι φάτιν ἀνδρῶν ἠδὲ γυναικῶν,
but ashamed-of the-talk of-men and women

μή ποτέ τις εἴπῃσι κακώτερος ἄλλος Ἀχαιῶν
lest ever anyone say baser other of-the-Achaeans
‘Ἦ πολὺ χείρονες ἄνδρες ἀμύμονος ἀνδρὸς ἄκοιτιν
Truly much worse men of-a-blameless man the-wife
μνῶνται, οὐδέ τι τόξον ἐΰξοον ἐντανύουσιν·
woo nor at-all the-bow well-polished do-they-string
ἀλλ’ ἄλλος τις πτωχὸς ἀνὴρ ἀλαλήμενος ἐλθὼν
but another some beggar man having-wandered coming
ῥηϊδίως ἐτάνυσσε βιόν, διὰ δ’ ἧκε σιδήρου.’
easily strung the-bow through and shot the-iron
ὣς ἐρέουσ’, ἡμῖν δ’ ἂν ἐλέγχεα ταῦτα γένοιτο.”
so they-will-say for-us and — shames these would-be
Τὸν δ’ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Him and in-turn addressed wise Penelope
“Εὐρύμαχ’, οὔ πως ἔστιν ἐϋκλεΐας κατὰ δῆμον
Eurymachus not in-any-way is-it-possible of-good-fame throughout the-land
ἔμμεναι οἳ δὴ οἶκον ἀτιμάζοντες ἔδουσιν
to-be who indeed the-house dishonoring devour
ἀνδρὸς ἀριστῆος· τί δ’ ἐλέγχεα ταῦτα τίθεσθε;
of-a-man best why and shames these do-you-reckon
οὗτος δὲ ξεῖνος μάλα μὲν μέγας ἠδ’ εὐπηγής,
this and stranger very indeed tall and well-built
πατρὸς δ’ ἐξ ἀγαθοῦ γένος εὔχεται ἔμμεναι υἱός.
of-father and from good by-race he-claims to-be son
ἀλλ’ ἄγε οἱ δότε τόξον ἐΰξοον, ὄφρα ἴδωμεν.
but come to-him give the-bow well-polished so-that we-may-see
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
thus for I-will-declare this and also accomplished will-be
εἴ κέ μιν ἐντανύσῃ, δώῃ δέ οἱ εὖχος Ἀπόλλων,
if — it he-strings gives and to-him glory Apollo

ἕσσω μιν χλαῖνάν τε χιτῶνά τε, εἵματα καλά,
I-will-clothe him cloak both tunic and clothes fair
δώσω δ' ὀξὺν ἄκοντα, κυνῶν ἀλκτῆρα καὶ ἀνδρῶν,
I-will-give and sharp javelin of-dogs warder and of-men
καὶ ξίφος ἄμφηκες· δώσω δ' ὑπὸ ποσσὶ πέδιλα,
and a-sword two-edged I-will-give and beneath feet sandals
πέμψω δ' ὅππη μιν κραδίη θυμός τε κελεύει."
I-will-send and wherever him heart spirit and bids
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Her and in-turn Telemachus prudent in-reply spoke
"Μῆτερ ἐμή, τόξον μὲν Ἀχαιῶν οὔ τις ἐμεῖο
Mother my the-bow indeed of-the-Achaeans not any than-me
κρείσσων, ᾧ κ' ἐθέλω, δόμεναί τε καὶ ἀρνήσασθαι,
has-more-right to-whom — I-wish to-give both and to-refuse
οὔθ' ὅσσοι κραναὴν Ἰθάκην κάτα κοιρανέουσιν,
neither as-many-as rocky Ithaca throughout lord-it
οὔθ' ὅσσοι νήσοισι πρὸς Ἤλιδος ἱπποβότοιο·
nor as-many-as on-the-islands toward Elis horse-pasturing
τῶν οὔ τίς μ' ἀέκοντα βιήσεται, αἴ κ' ἐθέλωμι
of-these not any me unwilling will-force if — I-wish
καὶ καθάπαξ ξείνῳ δόμεναι τάδε τόξα φέρεσθαι.
even once-for-all to-the-stranger to-give this bow to-take-away
ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σ' αὐτῆς ἔργα κόμιζε,
but into the-chamber going those your own tasks tend
ἱστόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
loom both distaff and and the-handmaids bid
ἔργον ἐποίχεσθαι· τόξον δ' ἄνδρεσσι μελήσει
work to-go-about the-bow and to-men will-be-of-concern
πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἔστ' ἐνὶ οἴκῳ."
to-all most and to-me his for power is in the-house

Ἡ μὲν θαμβήσασα πάλιν οἰκόνδε βεβήκει·
She indeed marveling back to-the-chamber went
παιδὸς γὰρ μῦθον πεπνυμένον ἔνθετο θυμῷ.
of-(her)-son for the-speech prudent she-laid-up in-heart
ἐς δ' ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶ
to and the-upper-rooms having-gone-up with handmaid women
κλαῖεν ἔπειτ' Ὀδυσῆα, φίλον πόσιν, ὄφρα οἱ ὕπνον
she-wept then Odysseus dear husband until on-her sleep
ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.
sweet on eyelids cast flashing-eyed Athena

XXI.5 · THE BOW STRUNG

Eumaeus brings the bow despite the suitors' threats, and the doors are locked. Odysseus turns it over as the suitors jeer, then strings it as a minstrel strings a lyre, and Zeus thunders. Sitting on his stool, he shoots through all the axes, and Telemachus arms and stands at his side.

Αὐτὰρ ὁ τόξα λαβὼν φέρε καμπύλα δῖος ὑφορβός·
But he the-bow taking carried curved noble swineherd
μνηστῆρες δ' ἄρα πάντες ὁμόκλεον ἐν μεγάροισιν·
the-suitors and then all shouted-at(-him) in the-halls
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
thus and one would-say of-the-youths overbearing

"Πῆ δὴ καμπύλα τόξα φέρεις, ἀμέγαρτε συβῶτα,
Where indeed curved bow do-you-carry unenviable swineherd
πλαγκτέ; τάχ' αὖ σ' ἐφ' ὕεσσι κύνες ταχέες κατέδονται
crazy-one soon in-turn you among swine dogs swift will-devour
οἷον ἀπ' ἀνθρώπων, οὓς ἔτρεφες, εἴ κεν Ἀπόλλων
alone away-from men which you-reared if — Apollo
ἡμῖν ἱλήκῃσι καὶ ἀθάνατοι θεοὶ ἄλλοι."
to-us be-gracious and immortal gods other

Ὣς φάσαν, αὐτὰρ ὁ θῆκε φέρων αὐτῇ ἐνὶ χώρῃ,
So they-spoke but he set(-it) carrying the-very in place
δείσας, οὕνεκα πολλοὶ ὁμόκλεον ἐν μεγάροισιν.
fearing because many shouted-at(-him) in the-halls
Τηλέμαχος δ' ἑτέρωθεν ἀπειλήσας ἐγεγώνει·
Telemachus but on-the-other-side threatening called-out

"Ἄττα, πρόσω φέρε τόξα· τάχ' οὐκ εὖ πᾶσι πιθήσεις
Father forward carry the-bow soon not well to-all you-will-hearken
μή σε καὶ ὁπλότερός περ ἐὼν ἀγρόνδε δίωμαι,
lest you even younger though being to-the-field I-chase
βάλλων χερμαδίοισι· βίηφι δὲ φέρτερός εἰμι.
pelting with-stones in-strength and better I-am
αἲ γὰρ πάντων τόσσον, ὅσοι κατὰ δώματ' ἔασι,
if-only for than-all so-much as-many-as throughout the-house are
μνηστήρων χερσίν τε βίηφί τε φέρτερος εἴην·
of-the-suitors with-hands both with-force and better I-were
τῷ κε τάχα στυγερῶς τιν' ἐγὼ πέμψαιμι νέεσθαι
then — soon miserably some I would-send to-go
ἡμετέρου ἐξ οἴκου, ἐπεὶ κακὰ μηχανόωνται."
our from house since evils they-devise

Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡδὺ γέλασσαν
So he-spoke they and then all at him sweetly laughed
μνηστῆρες, καὶ δὴ μέθιεν χαλεποῖο χόλοιο
the-suitors and indeed relaxed from-hard anger
Τηλεμάχῳ· τὰ δὲ τόξα φέρων ἀνὰ δῶμα συβώτης
at-Telemachus the and bow carrying through the-house the-swineherd
ἐν χείρεσσ' Ὀδυσῆϊ δαΐφρονι θῆκε παραστάς.
in hands to-Odysseus wise-hearted set standing-by
ἐκ δὲ καλεσσάμενος προσέφη τροφὸν Εὐρύκλειαν·
out and calling addressed the-nurse Eurycleia
"Τηλέμαχος κέλεταί σε, περίφρων Εὐρύκλεια,
Telemachus bids you wise Eurycleia
κληῖσαι μεγάροιο θύρας πυκινῶς ἀραρυίας.
to-lock of-the-hall the-doors closely fitted
ἢν δέ τις ἢ στοναχῆς ἠὲ κτύπου ἔνδον ἀκούσῃ
if and anyone either groaning or din inside hears
ἀνδρῶν ἡμετέροισιν ἐν ἕρκεσι, μή τι θύραζε
of-men our in courts not at-all out-of-doors
προβλώσκειν, ἀλλ' αὐτοῦ ἀκὴν ἔμεναι παρὰ ἔργῳ."
to-come-forth but there in-silence to-be at the-work
Ὣς ἄρ' ἐφώνησεν, τῇ δ' ἄπτερος ἔπλετο μῦθος,
So then he-spoke for-her and wingless was the-word
κλήϊσεν δὲ θύρας μεγάρων εὖ ναιεταόντων.
she-locked and the-doors of-the-halls well dwelt-in
Σιγῇ δ' ἐξ οἴκοιο Φιλοίτιος ἆλτο θύραζε,
In-silence and from the-house Philoetius leapt out-of-doors
κλήϊσεν δ' ἄρ' ἔπειτα θύρας εὐερκέος αὐλῆς.
locked and then then the-doors of-the-well-fenced court

κεῖτο δ᾽ ὑπ᾽ αἰθούσῃ ὅπλον νεὸς ἀμφιελίσσης
lay and under the-portico a-cable of-a-ship curved
βύβλινον, ᾧ ῥ᾽ ἐπέδησε θύρας, ἐς δ᾽ ἤϊεν αὐτός·
of-papyrus with-which then he-bound-fast the-doors in and went himself
ἕζετ᾽ ἔπειτ᾽ ἐπὶ δίφρον ἰών, ἔνθεν περ ἀνέστη,
he-sat then on the-stool going whence indeed he-had-risen
εἰσορόων Ὀδυσῆα. ὁ δ᾽ ἤδη τόξον ἐνώμα
looking-at Odysseus he and already the-bow handled
πάντη ἀναστρωφῶν, πειρώμενος ἔνθα καὶ ἔνθα,
everywhere turning-it-about trying this-way and that-way
μὴ κέρα ἶπες ἔδοιεν ἀποιχομένοιο ἄνακτος.
lest the-horns worms had-eaten of-the-departed lord
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
thus and one would-say looking at near another
"Ἦ τις θηητὴρ καὶ ἐπίκλοπος ἔπλετο τόξων·
Truly some admirer and cunning-in was bows
ἤ ῥά νύ που τοιαῦτα καὶ αὐτῷ οἴκοθι κεῖται
or then now perhaps such also for-him at-home lie
ἢ ὅ γ᾽ ἐφορμᾶται ποιησέμεν, ὡς ἐνὶ χερσὶ
or he indeed is-eager to-make(-one) how in hands
νωμᾷ ἔνθα καὶ ἔνθα κακῶν ἔμπαιος ἀλήτης."
he-handles(-it) this-way and that-way in-evils skilled the-vagabond
Ἄλλος δ᾽ αὖ εἴπεσκε νέων ὑπερηνορεόντων·
Another and in-turn would-say of-the-youths overbearing
"Αἴ γὰρ δὴ τοσσοῦτον ὀνήσιος ἀντιάσειεν
If-only for indeed so-much profit may-be-meet
ὡς οὗτός ποτε τοῦτο δυνήσεται ἐντανύσασθαι."
as he ever this will-be-able to-string

Ὣς ἄρ᾽ ἔφαν μνηστῆρες· ἀτὰρ πολύμητις Ὀδυσσεύς,
So then spoke the-suitors but of-many-wiles Odysseus
αὐτίκ᾽ ἐπεὶ μέγα τόξον ἐβάστασε καὶ ἴδε πάντη,
at-once when the-great bow he-had-handled and looked-at(-it) everywhere
ὡς ὅτ᾽ ἀνὴρ φόρμιγγος ἐπιστάμενος καὶ ἀοιδῆς
as when a-man of-the-lyre skilled and of-song
ῥηϊδίως ἐτάνυσσε νέῳ περὶ κόλλοπι χορδήν,
easily stretches a-new around peg a-string
ἅψας ἀμφοτέρωθεν ἐϋστρεφὲς ἔντερον οἰός,
fastening on-both-sides the-well-twisted gut of-sheep
ὣς ἄρ᾽ ἄτερ σπουδῆς τάνυσεν μέγα τόξον Ὀδυσσεύς.
so then without effort strung the-great bow Odysseus
δεξιτερῇ ἄρα χειρὶ λαβὼν πειρήσατο νευρῆς·
with-the-right then hand taking he-tried the-string
ἡ δ᾽ ὑπὸ καλὸν ἄεισε, χελιδόνι εἰκέλη αὐδήν.
it and beneath fair sang to-a-swallow like in-sound
μνηστῆρσιν δ᾽ ἄρ᾽ ἄχος γένετο μέγα, πᾶσι δ᾽ ἄρα χρὼς
on-the-suitors and then grief came great of-all and then the-color
ἐτράπετο· Ζεὺς δὲ μεγάλ᾽ ἔκτυπε σήματα φαίνων·
turned Zeus and greatly thundered signs showing
γήθησέν τ᾽ ἄρ᾽ ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς,
rejoiced and then then much-enduring noble Odysseus
ὅττι ῥά οἱ τέρας ἧκε Κρόνου πάϊς ἀγκυλομήτεω·
that then to-him a-sign sent of-Cronus the-son crooked-counseling
εἵλετο δ᾽ ὠκὺν ὀϊστόν, ὅ οἱ παρέκειτο τραπέζῃ
he-took and a-swift arrow which by-him lay on-the-table
γυμνός· τοὶ δ᾽ ἄλλοι κοίλης ἔντοσθε φαρέτρης
bare the and others hollow within the-quiver
κείατο, τῶν τάχ᾽ ἔμελλον Ἀχαιοὶ πειρήσεσθαι.
lay of-which soon were-about the-Achaeans to-make-trial

τόν ῥ' ἐπὶ πήχει ἑλὼν ἕλκεν νευρὴν γλυφίδας τε,
it then on the-bridge taking he-drew the-string the-notches and
αὐτόθεν ἐκ δίφροιο καθήμενος, ἧκε δ' ὀϊστὸν
there from the-stool sitting he-let-fly and the-arrow
ἄντα τιτυσκόμενος, πελέκεων δ' οὐκ ἤμβροτε πάντων
straight aiming of-the-axes and not he-missed all
πρώτης στειλειῆς, διὰ δ' ἀμπερὲς ἦλθε θύραζε
the-first handle-hole through and right-through it-went out-of-doors
ἰὸς χαλκοβαρής· ὁ δὲ Τηλέμαχον προσέειπε·
the-arrow bronze-weighted he and Telemachus addressed
"Τηλέμαχ', οὔ σ' ὁ ξεῖνος ἐνὶ μεγάροισιν ἐλέγχει
Telemachus not you the stranger in the-halls shames
ἥμενος, οὐδέ τι τοῦ σκοποῦ ἤμβροτον οὐδέ τι τόξον
sitting nor at-all of-the mark did-I-miss nor at-all the-bow
δὴν ἔκαμον τανύων· ἔτι μοι μένος ἔμπεδόν ἐστιν,
long did-I-toil stringing still my strength firm is
οὐχ ὥς με μνηστῆρες ἀτιμάζοντες ὄνονται.
not as me the-suitors dishonoring scorn
νῦν δ' ὥρη καὶ δόρπον Ἀχαιοῖσιν τετυκέσθαι
now and the-hour also supper for-the-Achaeans to-be-prepared
ἐν φάει, αὐτὰρ ἔπειτα καὶ ἄλλως ἐψιάασθαι
in daylight but then also otherwise to-make-sport
μολπῇ καὶ φόρμιγγι· τὰ γάρ τ' ἀναθήματα δαιτός."
with-song and lyre these for — the-adornments of-a-feast
Ἦ καὶ ἐπ' ὀφρύσι νεῦσεν· ὁ δ' ἀμφέθετο ξίφος ὀξὺ
He-spoke and with eyebrows nodded he and put-on sword sharp
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο,
Telemachus dear son of-Odysseus godlike

ἀμφὶ δὲ χεῖρα φίλην βάλεν ἔγχεϊ, ἄγχι δ' ἄρ' αὐτοῦ
around and hand dear cast on-the-spear near and then him
πὰρ θρόνον ἑστήκει κεκορυθμένος αἴθοπι χαλκῷ.
by the-chair stood armed with-flashing bronze

BOOK XXII

XXII.1 · THE DEATH OF ANTINOUS

Odysseus strips off his rags, leaps onto the threshold, and shoots Antinous through the throat as he lifts his cup. The suitors find no weapons on the walls and, thinking it an accident, threaten the stranger. He names himself and their crimes. Eurymachus blames the dead Antinous and offers to repay everything, but Odysseus refuses, and when Eurymachus charges with his sword, an arrow strikes him in the chest.

Αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς,
But he stripped-himself of-the-rags of-many-wiles Odysseus
ἆλτο δ' ἐπὶ μέγαν οὐδόν, ἔχων βιὸν ἠδὲ φαρέτρην
leapt and onto the-great threshold holding the-bow and the-quiver
ἰῶν ἐμπλείην, ταχέας δ' ἐκχεύατ' ὀϊστοὺς
with-arrows filled swift and he-poured-out the-arrows
αὐτοῦ πρόσθε ποδῶν, μετὰ δὲ μνηστῆρσιν ἔειπεν·
there before feet among and the-suitors spoke
"Οὗτος μὲν δὴ ἄεθλος ἀάατος ἐκτετέλεσται·
This indeed truly contest decisive has-been-accomplished
νῦν αὖτε σκοπὸν ἄλλον, ὃν οὔ πώ τις βάλεν ἀνήρ,
now in-turn a-mark other which not yet any has-hit man
εἴσομαι, αἴ κε τύχωμι, πόρῃ δέ μοι εὖχος Ἀπόλλων."
I-shall-know if — I-hit(-it) may-grant and to-me glory Apollo
Ἦ καὶ ἐπ' Ἀντινόῳ ἰθύνετο πικρὸν ὀϊστόν.
He-spoke and at Antinous aimed bitter arrow
ἦ τοι ὁ καλὸν ἄλεισον ἀναιρήσεσθαι ἔμελλε,
truly indeed he a-fair goblet was-about to-lift
χρύσεον ἄμφωτον, καὶ δὴ μετὰ χερσὶν ἐνώμα,
golden two-eared and indeed among hands was-handling

ὄφρα πίοι οἴνοιο· φόνος δέ οἱ οὐκ ἐνὶ θυμῷ
so-that he-might-drink of-the-wine slaughter and for-him not in heart
μέμβλετο· τίς κ' οἴοιτο μετ' ἀνδράσι δαιτυμόνεσσι
was-a-care who — would-think among men feasting
μοῦνον ἐνὶ πλεόνεσσι, καὶ εἰ μάλα καρτερὸς εἴη,
one among many even if very strong he-were
οἱ τεύξειν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν;
for-him would-bring death both evil and doom black
τὸν δ' Ὀδυσεὺς κατὰ λαιμὸν ἐπισχόμενος βάλεν ἰῷ,
him and Odysseus at the-throat aiming struck with-an-arrow
ἀντικρὺ δ' ἀπαλοῖο δι' αὐχένος ἤλυθ' ἀκωκή.
right-through and of-the-soft through the-neck went the-point
ἐκλίνθη δ' ἑτέρωσε, δέπας δέ οἱ ἔκπεσε χειρὸς
he-leaned and to-one-side the-cup and his fell from-hand
βλημένου, αὐτίκα δ' αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθεν
struck at-once and a-jet through the-nostrils thick came
αἵματος ἀνδρομέοιο· θοῶς δ' ἀπὸ εἷο τράπεζαν
of-blood human quickly and from him the-table
ὦσε ποδὶ πλήξας, ἀπὸ δ' εἴδατα χεῦεν ἔραζε·
pushed with-foot striking out and the-food poured to-the-ground
σῖτός τε κρέα τ' ὀπτὰ φορύνετο. τοὶ δ' ὁμάδησαν
bread both meats and roasted were-befouled they and clamored
μνηστῆρες κατὰ δώμαθ', ὅπως ἴδον ἄνδρα πεσόντα,
the-suitors throughout the-house when they-saw the-man fallen
ἐκ δὲ θρόνων ἀνόρουσαν ὀρινθέντες κατὰ δῶμα,
out and from-the-chairs they-sprang roused through the-house
πάντοσε παπταίνοντες ἐϋδμήτους ποτὶ τοίχους·
everywhere peering well-built toward walls

οὐδέ πη ἀσπὶς ἔην οὐδ' ἄλκιμον ἔγχος ἑλέσθαι.
nor anywhere a-shield was nor valiant spear to-take
νείκειον δ' Ὀδυσῆα χολωτοῖσιν ἐπέεσσι·
they-reviled and Odysseus with-angry words
"Ξεῖνε, κακῶς ἀνδρῶν τοξάζεαι· οὐκέτ' ἀέθλων
Stranger evilly at-men you-shoot no-longer at-contests
ἄλλων ἀντιάσεις· νῦν τοι σῶς αἰπὺς ὄλεθρος.
other will-you-try now for-you sure sheer destruction
καὶ γὰρ δὴ νῦν φῶτα κατέκτανες ὃς μέγ' ἄριστος
also for indeed now a-man you-have-killed who by-far best
κούρων εἰν Ἰθάκῃ· τῷ σ' ἐνθάδε γῦπες ἔδονται."
of-youths in Ithaca therefore you here vultures will-eat
Ὣς ἔφατ', ἐπεὶ ἦ φάσαν οὐκ ἐθέλοντα
Spoke each man since truly they-thought not willingly
ἄνδρα κατακτεῖναι· τὸ δὲ νήπιοι οὐκ ἐνόησαν,
a-man him-to-have-killed this and fools not perceived
ὡς δή σφιν καὶ πᾶσιν ὀλέθρου πείρατ' ἐφῆπτο.
that indeed for-them also all of-destruction the-cords were-fastened
τοὺς δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
them and then from-under looking addressed of-many-wiles Odysseus
"Ὦ κύνες, οὔ μ' ἔτ' ἐφάσκεθ' ὑπότροπον οἶκαδ' ἱκέσθαι
O dogs not me longer you-thought returning home to-come
δήμου ἄπο Τρώων, ὅτι μοι κατεκείρετε οἶκον,
the-land from of-the-Trojans because my you-wasted house
δμῳῇσιν δὲ γυναιξὶ παρευνάζεσθε βιαίως,
with-the-maidservants and women lay forcibly
αὐτοῦ τε ζώοντος ὑπεμνάασθε γυναῖκα,
myself and living wooed(-my) wife
οὔτε θεοὺς δείσαντες, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν,
neither the-gods fearing who heaven broad hold

οὔτε τιν᾽ ἀνθρώπων νέμεσιν κατόπισθεν ἔσεσθαι·
nor any of-men vengeance hereafter to-be
νῦν ὑμῖν καὶ πᾶσιν ὀλέθρου πείρατ᾽ ἐφῆπται.”
now for-you also all of-destruction the-cords have-been-fastened
Ὣς φάτο, τοὺς δ᾽ ἄρα πάντας ὑπὸ χλωρὸν δέος εἷλεν·
So he-spoke them and then all beneath pale fear seized
πάπτηνεν δὲ ἕκαστος ὅπη φύγοι αἰπὺν ὄλεθρον·
looked-about and each where he-might-escape sheer destruction
Εὐρύμαχος δέ μιν οἷος ἀμειβόμενος προσέειπεν·
Eurymachus but him alone answering addressed
“Εἰ μὲν δὴ Ὀδυσεὺς Ἰθακήσιος εἰλήλουθας,
If indeed truly Odysseus of-Ithaca you-have-come
ταῦτα μὲν αἴσιμα εἶπας, ὅσα ῥέζεσκον Ἀχαιοί,
these-things indeed fitting you-said as-many-as did the-Achaeans
πολλὰ μὲν ἐν μεγάροισιν ἀτάσθαλα, πολλὰ δ᾽ ἐπ᾽ ἀγροῦ.
many indeed in the-halls reckless-things many and in the-country
ἀλλ᾽ ὁ μὲν ἤδη κεῖται ὃς αἴτιος ἔπλετο πάντων,
but he indeed already lies who to-blame was of-all
Ἀντίνοος· οὗτος γὰρ ἐπίηλεν τάδε ἔργα,
Antinous he for set-on these deeds
οὔ τι γάμου τόσσον κεχρημένος οὐδὲ χατίζων,
not at-all for-marriage so-much needing nor wanting
ἀλλ᾽ ἄλλα φρονέων, τά οἱ οὐκ ἐτέλεσσε Κρονίων,
but other-things purposing which for-him not accomplished the-son-of-Cronus
ὄφρ᾽ Ἰθάκης κατὰ δῆμον ἐϋκτιμένης βασιλεύοι
so-that of-Ithaca over the-land well-built he-might-be-king
αὐτός, ἀτὰρ σὸν παῖδα κατακτείνειε λοχήσας.
himself but your son he-might-kill lying-in-wait

νῦν δ' ὁ μὲν ἐν μοίρῃ πέφαται, σὺ δὲ φείδεο λαῶν
now but he indeed in fate has-been-slain you but spare the-people
σῶν· ἀτὰρ ἄμμες ὄπισθεν ἀρεσσάμενοι κατὰ δῆμον,
your but we hereafter making-amends throughout the-land
ὅσσα τοι ἐκπέποται καὶ ἐδήδοται ἐν μεγάροισι,
as-much-as of-yours has-been-drunk and eaten in the-halls
τιμὴν ἀμφὶς ἄγοντες ἐεικοσάβοιον ἕκαστος,
recompense separately bringing twenty-oxen-worth each
χαλκόν τε χρυσόν τ' ἀποδώσομεν, εἰς ὅ κε σὸν κῆρ
bronze both gold and will-pay until (the-time)-when — your heart
ἰανθῇ· πρὶν δ' οὔ τι νεμεσσητὸν κεχολῶσθαι."
is-warmed before but not at-all blameworthy to-be-angered

Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Him and then from-under looking addressed of-many-wiles Odysseus
"Εὐρύμαχ', οὐδ' εἴ μοι πατρώϊα πάντ' ἀποδοῖτε,
Eurymachus not-even if to-me ancestral-things all you-should-give
ὅσσα τε νῦν ὔμμ' ἐστὶ καὶ εἴ ποθεν ἄλλ' ἐπιθεῖτε,
as-much-as — now yours is and if from-somewhere other-things you-should-add
οὐδέ κεν ὣς ἔτι χεῖρας ἐμὰς λήξαιμι φόνοιο
not-even — so longer hands my would-I-stay from-slaughter
πρὶν πᾶσαν μνηστῆρας ὑπερβασίην ἀποτῖσαι.
before all the-suitors' transgression to-pay
νῦν ὑμῖν παράκειται ἐναντίον ἠὲ μάχεσθαι
now to-you lies-before facing either to-fight
ἢ φεύγειν, ὅς κεν θάνατον καὶ κῆρας ἀλύξῃ·
or to-flee whoever — death and dooms may-escape
ἀλλά τιν' οὐ φεύξεσθαι ὀΐομαι αἰπὺν ὄλεθρον."
but any not to-escape I-think sheer destruction

Ὣς φάτο, τῶν δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
So he-spoke of-them and there were-loosed the-knees and dear heart
τοῖσιν δ' Εὐρύμαχος προσεφώνεε δεύτερον αὖτις·
among-them and Eurymachus spoke a-second-time again
" Ὦ φίλοι, οὐ γὰρ σχήσει ἀνὴρ ὅδε χεῖρας ἀάπτους,
O friends not for will-check man this hands invincible
ἀλλ' ἐπεὶ ἔλλαβε τόξον ἐΰξοον ἠδὲ φαρέτρην,
but since he-has-taken the-bow well-polished and the-quiver
οὐδοῦ ἄπο ξεστοῦ τοξάσσεται, εἰς ὅ κε πάντας
the-threshold from polished he-will-shoot until (the-time)-when — all
ἄμμε κατακτείνῃ· ἀλλὰ μνησώμεθα χάρμης.
us he-kills but let-us-think-of the-battle
φάσγανά τε σπάσασθε καὶ ἀντίσχεσθε τραπέζας
swords both draw and hold-up tables
ἰῶν ὠκυμόρων· ἐπὶ δ' αὐτῷ πάντες ἔχωμεν
against-arrows swift-dooming on and him all let-us-hold
ἀθρόοι, εἴ κέ μιν οὐδοῦ ἀπώσομεν ἠδὲ θυράων,
in-a-throng if — him from-the-threshold we-thrust and from-the-doors
ἔλθωμεν δ' ἀνὰ ἄστυ, βοὴ δ' ὤκιστα γένοιτο·
let-us-go and through the-town a-cry and most-swiftly would-arise
τῷ κε τάχ' οὗτος ἀνὴρ νῦν ὕστατα τοξάσσαιτο."
then — soon this man now for-the-last-time would-shoot
Ὣς ἄρα φωνήσας εἰρύσσατο φάσγανον ὀξὺ
So then having-spoken he-drew sword sharp
χάλκεον, ἀμφοτέρωθεν ἀκαχμένον, ἆλτο δ' ἐπ' αὐτῷ
of-bronze on-both-sides sharpened leapt and at him
σμερδαλέα ἰάχων· ὁ δ' ἁμαρτῇ δῖος Ὀδυσσεὺς
terribly shouting he and at-the-same-time noble Odysseus
ἰὸν ἀποπροΐει, βάλε δὲ στῆθος παρὰ μαζόν,
an-arrow let-fly struck and the-breast by the-nipple

ἐν δέ οἱ ἥπατι πῆξε θοὸν βέλος· ἐκ δ' ἄρα χειρὸς
in and his liver fixed the-swift shaft out and then from-hand
φάσγανον ἧκε χαμᾶζε, περιρρηδὴς δὲ τραπέζῃ
the-sword he-let-fall to-the-ground reeling and over-the-table
κάππεσεν ἰδνωθείς, ἀπὸ δ' εἴδατα χεῦεν ἔραζε
fell doubled-up out and the-food poured to-the-ground
καὶ δέπας ἀμφικύπελλον· ὁ δὲ χθόνα τύπτε μετώπῳ
and the-cup two-handled he and the-ground struck with-forehead
θυμῷ ἀνιάζων, ποσὶ δὲ θρόνον ἀμφοτέροισι
in-heart anguished with-feet and the-chair both
λακτίζων ἐτίνασσε· κατ' ὀφθαλμῶν δ' ἔχυτ' ἀχλύς.
kicking shook down over-the-eyes and was-poured mist

XXII.2 · ARMS FROM THE STOREROOM

Telemachus spears Amphinomus from behind and runs to the storeroom for shields, spears, and helmets for his father and the herdsmen. Odysseus shoots the suitors one by one until his arrows give out, then arms himself. Melanthius climbs to the storeroom, which Telemachus left open, and brings the suitors twelve shields and spears; on his second trip the herdsmen catch him and hang him bound from a pillar.

Ἀμφίνομος δ' Ὀδυσῆος ἐείσατο κυδαλίμοιο
Amphinomus and at-Odysseus went glorious
ἀντίος ἀΐξας, εἴρυτο δὲ φάσγανον ὀξύ,
facing darting he-had-drawn and sword sharp
εἴ πώς οἱ εἴξειε θυράων. ἀλλ' ἄρα μιν φθῆ
if somehow to-him he-might-give-way from-the-doors but then him forestalled
Τηλέμαχος κατόπισθε βαλὼν χαλκήρεϊ δουρὶ
Telemachus from-behind striking with-bronze-tipped spear
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσεν·
the-shoulders between through and the-breast drove(-it)

δούπησεν δὲ πεσών, χθόνα δ' ἤλασε παντὶ μετώπῳ.
he-thudded and falling the-ground and struck with-whole forehead
Τηλέμαχος δ' ἀπόρουσε, λιπὼν δολιχόσκιον ἔγχος
Telemachus and sprang-back leaving long-shadowed spear
αὐτοῦ ἐν Ἀμφινόμῳ· περὶ γὰρ δίε μή τις Ἀχαιῶν
right-there in Amphinomus greatly for he-feared lest any of-the-Achaeans
ἔγχος ἀνελκόμενον δολιχόσκιον ἢ ἐλάσειε
the-spear as-he-drew-out long-shadowed either might-drive-at(-him)
φασγάνῳ ἀΐξας ἠὲ προπρηνέα τύψας.
with-sword darting or bent-forward striking
βῆ δὲ θέειν, μάλα δ' ὦκα φίλον πατέρ' εἰσαφίκανεν,
went and to-run very and swiftly dear father reached
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
near and standing words winged addressed
"Ὦ πάτερ, ἤδη τοι σάκος οἴσω καὶ δύο δοῦρε
O father now for-you a-shield I-will-bring and two spears
καὶ κυνέην πάγχαλκον, ἐπὶ κροτάφοις ἀραρυῖαν
and a-helmet all-bronze on temples fitted
αὐτός τ' ἀμφιβαλεῦμαι ἰών, δώσω δὲ συβώτῃ
myself and I-will-put-on(-armor) going I-will-give and to-the-swineherd
καὶ τῷ βουκόλῳ ἄλλα· τετευχῆσθαι γὰρ ἄμεινον."
and to-the cowherd others to-be-armed for better
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"Οἶσε θέων, ἥός μοι ἀμύνεσθαι πάρ' ὀϊστοί,
Bring(-them) running while for-me to-defend are-at-hand arrows
μή μ' ἀποκινήσωσι θυράων μοῦνον ἐόντα."
lest me they-dislodge from-the-doors alone being

Ὣς φάτο, Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί,
So he-spoke Telemachus and dear obeyed father
βῆ δ' ἴμεναι θάλαμόνδ', ὅθι οἱ κλυτὰ τεύχεα κεῖτο.
went and to-go to-the-storeroom where his famous arms lay
ἔνθεν τέσσαρα μὲν σάκε' ἔξελε, δούρατα δ' ὀκτὼ
from-there four indeed shields he-took-out spears and eight
καὶ πίσυρας κυνέας χαλκήρεας ἱπποδασείας·
and four helmets bronze-fitted horsehair-crested
βῆ δὲ φέρων, μάλα δ' ὦκα φίλον πατέρ' εἰσαφίκανεν,
went and carrying very and swiftly dear father reached
αὐτὸς δὲ πρώτιστα περὶ χροΐ δύσετο χαλκόν·
himself and first-of-all about skin put-on bronze
ὣς δ' αὖτως τὼ δμῶε δυέσθην τεύχεα καλά,
so and likewise the-two servants put-on arms fair
ἔσταν δ' ἀμφ' Ὀδυσῆα δαΐφρονα ποικιλομήτην.
they-stood and about Odysseus wise-hearted of-subtle-counsel
Αὐτὰρ ὅ γ', ὄφρα μὲν αὐτῷ ἀμύνεσθαι ἔσαν ἰοί,
But he indeed as-long-as indeed for-him to-defend were arrows
τόφρα μνηστήρων ἕνα γ' αἰεὶ ᾧ ἐνὶ οἴκῳ
so-long of-the-suitors one indeed always his-own in house
βάλλε τιτυσκόμενος· τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον.
he-shot aiming they and in-heaps fell
αὐτὰρ ἐπεὶ λίπον ἰοὶ ὀϊστεύοντα ἄνακτα,
but when failed the-arrows shooting the-lord
τόξον μὲν πρὸς σταθμὸν ἐϋσταθέος μεγάροιο
the-bow indeed against the-doorpost of-the-well-built hall
ἔκλιν' ἑστάμεναι, πρὸς ἐνώπια παμφανόωντα,
he-leaned to-stand against the-walls all-gleaming
αὐτὸς δ' ἀμφ' ὤμοισι σάκος θέτο τετραθέλυμνον,
himself and about shoulders a-shield put four-layered

κρατὶ δ᾽ ἐπ᾽ ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν,
head and on mighty a-helmet well-made set
ἵππουριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν·
horsetailed terribly and the-crest above nodded
εἵλετο δ᾽ ἄλκιμα δοῦρε δύω κεκορυθμένα χαλκῷ.
he-took and valiant spears two tipped with-bronze
Ὀρσοθύρη δέ τις ἔσκεν ἐϋδμήτῳ ἐνὶ τοίχῳ,
A-postern and a there-was well-built in wall
ἀκρότατον δὲ παρ᾽ οὐδὸν ἐϋσταθέος μεγάροιο
highest and by threshold of-the-well-built hall
ἦν ὁδὸς ἐς λαύρην, σανίδες δ᾽ ἔχον εὖ ἀραρυῖαι.
was a-way into the-passage boards and closed(-it) well fitted
τὴν δ᾽ Ὀδυσεὺς φράζεσθαι ἀνώγει δῖον ὑφορβὸν
this and Odysseus to-watch bade noble swineherd
ἑσταότ᾽ ἄγχ᾽ αὐτῆς· μία δ᾽ οἴη γίγνετ᾽ ἐφορμή.
standing near it one and only was the-approach
τοῖς δ᾽ Ἀγέλεως μετέειπεν, ἔπος πάντεσσι πιφαύσκων·
them and Agelaus addressed word to-all declaring
“ Ὦ φίλοι, οὐκ ἂν δή τις ἀν᾽ ὀρσοθύρην ἀναβαίη
O friends not — indeed anyone up the-postern would-climb
καὶ εἴποι λαοῖσι, βοὴ δ᾽ ὥκιστα γένοιτο;
and would-tell the-people a-cry and most-swiftly would-arise
τῷ κε τάχ᾽ οὗτος ἀνὴρ νῦν ὕστατα τοξάσσαιτο.”
then — soon this man now for-the-last-time would-shoot
Τὸν δ᾽ αὖτε προσέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
Him and in-turn addressed Melanthius goatherd of-goats
“Οὔ πως ἔστ᾽, Ἀγέλαε διοτρεφές· ἄγχι γὰρ αἰνῶς
Not at-all is-it(-possible) Agelaus Zeus-nurtured near for terribly
αὐλῆς καλὰ θύρετρα καὶ ἀργαλέον στόμα λαύρης·
of-the-court fair doors and difficult mouth of-the-passage

καί χ᾽ εἷς πάντας ἐρύκοι ἀνήρ, ὅς τ᾽ ἄλκιμος εἴη.
and — one all would-hold-back man who — valiant were
ἀλλ᾽ ἄγεθ᾽, ὑμῖν τεύχε᾽ ἐνείκω θωρηχθῆναι
but come for-you arms let-me-bring to-arm
ἐκ θαλάμου· ἔνδον γάρ, ὀΐομαι, οὐδέ πη ἄλλῃ
from the-storeroom within for I-think nor anywhere elsewhere
τεύχεα κατθέσθην Ὀδυσεὺς καὶ φαίδιμος υἱός.”
the-arms laid-away Odysseus and glorious son
Ὣς εἰπὼν ἀνέβαινε Μελάνθιος, αἰπόλος αἰγῶν,
So having-spoken went-up Melanthius goatherd of-goats
ἐς θαλάμους Ὀδυσῆος ἀνὰ ῥῶγας μεγάροιο.
into storerooms of-Odysseus up-through the-gaps of-the-hall
ἔνθεν δώδεκα μὲν σάκε᾽ ἔξελε, τόσσα δὲ δοῦρα
from-there twelve indeed shields he-took-out as-many and spears
καὶ τόσσας κυνέας χαλκήρεας ἱπποδασείας·
and as-many helmets bronze-fitted horsehair-crested
βῆ δ᾽ ἴμεναι, μάλα δ᾽ ὦκα φέρων μνηστῆρσιν ἔδωκεν.
went and to-go very and swiftly carrying to-the-suitors gave(-them)
καὶ τότ᾽ Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ,
and then of-Odysseus were-loosed the-knees and dear heart
ὡς περιβαλλομένους ἴδε τεύχεα χερσί τε δοῦρα
as putting-on he-saw arms in-hands and spears
μακρὰ τινάσσοντας· μέγα δ᾽ αὐτῷ φαίνετο ἔργον.
long brandishing great and to-him seemed the-task
αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα·
quickly and Telemachus words winged addressed
“Τηλέμαχ᾽, ἦ μάλα δή τις ἐνὶ μεγάροισι γυναικῶν
Telemachus truly very indeed some in the-halls of-the-women
νῶϊν ἐποτρύνει πόλεμον κακὸν ἠὲ Μελανθεύς.”
against-us stirs-up battle evil or Melantheus

Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
"Ὦ πάτερ, αὐτὸς ἐγὼ τόδε γ' ἤμβροτον — οὐδέ τις ἄλλος
O father myself I this indeed erred nor any other
155 αἴτιος — ὃς θαλάμοιο θύρην πυκινῶς ἀραρυῖαν
to-blame who of-the-storeroom the-door closely fitted
κάλλιπον ἀγκλίνας· τῶν δὲ σκοπὸς ἦεν ἀμείνων.
left-behind having-set-(it)-ajar of-them and the-watcher was better
ἀλλ' ἴθι, δῖ' Εὔμαιε, θύρην ἐπίθες θαλάμοιο
but go noble Eumaeus the-door shut of-the-storeroom
καὶ φράσαι ἤ τις ἄρ' ἐστὶ γυναικῶν ἣ τάδε ῥέζει,
and consider whether any then is of-the-women who these-things does
ἢ υἱὸς Δολίοιο, Μελανθεύς, τόν περ ὀΐω."
or son of-Dolius Melantheus him indeed I-suspect
160 Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
So they indeed such-things to each-other spoke
βῆ δ' αὖτις θάλαμόνδε Μελάνθιος, αἰπόλος αἰγῶν,
went and again to-the-storeroom Melanthius goatherd of-goats
οἴσων τεύχεα καλά. νόησε δὲ δῖος ὑφορβός,
to-bring arms fair noticed and noble swineherd
αἶψα δ' Ὀδυσσῆα προσεφώνεεν ἐγγὺς ἐόντα·
quickly and Odysseus addressed near being
"Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Zeus-born son-of-Laertes of-many-devices Odysseus
165 κεῖνος δ' αὖτ' ἀΐδηλος ἀνήρ, ὃν ὀϊόμεθ' αὐτοί,
that-one and again destructive man whom we-suspected ourselves
ἔρχεται ἐς θάλαμον· σὺ δέ μοι νημερτὲς ἐνίσπες,
goes into the-storeroom you and to-me truly tell
ἤ μιν ἀποκτείνω, αἴ κε κρείσσων γε γένωμαι,
whether him I-should-kill if — stronger indeed I-prove

ἦε σοὶ ἐνθάδ' ἄγω, ἵν' ὑπερβασίας ἀποτίσῃ
or to-you here I-should-bring so-that the-transgressions he-may-pay-for
πολλάς, ὅσσας οὗτος ἐμήσατο σῷ ἐνὶ οἴκῳ."
many as-many-as this-man devised your in house
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"Ἦ τοι ἐγὼ καὶ Τηλέμαχος μνηστῆρας ἀγαυοὺς
Truly indeed I and Telemachus the-suitors lordly
σχήσομεν ἔντοσθεν μεγάρων, μάλα περ μεμαῶτας.
will-hold within the-halls very though raging
σφῶϊ δ' ἀποστρέψαντε πόδας καὶ χεῖρας ὕπερθεν
you-two and twisting-back feet and hands above
ἐς θάλαμον βαλέειν, σανίδας δ' ἐκδῆσαι ὄπισθε,
into the-storeroom throw(-him) boards and bind behind
σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντε
a-rope and plaited from him fastening
κίον' ἀν' ὑψηλὴν ἐρύσαι πελάσαι τε δοκοῖσιν,
pillar up tall haul(-him) bring-near and to-the-rafters
ὥς κεν δηθὰ ζωὸς ἐὼν χαλέπ' ἄλγεα πάσχῃ."
so-that — long alive being harsh pains he-may-suffer
Ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο,
So he-spoke they and then him very indeed heard and obeyed
βὰν δ' ἴμεν ἐς θάλαμον, λαθέτην δέ μιν ἔνδον ἐόντα.
went and to-go into the-storeroom escaped-notice and him within being
ἦ τοι ὁ μὲν θαλάμοιο μυχὸν κάτα τεύχε' ἐρεύνα,
truly indeed he indeed of-the-storeroom the-recess throughout arms searched
τὼ δ' ἔσταν ἑκάτερθε παρὰ σταθμοῖσι μένοντε.
the-two and stood on-either-side by the-doorposts waiting
εὖθ' ὑπὲρ οὐδὸν ἔβαινε Μελάνθιος, αἰπόλος αἰγῶν,
when over threshold stepped Melanthius goatherd of-goats

τῇ ἑτέρῃ μὲν χειρὶ φέρων καλὴν τρυφάλειαν,
in-the one indeed hand carrying fair helmet
τῇ δ' ἑτέρῃ σάκος εὐρὺ γέρον, πεπαλαγμένον ἄζῃ,
in-the and other a-shield broad old befouled with-mildew
Λαέρτεω ἥρωος, ὃ κουρίζων φορέεσκε·
of-Laertes of-the-hero which in-youth he-used-to-carry
δὴ τότε γ' ἤδη κεῖτο, ῥαφαὶ δὲ λέλυντο ἱμάντων·
indeed then indeed already it-lay the-seams and were-loosed of-the-straps
τὼ δ' ἄρ' ἐπαΐξανθ' ἑλέτην ἔρυσάν τέ μιν εἴσω
the-two and then rushing-on seized dragged and him inside
κουρίξ, ἐν δαπέδῳ δὲ χαμαὶ βάλον ἀχνύμενον κῆρ,
by-the-hair on floor and to-the-ground threw grieving at-heart
σὺν δὲ πόδας χεῖράς τε δέον θυμαλγέϊ δεσμῷ
together and feet hands and bound heart-grieving with-bond
εὖ μάλ' ἀποστρέψαντε διαμπερές, ὡς ἐκέλευσεν
well very twisting-back right-through as bade
υἱὸς Λαέρταο, πολύτλας δῖος Ὀδυσσεύς·
son of-Laertes much-enduring noble Odysseus
σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντε
a-rope and plaited from him fastening
κίον' ἀν' ὑψηλὴν ἔρυσαν πέλασάν τε δοκοῖσι.
pillar up tall hauled brought-near and to-the-rafters
τὸν δ' ἐπικερτομέων προσέφης, Εὔμαιε συβῶτα·
him and mocking you-addressed Eumaeus swineherd
"Νῦν μὲν δὴ μάλα πάγχυ, Μελάνθιε, νύκτα φυλάξεις,
Now indeed truly very utterly Melanthius the-night you-will-watch
εὐνῇ ἔνι μαλακῇ καταλέγμενος, ὥς σε ἔοικεν·
bed in soft lying as you befits

οὐδέ σέ γ' ἠριγένεια παρ' Ὠκεανοῖο ῥοάων
nor you indeed early-born from of-Ocean the-streams
λήσει ἐπερχομένη χρυσόθρονος, ἠνίκ' ἀγινεῖς
will-escape coming-on golden-throned when you-drive
αἶγας μνηστήρεσσι δόμον κάτα δαῖτα πένεσθαι."
goats for-the-suitors the-house throughout the-feast to-prepare

XXII.3 · ATHENA IN THE FIGHT

Athena appears as Mentor and taunts Odysseus with his valor at Troy, then perches on a roof beam like a swallow. Agelaus has six suitors throw their spears at once, but Athena turns them aside, and Odysseus' band kills four men. A second volley grazes Telemachus and Eumaeus, and the cowherd kills Ctesippus with a taunt. When Athena raises the aegis, the suitors scatter like cattle and are slaughtered.

Ὣς ὁ μὲν αὖθι λέλειπτο, ταθεὶς ὀλοῷ ἐνὶ δεσμῷ·
So he indeed there was-left stretched deadly in bond
τὼ δ' ἐς τεύχεα δύντε, θύρην ἐπιθέντε φαεινήν,
the-two and into arms entering the-door shutting shining
βήτην εἰς Ὀδυσῆα δαΐφρονα, ποικιλομήτην.
went to Odysseus wise-hearted of-subtle-counsel
ἔνθα μένος πνείοντες ἐφέστασαν, οἱ μὲν ἐπ' οὐδοῦ
there fury breathing they-stood these indeed on the-threshold
τέσσαρες, οἱ δ' ἔντοσθε δόμων πολέες τε καὶ ἐσθλοί.
four those and inside the-house many both and noble
τοῖσι δ' ἐπ' ἀγχίμολον θυγάτηρ Διὸς ἦλθεν Ἀθήνη,
to-them and toward near daughter of-Zeus came Athena
Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν.
to-Mentor likened both in-form and also in-voice
τὴν δ' Ὀδυσεὺς γήθησεν ἰδὼν καὶ μῦθον ἔειπε·
her and Odysseus rejoiced seeing and word spoke

"Μέντορ, ἄμυνον ἀρήν, μνῆσαι δ' ἑτάροιο φίλοιο,
Mentor ward-off ruin remember and comrade dear
ὅς σ' ἀγαθὰ ῥέζεσκον· ὁμηλικίη δέ μοί ἐσσι."
who you good-things I-used-to-do of-same-age and to-me you-are
Ὣς φάτ', ὀϊόμενος λαοσσόον ἔμμεν Ἀθήνην.
So he-spoke thinking host-rousing to-be Athena
μνηστῆρες δ' ἑτέρωθεν ὁμόκλεον ἐν μεγάροισι·
the-suitors and on-the-other-side shouted in the-halls
πρῶτος τήν γ' ἐνένιπε Δαμαστορίδης Ἀγέλαος·
first her indeed rebuked son-of-Damastor Agelaus
"Μέντορ, μή σ' ἐπέεσσι παραιπεπίθησιν Ὀδυσσεὺς
Mentor not you with-words let-persuade Odysseus
μνηστήρεσσι μάχεσθαι, ἀμυνέμεναι δέ οἱ αὐτῷ.
the-suitors to-fight to-defend and him himself
ὧδε γὰρ ἡμέτερόν γε νόον τελέεσθαι ὀΐω·
thus for our indeed purpose to-be-accomplished I-think
ὁππότε κεν τούτους κτέωμεν, πατέρ' ἠδὲ καὶ υἱόν,
when — these we-kill father and also son
ἐν δὲ σὺ τοῖσιν ἔπειτα πεφήσεαι, οἷα μενοινᾷς
among and you them then will-be-slain such-things you-intend
ἔρδειν ἐν μεγάροις· σῷ δ' αὐτοῦ κράατι τίσεις.
to-do in the-halls with-your and own head you-will-pay
αὐτὰρ ἐπὴν ὑμέων γε βίας ἀφελώμεθα χαλκῷ,
but when of-you indeed might we-take-away with-bronze
κτήμαθ' ὁπόσσα τοί ἐστι, τά τ' ἔνδοθι καὶ τὰ θύρηφι,
possessions as-many-as yours are those both within and those outside

τοῖσιν Ὀδυσσῆος μεταμίξομεν· οὐδέ τοι υἷας
with-those of-Odysseus we-will-mingle nor your sons
ζώειν ἐν μεγάροισιν ἐάσομεν, οὐδέ θύγατρας
to-live in the-halls will-we-allow nor daughters
οὐδ' ἄλοχον κεδνὴν Ἰθάκης κατὰ ἄστυ πολεύειν."
nor wife trusty of-Ithaca through town to-go-about
Ὣς φάτ', Ἀθηναίη δὲ χολώσατο κηρόθι μᾶλλον,
So he-spoke Athena and was-angered in-heart more
νείκεσσεν δ' Ὀδυσῆα χολωτοῖσιν ἐπέεσσιν·
rebuked and Odysseus with-angry words
"Οὐκέτι σοί γ', Ὀδυσεῦ, μένος ἔμπεδον οὐδέ τις ἀλκή
No-longer in-you indeed Odysseus is-strength steadfast nor any valor
οἵη ὅτ' ἀμφ' Ἑλένῃ λευκωλένῳ εὐπατερείῃ,
such-as when for Helen white-armed nobly-fathered
εἰνάετες Τρώεσσιν ἐμάρναο νωλεμὲς αἰεί,
nine-years with-the-Trojans you-fought unceasingly ever
πολλοὺς δ' ἄνδρας ἔπεφνες ἐν αἰνῇ δηϊοτῆτι,
many and men you-slew in dread combat
σῇ δ' ἥλω βουλῇ Πριάμου πόλις εὐρυάγυια.
by-your and was-taken counsel of-Priam city broad-streeted
πῶς δὴ νῦν, ὅτε σόν τε δόμον καὶ κτήματ' ἱκάνεις,
how indeed now when your both house and possessions you-reach
ἄντα μνηστήρων ὀλοφύρεαι ἄλκιμος εἶναι;
facing the-suitors you-lament valiant to-be
ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵστασο καὶ ἴδε ἔργον,
but come hither friend by me stand and see work
ὄφρ' εἰδῇς οἷός τοι ἐν ἀνδράσι δυσμενέεσσιν
so-that you-may-know what-sort for-you among men hostile
Μέντωρ Ἀλκιμίδης εὐεργεσίας ἀποτίνειν."
Mentor son-of-Alcimus kindnesses to-repay

Ἦ ῥα, καὶ οὔ πω πάγχυ δίδου ἑτεραλκέα νίκην,
She-spoke then and not yet wholly gave decisive victory
ἀλλ᾽ ἔτ᾽ ἄρα σθένεός τε καὶ ἀλκῆς πειρήτιζεν
but still then of-strength both and of-valor she-tested
ἠμὲν Ὀδυσσῆος ἠδ᾽ υἱοῦ κυδαλίμοιο.
both of-Odysseus and of-son glorious
αὐτὴ δ᾽ αἰθαλόεντος ἀνὰ μεγάροιο μέλαθρον
herself and smoky up of-the-hall roof-beam
ἕζετ᾽ ἀναΐξασα, χελιδόνι εἰκέλη ἄντην.
sat darting-up to-a-swallow like to-look-on

Μνηστῆρας δ᾽ ὤτρυνε Δαμαστορίδης Ἀγέλαος,
The-suitors and urged son-of-Damastor Agelaus
Εὐρύνομός τε καὶ Ἀμφιμέδων Δημοπτόλεμός τε,
Eurynomus both and Amphimedon Demoptolemus and
Πείσανδρός τε Πολυκτορίδης Πόλυβός τε δαΐφρων·
Peisander and son-of-Polyctor Polybus and wise
οἱ γὰρ μνηστήρων ἀρετῇ ἔσαν ἔξοχ᾽ ἄριστοι,
they for of-the-suitors in-valor were by-far best
ὅσσοι ἔτ᾽ ἔζων περί τε ψυχέων ἐμάχοντο·
as-many-as still lived for and (their)-lives fought
τοὺς δ᾽ ἤδη ἐδάμασσε βιὸς καὶ ταρφέες ἰοί.
the-others and already had-subdued the-bow and thick arrows
τοῖς δ᾽ Ἀγέλεως μετέειπεν, ἔπος πάντεσσι πιφαύσκων·
them and Agelaus addressed word to-all declaring
“ Ὦ φίλοι, ἤδη σχήσει ἀνὴρ ὅδε χεῖρας ἀάπτους·
O friends now will-check man this hands invincible
καὶ δή οἱ Μέντωρ μὲν ἔβη κενὰ εὔγματα εἰπών,
and indeed for-him Mentor indeed has-gone empty boasts having-spoken
οἱ δ᾽ οἷοι λείπονται ἐπὶ πρώτῃσι θύρῃσι.
they and alone are-left at front doors

τῷ νῦν μὴ ἅμα πάντες ἐφίετε δούρατα μακρά,
therefore now not together all hurl spears long
ἀλλ' ἄγεθ' οἱ ἓξ πρῶτον ἀκοντίσατ', αἴ κέ ποθι Ζεὺς
but come the six first throw if — somehow Zeus
δώῃ Ὀδυσσῆα βλῆσθαι καὶ κῦδος ἀρέσθαι.
may-grant Odysseus to-be-hit and glory to-win
τῶν δ' ἄλλων οὐ κῆδος, ἐπὴν οὗτός γε πέσῃσιν."
of-the and others no care when this-man indeed has-fallen
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκόντισαν ὡς ἐκέλευεν, 255
So he-spoke they and then all threw as he-bade
ἱέμενοι· τὰ δὲ πάντα ἐτώσια θῆκεν Ἀθήνη.
eager these-things and all vain made Athena
τῶν ἄλλος μὲν σταθμὸν ἐϋσταθέος μεγάροιο
of-them one indeed the-doorpost of-the-well-built hall
βεβλήκει, ἄλλος δὲ θύρην πυκινῶς ἀραρυῖαν·
had-hit another and the-door closely fitted
ἄλλου δ' ἐν τοίχῳ μελίη πέσε χαλκοβάρεια.
of-another and in wall the-ash-spear fell heavy-with-bronze
αὐτὰρ ἐπεὶ δὴ δούρατ' ἀλεύαντο μνηστήρων, 260
but when indeed the-spears they-had-avoided of-the-suitors
τοῖς δ' ἄρα μύθων ἦρχε πολύτλας δῖος Ὀδυσσεύς·
to-them and then of-speeches began much-enduring noble Odysseus
" Ὦ φίλοι, ἤδη μέν κεν ἐγὼν εἴποιμι καὶ ἄμμι
O friends now indeed — I would-bid also to-us
μνηστήρων ἐς ὅμιλον ἀκοντίσαι, οἳ μεμάασιν
of-the-suitors into the-throng to-throw who are-eager
ἡμέας ἐξεναρίξαι ἐπὶ προτέροισι κακοῖσιν."
us to-slay on-top-of former evils

Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκόντισαν ὀξέα δοῦρα
So he-spoke they and then all threw sharp spears
ἄντα τιτυσκόμενοι· Δημοπτόλεμον μὲν Ὀδυσσεύς,
straight aiming Demoptolemus indeed Odysseus
Εὐρυάδην δ' ἄρα Τηλέμαχος, Ἔλατον δὲ συβώτης,
Euryades and then Telemachus Elatus and the-swineherd
Πείσανδρον δ' ἄρ' ἔπεφνε βοῶν ἐπιβουκόλος ἀνήρ.
Peisander and then slew of-the-cattle the-herdsman man
οἱ μὲν ἔπειθ' ἅμα πάντες ὀδὰξ ἔλον ἄσπετον οὖδας,
they indeed then together all with-teeth bit vast floor
μνηστῆρες δ' ἀνεχώρησαν μεγάροιο μυχόνδε·
the-suitors and withdrew of-the-hall to-the-inmost-part
τοὶ δ' ἄρ' ἐπήϊξαν, νεκύων δ' ἐξ ἔγχε' ἕλοντο.
they and then rushed-on of-the-dead and from spears took
Αὖτις δὲ μνηστῆρες ἀκόντισαν ὀξέα δοῦρα
Again and the-suitors threw sharp spears
ἱέμενοι· τὰ δὲ πολλὰ ἐτώσια θῆκεν Ἀθήνη.
eager these-things and many vain made Athena
τῶν ἄλλος μὲν σταθμὸν ἐϋσταθέος μεγάροιο
of-them one indeed the-doorpost of-the-well-built hall
βεβλήκειν, ἄλλος δὲ θύρην πυκινῶς ἀραρυῖαν·
had-hit another and the-door closely fitted
ἄλλου δ' ἐν τοίχῳ μελίη πέσε χαλκοβάρεια.
of-another and in wall the-ash-spear fell heavy-with-bronze
Ἀμφιμέδων δ' ἄρα Τηλέμαχον βάλε χεῖρ' ἐπὶ καρπῷ
Amphimedon and then Telemachus hit the-hand on the-wrist
λίγδην, ἄκρον δὲ ῥινὸν δηλήσατο χαλκός.
grazing the-surface and skin tore bronze

Κτήσιππος δ' Εὔμαιον ὑπὲρ σάκος ἔγχεϊ μακρῷ
Ctesippus and Eumaeus over shield with-spear long
ὦμον ἐπέγραψεν· τὸ δ' ὑπέρπτατο, πῖπτε δ' ἔραζε.
shoulder grazed it and flew-over fell and to-the-ground
τοὶ δ' αὖτ' ἀμφ' Ὀδυσῆα δαΐφρονα ποικιλομήτην,
they and again about Odysseus wise-hearted of-subtle-counsel
μνηστήρων ἐς ὅμιλον ἀκόντισαν ὀξέα δοῦρα.
of-the-suitors into the-throng threw sharp spears
ἔνθ' αὖτ' Εὐρυδάμαντα βάλε πτολίπορθος Ὀδυσσεύς,
then again Eurydamas struck sacker-of-cities Odysseus
Ἀμφιμέδοντα δὲ Τηλέμαχος, Πόλυβον δὲ συβώτης·
Amphimedon and Telemachus Polybus and the-swineherd
Κτήσιππον δ' ἄρ' ἔπειτα βοῶν ἐπιβουκόλος ἀνὴρ
Ctesippus and then thereafter of-the-cattle the-herdsman man
βεβλήκει πρὸς στῆθος, ἐπευχόμενος δὲ προσηύδα·
struck on chest exulting and addressed(-him)
"Ὦ Πολυθερσείδη φιλοκέρτομε, μή ποτε πάμπαν
O son-of-Polytherses lover-of-mockery not ever at-all
εἴκων ἀφραδίῃς μέγα εἰπεῖν, ἀλλὰ θεοῖσιν
yielding to-follies big to-speak but to-the-gods
μῦθον ἐπιτρέψαι, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσι.
the-word leave since truly much stronger they-are
τοῦτό τοι ἀντὶ ποδὸς ξεινήϊον, ὅν ποτ' ἔδωκας
this for-you for the-foot a-guest-gift which once you-gave
ἀντιθέῳ Ὀδυσῆϊ δόμον κάτ' ἀλητεύοντι."
to-godlike Odysseus the-house through wandering
Ἦ ῥα βοῶν ἑλίκων ἐπιβουκόλος· αὐτὰρ Ὀδυσσεὺς
He-spoke then of-the-cattle curved-horned the-herdsman but Odysseus
οὖτα Δαμαστορίδην αὐτοσχεδὸν ἔγχεϊ μακρῷ.
wounded son-of-Damastor at-close-range with-spear long

Τηλέμαχος δ' Εὐηνορίδην Λειώκριτον οὖτα
Telemachus and son-of-Evenor Leiocritus wounded
δουρὶ μέσον κενεῶνα, διαπρὸ δὲ χαλκὸν ἔλασσεν·
with-spear middle flank right-through and bronze drove
ἤριπε δὲ πρηνής, χθόνα δ' ἤλασε παντὶ μετώπῳ.
fell and headlong the-ground and struck with-whole forehead
δὴ τότ' Ἀθηναίη φθισίμβροτον αἰγίδ' ἀνέσχεν
indeed then Athena man-destroying aegis held-up
ὑψόθεν ἐξ ὀροφῆς· τῶν δὲ φρένες ἐπτοίηθεν.
from-on-high from the-roof of-them and the-minds were-terrified
οἱ δ' ἐφέβοντο κατὰ μέγαρον βόες ὥς ἀγελαῖαι·
they and fled through hall cattle as of-the-herd
τὰς μέν τ' αἰόλος οἶστρος ἐφορμηθεὶς ἐδόνησεν
them indeed — darting gadfly attacking drives-wild
ὥρῃ ἐν εἰαρινῇ, ὅτε τ' ἤματα μακρὰ πέλονται.
season in spring when — days long are
οἱ δ' ὥς τ' αἰγυπιοὶ γαμψώνυχες ἀγκυλοχεῖλαι,
they and as — vultures crook-taloned crook-beaked
ἐξ ὀρέων ἐλθόντες ἐπ' ὀρνίθεσσι θόρωσι·
from mountains coming on birds leap
ταὶ μέν τ' ἐν πεδίῳ νέφεα πτώσσουσαι ἵενται,
these indeed — on plain the-clouds cowering-from rush
οἱ δέ τε τὰς ὀλέκουσιν ἐπάλμενοι, οὐδέ τις ἀλκὴ
they and — them kill leaping-on nor any defense
γίγνεται οὐδὲ φυγή· χαίρουσι δέ τ' ἀνέρες ἄγρῃ·
is nor flight rejoice and — men in-the-catch

ὣς ἄρα τοὶ μνηστῆρας ἐπεσσύμενοι κατὰ δῶμα
so then they the-suitors rushing-on through house
τύπτον ἐπιστροφάδην· τῶν δὲ στόνος ὤρνυτ᾽ ἀεικὴς
struck turning-every-way of-them and a-groan rose hideous
κράτων τυπτομένων, δάπεδον δ᾽ ἅπαν αἵματι θῦε.
heads being-struck the-floor and all with-blood seethed

XXII.4 · LEIODES, PHEMIUS, AND MEDON

The diviner Leiodes begs for his life, claiming he restrained the others, but Odysseus beheads him. Phemius the minstrel, who sang for the suitors under compulsion, clasps Odysseus' knees, and Telemachus asks his father to spare him and the herald Medon, who cared for him as a child. Medon crawls out from under a chair, and Odysseus sends both into the court.

Λειώδης δ᾽ Ὀδυσῆος ἐπεσσύμενος λάβε γούνων,
Leiodes and of-Odysseus rushing-on seized by-the-knees
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
and him beseeching words winged addressed
"Γουνοῦμαί σ᾽, Ὀδυσεῦ· σὺ δέ μ᾽ αἴδεο καί μ᾽ ἐλέησον·
I-entreat you Odysseus you and me respect and me pity
οὐ γάρ πώ τινά φημι γυναικῶν ἐν μεγάροισιν
not for yet anyone I-say of-the-women in the-halls
εἰπεῖν οὐδέ τι ῥέξαι ἀτάσθαλον· ἀλλὰ καὶ ἄλλους
to-have-said nor anything to-have-done reckless but also others
παύεσκον μνηστῆρας, ὅτις τοιαῦτά γε ῥέζοι.
I-used-to-stop suitors whoever such-things indeed should-do
ἀλλά μοι οὐ πείθοντο κακῶν ἄπο χεῖρας ἔχεσθαι·
but me not they-obeyed evils from hands to-keep
τῷ καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον.
therefore also through-recklessness shameful fate they-met

αὐτὰρ ἐγὼ μετὰ τοῖσι θυοσκόος οὐδὲν ἐοργὼς
but I among them the-diviner nothing having-done
κείσομαι, ὡς οὐκ ἔστι χάρις μετόπισθ' εὐεργέων·"
shall-lie so not there-is gratitude afterward for-good-deeds
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Him and then from-under looking addressed of-many-wiles Odysseus
"Εἰ μὲν δὴ μετὰ τοῖσι θυοσκόος εὔχεαι εἶναι,
If indeed truly among them the-diviner you-claim to-be
πολλάκι που μέλλεις ἀρήμεναι ἐν μεγάροισι
often surely you-must to-have-prayed in the-halls
τηλοῦ ἐμοὶ νόστοιο τέλος γλυκεροῖο γενέσθαι,
far for-me of-return the-end sweet to-be
σοὶ δ' ἄλοχόν τε φίλην σπέσθαι καὶ τέκνα τεκέσθαι·
you and wife both dear to-follow and children to-bear
τῷ οὐκ ἂν θάνατόν γε δυσηλεγέα προφύγοισθα."
therefore not — death indeed grievous could-you-escape
Ὣς ἄρα φωνήσας ξίφος εἵλετο χειρὶ παχείῃ
So then having-spoken a-sword he-took with-hand stout
κείμενον, ὅ ῥ' Ἀγέλαος ἀποπροέηκε χαμᾶζε
lying which then Agelaus had-let-fall to-the-ground
κτεινόμενος· τῷ τόν γε κατ' αὐχένα μέσσον ἔλασσε.
being-slain with-this him indeed on neck middle struck
φθεγγομένου δ' ἄρα τοῦ γε κάρη κονίῃσιν ἐμίχθη.
speaking and then his indeed head with-the-dust was-mingled
Τερπιάδης δ' ἔτ' ἀοιδὸς ἀλύσκανε κῆρα μέλαιναν,
Son-of-Terpes and still the-minstrel was-escaping doom black
Φήμιος, ὅς ῥ' ἤειδε μετὰ μνηστῆρσιν ἀνάγκῃ.
Phemius who then was-singing among the-suitors by-compulsion

ἔστη δ᾽ ἐν χείρεσσιν ἔχων φόρμιγγα λίγειαν
stood and in hands holding lyre clear-toned
ἄγχι παρ᾽ ὀρσοθύρην· δίχα δὲ φρεσὶ μερμήριζεν,
near by the-postern two-ways and in-mind pondered
ἢ ἐκδὺς μεγάροιο Διὸς μεγάλου ποτὶ βωμὸν
whether slipping-out of-the-hall of-Zeus great at altar
ἑρκείου ἵζοιτο τετυγμένον, ἔνθ᾽ ἄρα πολλὰ
of-the-courtyard he-should-sit well-built where then many
Λαέρτης Ὀδυσεύς τε βοῶν ἐπὶ μηρί᾽ ἔκηαν,
Laertes Odysseus and of-oxen on thighs burned
ἢ γούνων λίσσοιτο προσαΐξας Ὀδυσῆα.
or by-the-knees should-beseech darting-to Odysseus
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
thus and to-him thinking seemed more-profitable to-be
γούνων ἅψασθαι Λαερτιάδεω Ὀδυσῆος.
the-knees to-clasp of-son-of-Laertes Odysseus
ἦ τοι ὁ φόρμιγγα γλαφυρὴν κατέθηκε χαμᾶζε
truly indeed he the-lyre hollow set-down to-the-ground
μεσσηγὺς κρητῆρος ἰδὲ θρόνου ἀργυροήλου,
between the-mixing-bowl and the-chair silver-studded
αὐτὸς δ᾽ αὖτ᾽ Ὀδυσῆα προσαΐξας λάβε γούνων,
himself and in-turn Odysseus darting-to seized by-the-knees
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
and him beseeching words winged addressed
"Γουνοῦμαί σ᾽, Ὀδυσεῦ· σὺ δέ μ᾽ αἴδεο καί μ᾽ ἐλέησον·
I-entreat you Odysseus you and me respect and me pity
αὐτῷ τοι μετόπισθ᾽ ἄχος ἔσσεται, εἴ κεν ἀοιδὸν
yourself to-you afterward grief will-be if — a-minstrel
πέφνῃς, ὅς τε θεοῖσι καὶ ἀνθρώποισιν ἀείδω.
you-kill who — for-gods and men I-sing

αὐτοδίδακτος δ' εἰμί, θεὸς δέ μοι ἐν φρεσὶν οἵμας
self-taught and I-am a-god and for-me in mind ways-of-song
παντοίας ἐνέφυσεν· ἔοικα δέ τοι παραείδειν
all-kinds implanted I-am-fit and for-you to-sing-beside
ὥς τε θεῷ· τῷ μή με λιλαίεο δειροτομῆσαι.
as — to-a-god therefore not me be-eager to-behead
καί κεν Τηλέμαχος τάδε γ' εἴποι, σὸς φίλος υἱός,
and — Telemachus these-things indeed would-say your dear son
ὡς ἐγὼ οὔ τι ἑκὼν ἐς σὸν δόμον οὐδὲ χατίζων
that I not at-all willingly to your house nor wishing
πωλεύμην μνηστῆρσιν ἀεισόμενος μετὰ δαῖτας,
used-to-come for-the-suitors to-sing at feasts
ἀλλὰ πολὺ πλέονες καὶ κρείσσονες ἦγον ἀνάγκῃ."
but much more and stronger brought(-me) by-compulsion
Ὣς φάτο, τοῦ δ' ἤκουσ' ἱερὴ ἶς Τηλεμάχοιο,
So he-spoke him and heard the-sacred might of-Telemachus
αἶψα δ' ἑὸν πατέρα προσεφώνεεν ἐγγὺς ἑόντα·
quickly and own father addressed near being
" Ἴσχεο μηδέ τι τοῦτον ἀναίτιον οὔταε χαλκῷ·
Hold-back nor at-all this-man guiltless wound with-bronze
καὶ κήρυκα Μέδοντα σαώσομεν, ὅς τέ μευ αἰεὶ
and the-herald Medon let-us-save who — of-me always
οἴκῳ ἐν ἡμετέρῳ κηδέσκετο παιδὸς ἑόντος,
house in our cared-for a-child being
εἰ δὴ μή μιν ἔπεφνε Φιλοίτιος ἠὲ συβώτης,
if indeed not him has-slain Philoetius or the-swineherd
ἠὲ σοὶ ἀντεβόλησεν ὀρινομένῳ κατὰ δῶμα."
or you he-met raging through house

Ὣς φάτο, τοῦ δ᾽ ἤκουσε Μέδων πεπνυμένα εἰδώς·
So he-spoke him and heard Medon prudent-things knowing
πεπτηὼς γὰρ ἔκειτο ὑπὸ θρόνον, ἀμφὶ δὲ δέρμα
cowering for he-lay under chair around and a-skin
ἔστο βοὸς νεόδαρτον, ἀλύσκων κῆρα μέλαιναν.
he-had-put-on of-an-ox newly-flayed escaping doom black
αἶψα δ᾽ ἀπὸ θρόνου ὦρτο, θοῶς δ᾽ ἀπέδυνε βοείην
quickly and from chair he-rose swiftly and stripped-off the-oxhide
Τηλέμαχον δ᾽ ἄρ᾽ ἔπειτα προσαΐξας λάβε γούνων, 365
Telemachus and then thereafter darting-to seized by-the-knees
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
and him beseeching words winged addressed
“ Ὦ φίλ᾽, ἐγὼ μὲν ὅδ᾽ εἰμί, σὺ δ᾽ ἴσχεο· εἰπὲ δὲ πατρὶ
O friend I indeed here am you and hold-back tell and father
μή με περισθενέων δηλήσεται ὀξέϊ χαλκῷ,
lest me being-overmighty he-harm with-sharp bronze
ἀνδρῶν μνηστήρων κεχολωμένος, οἵ οἱ ἔκειρον
at-the-men the-suitors angered who his wasted
κτήματ᾽ ἐνὶ μεγάροις, σὲ δὲ νήπιοι οὐδὲν ἔτιον.” 370
possessions in the-halls you and fools not-at-all honored
Τὸν δ᾽ ἐπιμειδήσας προσέφη πολύμητις Ὀδυσσεύς·
Him and smiling addressed of-many-wiles Odysseus
“Θάρσει, ἐπεὶ δή σ᾽ οὗτος ἐρύσσατο καὶ ἐσάωσεν,
Take-heart since indeed you this-one has-protected and saved
ὄφρα γνῷς κατὰ θυμόν, ἀτὰρ εἴπῃσθα καὶ ἄλλῳ,
so-that you-may-know in heart but you-may-tell also another
ὡς κακοεργίης εὐεργεσίη μέγ᾽ ἀμείνων.
how than-evil-doing good-doing far better

ἀλλ᾽ ἐξελθόντες μεγάρων ἕζεσθε θύραζε
but going-out from-the-halls sit outside
ἐκ φόνου εἰς αὐλήν, σύ τε καὶ πολύφημος ἀοιδός,
out-of the-slaughter into the-court you both and many-voiced minstrel
ὄφρ᾽ ἂν ἐγὼ κατὰ δῶμα πονήσομαι ὅττεό με χρή."
while — I through house toil at-whatever me it-needs

XXII.5 · THE PUNISHMENT OF THE MAIDS

Odysseus finds the dead heaped like fish on the sand and forbids Eurycleia to exult over slain men. The twelve disloyal maids carry out the bodies and clean the hall; Telemachus hangs them in the courtyard, and Melanthius is mutilated. Odysseus purifies the house with sulfur.

Ὣς φάτο, τὼ δ᾽ ἔξω βήτην μεγάροιο κιόντε,
So he-spoke the-two and out went of-the-hall going
ἑζέσθην δ᾽ ἄρα τώ γε Διὸς μεγάλου ποτὶ βωμόν,
sat and then the-two indeed of-Zeus great at altar
πάντοσε παπταίνοντε, φόνον ποτιδεγμένω αἰεί.
everywhere peering slaughter expecting ever
πάπτηνεν δ᾽ Ὀδυσεὺς καθ᾽ ἑὸν δόμον, εἴ τις ἔτ᾽ ἀνδρῶν
peered and Odysseus through own house if any still of-men
ζωὸς ὑποκλοπέοιτο, ἀλύσκων κῆρα μέλαιναν.
alive were-hiding escaping doom black

τοὺς δὲ ἴδεν μάλα πάντας ἐν αἵματι καὶ κονίῃσι
them and he-saw very all in blood and dust
πεπτεῶτας πολλούς, ὥστ' ἰχθύας, οὕς θ' ἁλιῆες
fallen many like fish which — fishermen
κοίλον ἐς αἰγιαλὸν πολιῆς ἔκτοσθε θαλάσσης
hollow onto beach of-the-gray out-of sea
δικτύῳ ἐξέρυσαν πολυωπῷ· οἱ δέ τε πάντες
in-a-net have-drawn-out many-meshed they and — all
κύμαθ' ἁλὸς ποθέοντες ἐπὶ ψαμάθοισι κέχυνται·
the-waves of-the-sea longing-for on the-sands lie-heaped
τῶν μέν τ' Ἠέλιος φαέθων ἐξείλετο θυμόν·
of-them indeed — the-Sun shining takes-away life
ὣς τότ' ἄρα μνηστῆρες ἐπ' ἀλλήλοισι κέχυντο.
so then then the-suitors on each-other lay-heaped
δὴ τότε Τηλέμαχον προσέφη πολύμητις Ὀδυσσεύς·
indeed then Telemachus addressed of-many-wiles Odysseus
"Τηλέμαχ', εἰ δ' ἄγε μοι κάλεσον τροφὸν Εὐρύκλειαν,
Telemachus if and come for-me call the-nurse Eurycleia
ὄφρα ἔπος εἴπωμι τό μοι καταθύμιόν ἐστιν."
so-that a-word I-may-speak which for-me in-mind is
Ὣς φάτο, Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί,
So he-spoke Telemachus and dear obeyed father
κινήσας δὲ θύρην προσέφη τροφὸν Εὐρύκλειαν·
moving and the-door addressed the-nurse Eurycleia
"Δεῦρο δὴ ὄρσο, γρηῢ παλαιγενές, ἥ τε γυναικῶν
Hither indeed rise old-woman aged who — of-the-women
δμῳάων σκοπός ἐσσι κατὰ μέγαρ' ἡμετεράων·
servant overseer you-are through halls our
ἔρχεο· κικλήσκει σε πατὴρ ἐμός, ὄφρα τι εἴπῃ."
come calls you father my so-that something he-may-say

Ὣς ἄρ᾽ ἐφώνησεν, τῇ δ᾽ ἄπτερος ἔπλετο μῦθος,
So then he-spoke for-her and wingless was the-word
ὤϊξεν δὲ θύρας μεγάρων εὖ ναιεταόντων,
opened and the-doors of-the-halls well dwelt-in
βῆ δ᾽ ἴμεν· αὐτὰρ Τηλέμαχος πρόσθ᾽ ἡγεμόνευεν.
went and to-go but Telemachus in-front led
εὗρεν ἔπειτ᾽ Ὀδυσῆα μετὰ κταμένοισι νέκυσσιν,
she-found then Odysseus among slain corpses
αἵματι καὶ λύθρῳ πεπαλαγμένον ὥστε λέοντα,
with-blood and gore befouled like a-lion
ὅς ῥά τε βεβρωκὼς βοὸς ἔρχεται ἀγραύλοιο·
who then — having-eaten of-an-ox goes field-dwelling
πᾶν δ᾽ ἄρα οἱ στῆθός τε παρήϊά τ᾽ ἀμφοτέρωθεν
all and then his breast both cheeks and on-both-sides
αἱματόεντα πέλει, δεινὸς δ᾽ εἰς ὦπα ἰδέσθαι·
bloody are terrible and in face to-look-at
ὣς Ὀδυσεὺς πεπάλακτο πόδας καὶ χεῖρας ὕπερθεν.
so Odysseus was-befouled the-feet and hands above
ἡ δ᾽ ὡς οὖν νέκυάς τε καὶ ἄσπετον εἴσιδεν αἷμα,
she and when then the-corpses both and vast saw blood
ἴθυσέν ῥ᾽ ὀλολύξαι, ἐπεὶ μέγα εἴσιδεν ἔργον·
she-was-eager then to-cry-out since great she-saw work
ἀλλ᾽ Ὀδυσεὺς κατέρυκε καὶ ἔσχεθεν ἱεμένην περ,
but Odysseus held-back and checked eager though
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and her having-spoken words winged addressed
“ Ἐν θυμῷ, γρηῦ, χαῖρε καὶ ἴσχεο μηδ᾽ ὀλόλυζε·
In heart old-woman rejoice and hold-yourself-in nor cry-out
οὐχ ὁσίη κταμένοισιν ἐπ᾽ ἀνδράσιν εὐχετάασθαι.
not holy slain over men to-exult

τούσδε δὲ μοῖρ' ἐδάμασσε θεῶν καὶ σχέτλια ἔργα·
these and the-fate subdued of-the-gods and cruel deeds
οὔ τινα γὰρ τίεσκον ἐπιχθονίων ἀνθρώπων,
not anyone for they-honored of-earthly men
οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ὅτις σφέας εἰσαφίκοιτο·
not bad nor indeed good whoever them came-to
τῷ καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον.
therefore also through-recklessness shameful fate they-met
ἀλλ' ἄγε μοι σὺ γυναῖκας ἐνὶ μεγάροις κατάλεξον,
but come to-me you the-women in the-halls recount
αἵ τέ μ' ἀτιμάζουσι καὶ αἳ νηλείτιδές εἰσιν."
who both me dishonor and who guiltless are
Τὸν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
Him and in-turn addressed dear nurse Eurycleia
"Τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθείην καταλέξω.
Therefore I to-you child the-truth will-recount
πεντήκοντά τοί εἰσιν ἐνὶ μεγάροισι γυναῖκες
fifty for-you are in the-halls women
δμῳαί, τὰς μέν τ' ἔργα διδάξαμεν ἐργάζεσθαι,
servants them indeed — tasks we-taught to-work
εἴριά τε ξαίνειν καὶ δουλοσύνην ἀνέχεσθαι·
wool both to-card and servitude to-endure
τάων δώδεκα πᾶσαι ἀναιδείης ἐπέβησαν,
of-these twelve all on-shamelessness have-embarked
οὔτ' ἐμὲ τίουσαι οὔτ' αὐτὴν Πηνελόπειαν.
neither me honoring nor herself Penelope
Τηλέμαχος δὲ νέον μὲν ἀέξετο, οὐδέ έ μήτηρ
Telemachus and newly indeed was-growing-up nor him mother
σημαίνειν εἴασκεν ἐπὶ δμῳῇσι γυναιξίν.
to-give-orders allowed over servant women

ἀλλ᾽ ἄγ᾽ ἐγὼν ἀναβᾶσ᾽ ὑπερῴϊα σιγαλόεντα
but come I going-up upper-rooms shining
εἴπω σῇ ἀλόχῳ, τῇ τις θεὸς ὕπνον ἐπῶρσε.”
let-me-tell your wife on-whom some god sleep has-sent
Τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Her and answering addressed of-many-wiles Odysseus
“Μή πω τήνδ᾽ ἐπέγειρε· σὺ δ᾽ ἐνθάδε εἰπὲ γυναιξὶν
Not yet her wake you and here tell the-women
ἐλθέμεν, αἵ περ πρόσθεν ἀεικέα μηχανόωντο.”
to-come who indeed before shameful-things contrived
Ὣς ἄρ᾽ ἔφη, γρηῢς δὲ διὲκ μεγάροιο βεβήκει
So then he-spoke the-old-woman and through the-hall went
ἀγγελέουσα γυναιξὶ καὶ ὀτρυνέουσα νέεσθαι.
to-tell the-women and to-urge to-come
αὐτὰρ ὁ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην
but he Telemachus and the-cowherd and the-swineherd
εἰς ἓ καλεσσάμενος ἔπεα πτερόεντα προσηύδα·
to himself calling words winged addressed
“ Ἄρχετε νῦν νέκυας φορέειν καὶ ἄνωχθε γυναῖκας·
Begin now the-corpses to-carry and order the-women
αὐτὰρ ἔπειτα θρόνους περικαλλέας ἠδὲ τραπέζας
but then the-chairs very-fair and tables
ὕδατι καὶ σπόγγοισι πολυτρήτοισι καθαίρειν.
with-water and sponges many-holed to-clean
αὐτὰρ ἐπὴν δὴ πάντα δόμον κατακοσμήσησθε,
but when indeed all the-house you-have-set-in-order
δμῳὰς ἐξαγαγόντες ἐϋσταθέος μεγάροιο,
the-servants leading-out of-the-well-built hall
μεσσηγύς τε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς,
between both the-round-house and the-blameless wall of-the-court

θεινέμεναι ξίφεσιν ταννήκεσιν, εἰς ὅ κε πασέων
strike with-swords long-edged until (the-time)-when — of-all
ψυχὰς ἐξαφέλησθε καὶ ἐκλελάθωντ' Ἀφροδίτης,
the-lives you-take-away and they-forget Aphrodite
τὴν ἄρ' ὑπὸ μνηστῆρσιν ἔχον μίσγοντό τε λάθρη."
whom then beneath the-suitors they-had lay-with(-them) and secretly
Ὣς ἔφαθ', αἱ δὲ γυναῖκες ἀολλέες ἦλθον ἅπασαι,
So he-spoke they and the-women in-a-throng came all
αἰἶν' ὀλοφυρόμεναι, θαλερὸν κατὰ δάκρυ χέουσαι.
dreadfully wailing swelling down tear shedding
πρῶτα μὲν οὖν νέκυας φόρεον κατατεθνηῶτας,
first indeed then the-corpses they-carried having-died
κὰδ δ' ἄρ' ὑπ' αἰθούσῃ τίθεσαν εὐερκέος αὐλῆς,
down and then under the-portico they-set of-the-well-walled court
ἀλλήλοισιν ἐρείδουσαι· σήμαινε δ' Ὀδυσσεὺς
against-each-other propping directed and Odysseus
αὐτὸς ἐπισπέρχων· ταὶ δ' ἐκφόρεον καὶ ἀνάγκῃ.
himself hastening they and carried-out even by-compulsion
αὐτὰρ ἔπειτα θρόνους περικαλλέας ἠδὲ τραπέζας
but then the-chairs very-fair and tables
ὕδατι καὶ σπόγγοισι πολυτρήτοισι κάθαιρον.
with-water and sponges many-holed cleaned
αὐτὰρ Τηλέμαχος καὶ βουκόλος ἠδὲ συβώτης
but Telemachus and the-cowherd and the-swineherd
λίστροισιν δάπεδον πύκα ποιητοῖο δόμοιο
with-hoes the-floor solidly made of-the-house
ξῦον· ταὶ δ' ἐφόρεον δμῳαί, τίθεσαν δὲ θύραζε.
scraped they and carried(-it) the-servants set and outside
αὐτὰρ ἐπειδὴ πᾶν μέγαρον διεκοσμήσαντο,
but when all hall they-had-set-in-order

δμῳὰς δ᾽ ἐξαγαγόντες ἐϋσταθέος μεγάροιο,
the-servants and leading-out of-the-well-built hall
μεσσηγύς τε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς,
between both the-round-house and the-blameless wall of-the-court
εἴλεον ἐν στείνει, ὅθεν οὔ πως ἦεν ἀλύξαι.
they-penned in a-narrow-place whence not in-any-way it-was-possible to-escape
τοῖσι δὲ Τηλέμαχος πεπνυμένος ἦρχ᾽ ἀγορεύειν·
to-them and Telemachus prudent began to-speak
"Μὴ μὲν δὴ καθαρῷ θανάτῳ ἀπὸ θυμὸν ἑλοίμην
Not indeed truly by-clean death away life may-I-take
τάων, αἳ δὴ ἐμῇ κεφαλῇ κατ᾽ ὀνείδεα χεῦαν
of-those who indeed my head on reproaches poured
μητέρι θ᾽ ἡμετέρῃ παρά τε μνηστῆρσιν ἴαυον."
mother and our beside and the-suitors slept
Ὣς ἄρ᾽ ἔφη, καὶ πεῖσμα νεὸς κυανοπρῴροιο
So then he-spoke and a-cable of-a-ship dark-prowed
κίονος ἐξάψας μεγάλης περίβαλλε θόλοιο,
from-a-pillar fastening great threw-around the-round-house
ὑψόσ᾽ ἐπεντανύσας, μή τις ποσὶν οὖδας ἵκοιτο.
aloft stretching lest any with-feet the-ground might-reach
ὡς δ᾽ ὅτ᾽ ἂν ἢ κίχλαι τανυσίπτεροι ἠὲ πέλειαι
as and when — either thrushes long-winged or doves
ἕρκει ἐνιπλήξωσι, τό θ᾽ ἑστήκῃ ἐνὶ θάμνῳ,
into-a-snare rush which — stands in a-thicket
αὖλιν ἐσιέμεναι, στυγερὸς δ᾽ ὑπεδέξατο κοῖτος,
a-roost seeking hateful and receives(-them) bed

ὣς αἵ γ᾽ ἑξείης κεφαλὰς ἔχον, ἀμφὶ δὲ πάσαις
so they indeed in-a-row heads held around and all
δειρῇσι βρόχοι ἦσαν, ὅπως οἴκτιστα θάνοιεν.
necks nooses were so-that most-piteously they-might-die
ἤσπαιρον δὲ πόδεσσι μίνυνθά περ οὔ τι μάλα δήν.
they-twitched and with-feet a-little indeed not at-all very long
Ἐκ δὲ Μελάνθιον ἦγον ἀνὰ πρόθυρόν τε καὶ αὐλήν·
Out and Melanthius they-led through the-porch both and court
τοῦ δ᾽ ἀπὸ μὲν ῥῖνάς τε καὶ οὔατα νηλεΐ χαλκῷ
of-him and away indeed nostrils both and ears with-pitiless bronze
τάμνον, μήδεά τ᾽ ἐξέρυσαν, κυσὶν ὠμὰ δάσασθαι,
they-cut genitals and tore-out to-dogs raw to-eat
χεῖράς τ᾽ ἠδὲ πόδας κόπτον κεκοτηότι θυμῷ.
hands both and feet cut-off with-angry heart
Οἱ μὲν ἔπειτ᾽ ἀπονιψάμενοι χεῖράς τε πόδας τε
They indeed then having-washed hands both feet and
εἰς Ὀδυσῆα δόμονδε κίον, τετέλεστο δὲ ἔργον·
to Odysseus into-the-house went was-accomplished and the-work
αὐτὰρ ὅ γε προσέειπε φίλην τροφὸν Εὐρύκλειαν·
but he indeed addressed dear nurse Eurycleia
“Οἶσε θέειον, γρηῢ, κακῶν ἄκος, οἶσε δέ μοι πῦρ,
Bring sulfur old-woman of-evils cure bring and for-me fire
ὄφρα θεειώσω μέγαρον· σὺ δὲ Πηνελόπειαν
so-that I-may-fumigate the-hall you and Penelope
ἐλθεῖν ἐνθάδ᾽ ἄνωχθι σὺν ἀμφιπόλοισι γυναιξί·
to-come here bid with handmaid women
πάσας δ᾽ ὄτρυνον δμῳὰς κατὰ δῶμα νέεσθαι.”
all and urge the-servants through house to-come

Τὸν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
Him and in-turn addressed dear nurse Eurycleia
"Ναὶ δὴ ταῦτά γε, τέκνον ἐμόν, κατὰ μοῖραν ἔειπες.
Yes indeed these-things indeed child my according-to due you-have-spoken
ἀλλ' ἄγε τοι χλαῖνάν τε χιτῶνά τε εἵματ' ἐνείκω,
but come for-you cloak both tunic and as-clothes let-me-bring
μηδ' οὕτω ῥάκεσιν πεπυκασμένος εὐρέας ὤμους
nor thus in-rags wrapped broad shoulders
ἕσταθ' ἐνὶ μεγάροισι· νεμεσσητὸν δέ κεν εἴη."
stand in the-halls blameworthy and — it-would-be
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Her and answering addressed of-many-wiles Odysseus
"Πῦρ νῦν μοι πρώτιστον ἐνὶ μεγάροισι γενέσθω."
Fire now for-me first-of-all in the-halls let-there-be
Ὣς ἔφατ', οὐδ' ἀπίθησε φίλη τροφὸς Εὐρύκλεια,
So he-spoke nor disobeyed dear nurse Eurycleia
ἤνεικεν δ' ἄρα πῦρ καὶ θήϊον· αὐτὰρ Ὀδυσσεὺς
brought and then fire and sulfur but Odysseus
εὖ διεθείωσεν μέγαρον καὶ δῶμα καὶ αὐλήν.
well fumigated hall and house and court
Γρηῢς δ' αὖτ' ἀπέβη διὰ δώματα κάλ' Ὀδυσῆος
The-old-woman and in-turn went-away through house fair of-Odysseus
ἀγγελέουσα γυναιξὶ καὶ ὀτρυνέουσα νέεσθαι·
to-tell the-women and to-urge to-come
αἱ δ' ἴσαν ἐκ μεγάροιο δάος μετὰ χερσὶν ἔχουσαι.
they and went from the-hall a-torch in hands holding
αἱ μὲν ἄρ' ἀμφεχέοντο καὶ ἠσπάζοντ' Ὀδυσῆα,
these indeed then thronged-around and greeted Odysseus

καὶ κύνεον ἀγαπαξόμεναι κεφαλήν τε καὶ ὤμους
and kissed welcoming head both and shoulders
χεῖράς τ᾽ αἰνύμεναι· τὸν δὲ γλυκὺς ἵμερος ᾕρει
hands and taking him and sweet longing seized
κλαυθμοῦ καὶ στοναχῆς, γίγνωσκε δ᾽ ἄρα φρεσὶ πάσας.
for-weeping and moaning he-knew and then in-mind all

BOOK XXIII

XXIII.1 · PENELOPE WILL NOT BELIEVE

Eurycleia runs to wake Penelope with the news that Odysseus is home and has killed the suitors. Penelope thinks her mad, then that a god has killed them; even the scar does not persuade her, though Eurycleia wagers her life on it. She goes down and sits facing him in silence, and Telemachus calls her hard of heart. She answers that she and Odysseus have signs of their own.

Γρηῢς δ' εἰς ὑπερῷ' ἀνεβήσετο καγχαλόωσα,
The-old-woman and to the-upper-rooms went-up exulting
δεσποίνῃ ἐρέουσα φίλον πόσιν ἔνδον ἐόντα·
to-the-mistress to-tell dear husband within being
γούνατα δ' ἐρρώσαντο, πόδες δ' ὑπερικταίνοντο.
knees and moved-nimbly feet and tripped-along
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπεν·
stood and then over the-head and her to speech said
" Ἔγρεο, Πηνελόπεια, φίλον τέκος, ὄφρα ἴδηαι
Wake Penelope dear child so-that you-may-see
ὀφθαλμοῖσι τεοῖσι τά τ' ἔλδεαι ἤματα πάντα.
with-eyes your-own what — you-long-for days all
ἦλθ' Ὀδυσεὺς καὶ οἶκον ἱκάνεται, ὀψέ περ ἐλθών.
has-come Odysseus and home has-reached late though coming
μνηστῆρας δ' ἔκτεινεν ἀγήνορας, οἵ θ' ἑὸν οἶκον
the-suitors and he-has-killed proud who — his house
κήδεσκον καὶ κτήματ' ἔδον βιόωντό τε παῖδα."
used-to-harm and possessions ate oppressed and son

Τὴν δ᾽ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Her and in-turn addressed wise Penelope
"Μαῖα φίλη, μάργην σε θεοὶ θέσαν, οἵ τε δύνανται
Nurse dear mad you the-gods have-made who — can
ἄφρονα ποιῆσαι καὶ ἐπίφρονά περ μάλ᾽ ἐόντα,
senseless to-make even sensible though very being
καί τε χαλιφρονέοντα σαοφροσύνης ἐπέβησαν·
and — the-light-minded on-prudence set
οἵ σέ περ ἔβλαψαν· πρὶν δὲ φρένας αἰσίμη ἦσθα.
they you indeed have-harmed before and in-mind sound you-were
τίπτε με λωβεύεις πολυπενθέα θυμὸν ἔχουσαν
why me do-you-mock much-grieving heart having
ταῦτα παρὲξ ἐρέουσα καὶ ἐξ ὕπνου μ᾽ ἀνεγείρεις
these-things wildly telling and from sleep me rouse
ἡδέος, ὅς μ᾽ ἐπέδησε φίλα βλέφαρ᾽ ἀμφικαλύψας;
sweet which me had-bound the-dear eyelids covering
οὐ γάρ πω τοιόνδε κατέδραθον, ἐξ οὗ Ὀδυσσεὺς
not for yet so I-slept from when Odysseus
ᾤχετ᾽ ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν.
went to-see Evil-Ilios not to-be-named
ἀλλ᾽ ἄγε νῦν κατάβηθι καὶ ἂψ ἔρχευ μέγαρόνδε.
but come now go-down and back go to-the-hall
εἰ γάρ τίς μ᾽ ἄλλη γε γυναικῶν, αἵ μοι ἔασι,
if for any me other indeed of-the-women who to-me are
ταῦτ᾽ ἐλθοῦσ᾽ ἤγγειλε καὶ ἐξ ὕπνου ἀνέγειρεν,
these-things coming had-announced and from sleep roused
τῷ κε τάχα στυγερῶς μιν ἐγὼν ἀπέπεμψα νέεσθαι
then — soon miserably her I would-have-sent to-go
αὖτις ἔσω μέγαρον· σὲ δὲ τοῦτό γε γῆρας ὀνήσει."
back into hall you but this indeed old-age will-benefit

Τὴν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
Her and in-turn addressed dear nurse Eurycleia
"Οὔ τί σε λωβεύω, τέκνον φίλον, ἀλλ' ἔτυμόν τοι
Not at-all you I-mock child dear but truly to-you
ἦλθ' Ὀδυσεὺς καὶ οἶκον ἱκάνεται, ὡς ἀγορεύω,
has-come Odysseus and home has-reached as I-say
ὁ ξεῖνος, τὸν πάντες ἀτίμων ἐν μεγάροισι.
the stranger whom all dishonored in the-halls
Τηλέμαχος δ' ἄρα μιν πάλαι ἤδεεν ἔνδον ἐόντα,
Telemachus and then him long-ago knew within being
ἀλλὰ σαοφροσύνῃσι νοήματα πατρὸς ἔκευθεν,
but in-prudence the-plans of-father hid
ὄφρ' ἀνδρῶν τίσαιτο βίην ὑπερηνορεόντων."
until of-men he-might-avenge the-violence overbearing
Ὣς ἔφαθ', ἡ δ' ἐχάρη καὶ ἀπὸ λέκτροιο θοροῦσα
So she-spoke she and rejoiced and from bed leaping
γρηῒ περιπλέχθη, βλεφάρων δ' ἀπὸ δάκρυον ἧκεν·
the-old-woman embraced eyelids and from a-tear let-fall
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
and her having-spoken words winged addressed
"Εἰ δ' ἄγε δή μοι, μαῖα φίλη, νημερτὲς ἐνίσπες,
If and come indeed to-me nurse dear truly tell
εἰ ἐτεὸν δὴ οἶκον ἱκάνεται, ὡς ἀγορεύεις,
if truly indeed home he-has-reached as you-say
ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφῆκε
how indeed on-the-suitors shameless hands he-laid
μοῦνος ἐών, οἱ δ' αἰὲν ἀολλέες ἔνδον ἔμιμνον."
alone being they and always in-a-throng within stayed

Τὴν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
Her and in-turn addressed dear nurse Eurycleia
"Οὐκ ἴδον, οὐ πυθόμην, ἀλλὰ στόνον οἷον ἄκουσα
Not I-saw not I-learned but the-groan only I-heard
κτεινομένων· ἡμεῖς δὲ μυχῷ θαλάμων εὐπήκτων
being-killed we and in-the-recess of-chambers well-built
ἥμεθ' ἀτυζόμεναι, σανίδες δ' ἔχον εὖ ἀραρυῖαι,
sat terrified boards and closed(-it) well fitted
πρίν γ' ὅτε δή με σὸς υἱὸς ἀπὸ μεγάροιο κάλεσσε
before indeed when indeed me your son from the-hall called
Τηλέμαχος· τὸν γάρ ῥα πατὴρ προέηκε καλέσσαι.
Telemachus him for then father sent-forth to-call
εὗρον ἔπειτ' Ὀδυσῆα μετὰ κταμένοισι νέκυσσιν
I-found then Odysseus among slain corpses
ἑσταότ'· οἱ δέ μιν ἀμφί, κραταίπεδον οὖδας ἔχοντες,
standing they and him around the-hard-packed floor holding
κείατ' ἐπ' ἀλλήλοισιν· ἰδοῦσά κε θυμὸν ἰάνθης.
lay on each-other seeing — in-heart you-would-have-been-warmed
νῦν δ' οἱ μὲν δὴ πάντες ἐπ' αὐλείῃσι θύρῃσιν
now and they indeed truly all at the-court doors
ἀθρόοι, αὐτὰρ ὁ δῶμα θεειοῦται περικαλλές,
together but he the-house fumigates very-fair
πῦρ μέγα κηάμενος· σὲ δέ με προέηκε καλέσσαι.
fire great kindling you and me sent-forth to-call
ἀλλ' ἕπευ, ὄφρα σφῶϊν ἐϋφροσύνης ἐπιβῆτον
but follow so-that you-two on-gladness may-enter
ἀμφοτέρω φίλον ἦτορ, ἐπεὶ κακὰ πολλὰ πέποσθε.
both dear heart since evils many you-have-suffered
νῦν δ' ἤδη τόδε μακρὸν ἐέλδωρ ἐκτετέλεσται·
now and already this long desire has-been-accomplished

ἦλθε μὲν αὐτὸς ζωὸς ἐφέστιος, εὗρε δὲ καὶ σὲ
has-come indeed himself alive to-his-hearth found and both you
καὶ παῖδ' ἐν μεγάροισι· κακῶς δ' οἵ πέρ μιν ἔρεζον
and son in the-halls evilly and who indeed him treated
μνηστῆρες, τοὺς πάντας ἐτίσατο ᾧ ἐνὶ οἴκῳ."
the-suitors these all he-has-punished his-own in house
Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Her and in-turn addressed wise Penelope
"Μαῖα φίλη, μή πω μέγ' ἐπεύχεο καγχαλόωσα.
Nurse dear not yet greatly boast exulting
οἶσθα γὰρ ὥς κ' ἀσπαστὸς ἐνὶ μεγάροισι φανείη
you-know for how — welcome in the-halls he-would-appear
πᾶσι, μάλιστα δ' ἐμοί τε καὶ υἱέϊ, τὸν τεκόμεσθα·
to-all most and to-me both and son whom we-bore
ἀλλ' οὐκ ἔσθ' ὅδε μῦθος ἐτήτυμος, ὡς ἀγορεύεις,
but not is this tale true as you-tell
ἀλλά τις ἀθανάτων κτεῖνε μνηστῆρας ἀγαυούς,
but some of-the-immortals has-killed the-suitors lordly
ὕβριν ἀγασσάμενος θυμαλγέα καὶ κακὰ ἔργα.
at-the-insolence angered heart-grieving and evil deeds
οὔ τινα γὰρ τίεσκον ἐπιχθονίων ἀνθρώπων,
not anyone for they-honored of-earthly men
οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ὅτις σφέας εἰσαφίκοιτο·
not bad nor indeed good whoever them came-to
τῷ δι' ἀτασθαλίας ἔπαθον κακόν· αὐτὰρ Ὀδυσσεὺς
therefore through recklessness they-suffered evil but Odysseus
ὤλεσε τηλοῦ νόστον Ἀχαιΐδος, ὤλετο δ' αὐτός."
lost far-away return from-Achaea perished and himself

Τὴν δ' ἠμείβετ' ἔπειτα φίλη τροφὸς Εὐρύκλεια·
Her and answered then dear nurse Eurycleia
"Τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων,
Child my what you word escaped the-fence of-teeth
ἢ πόσιν ἔνδον ἐόντα παρ' ἐσχάρῃ οὔ ποτ' ἔφησθα
who husband within being by the-hearth not ever said
οἶκαδ' ἐλεύσεσθαι· θυμὸς δέ τοι αἰὲν ἄπιστος.
home to-come heart and your always unbelieving
ἀλλ' ἄγε τοι καὶ σῆμα ἀριφραδὲς ἄλλο τι εἴπω,
but come to-you also a-sign clear another some let-me-tell
οὐλήν, τήν ποτέ μιν σὺς ἤλασε λευκῷ ὀδόντι.
the-scar which once him a-boar inflicted with-white tusk
τὴν ἀπονίζουσα φρασάμην, ἔθελον δὲ σοὶ αὐτῇ
it washing I-noticed I-wished and to-you yourself
εἰπέμεν· ἀλλά με κεῖνος ἑλὼν ἐπὶ μάστακα χερσὶν
to-tell but me he seizing by the-mouth with-hands
οὐκ ἔα εἰπέμεναι πολυϊδρείῃσι νόοιο.
not let to-speak in-much-knowledge of-mind
ἀλλ' ἕπευ· αὐτὰρ ἐγὼν ἐμέθεν περιδώσομαι αὐτῆς,
but follow but I myself will-wager myself
αἴ κέν σ' ἐξαπάφω, κτεῖναί μ' οἰκτίστῳ ὀλέθρῳ."
if — you I-deceive kill me by-most-piteous death
Τὴν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·
Her and answered then wise Penelope
"Μαῖα φίλη, χαλεπόν σε θεῶν αἰειγενετάων
Nurse dear hard for-you of-the-gods ever-living
δήνεα εἴρυσθαι, μάλα περ πολύϊδριν ἐοῦσαν.
the-counsels to-keep very though much-knowing being

ἀλλ᾽ ἔμπης ἴομεν μετὰ παῖδ᾽ ἐμόν, ὄφρα ἴδωμαι
but nevertheless let-us-go to son my so-that I-may-see
ἄνδρας μνηστῆρας τεθνηότας, ἠδ᾽ ὃς ἔπεφνεν.᾽᾽
the-men suitors dead and who killed(-them)
Ὣς φαμένη κατέβαιν᾽ ὑπερῴϊα· πολλὰ δέ οἱ κῆρ
So speaking she-went-down from-the-upper-rooms much and her heart
ὥρμαιν᾽, ἢ ἀπάνευθε φίλον πόσιν ἐξερεείνοι,
pondered whether apart dear husband she-should-question
ἦ παρστᾶσα κύσειε κάρη καὶ χεῖρε λαβοῦσα.
or standing-by should-kiss head and hands taking
ἡ δ᾽ ἐπεὶ εἰσῆλθεν καὶ ὑπέρβη λάϊνον οὐδόν,
she and when entered and crossed stone threshold
ἕζετ᾽ ἔπειτ᾽ Ὀδυσῆος ἐναντίη, ἐν πυρὸς αὐγῇ,
she-sat then of-Odysseus opposite in of-fire the-light
τοίχου τοῦ ἑτέρου· ὁ δ᾽ ἄρα πρὸς κίονα μακρὴν
by-the-wall the other he and then against pillar tall
ἧστο κάτω ὁρόων, ποτιδέγμενος εἴ τί μιν εἴποι
sat down looking waiting if anything him would-say
ἰφθίμη παράκοιτις, ἐπεὶ ἴδεν ὀφθαλμοῖσιν.
stately wife when she-saw(-him) with-eyes
ἡ δ᾽ ἄνεω δὴν ἧστο, τάφος δέ οἱ ἦτορ ἵκανεν·
she and in-silence long sat amazement and her heart reached
ὄψει δ᾽ ἄλλοτε μέν μιν ἐνωπαδίως ἐσίδεσκεν,
with-sight and at-one-time indeed him face-to-face she-looked-at
ἄλλοτε δ᾽ ἀγνώσασκε κακὰ χροῒ εἵματ᾽ ἔχοντα.
at-another and she-did-not-know-him bad on-skin clothes having
Τηλέμαχος δ᾽ ἐνένιπεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
Telemachus and rebuked(-her) word and spoke out and named(-her)

"Μῆτερ ἐμή, δύσμητερ, ἀπηνέα θυμὸν ἔχουσα,
Mother my cruel-mother harsh heart having
τίφθ' οὕτω πατρὸς νοσφίζεαι, οὐδὲ παρ' αὐτὸν
why thus from-father do-you-hold-apart nor beside him
ἑζομένη μύθοισιν ἀνείρεαι οὐδὲ μεταλλᾷς;
sitting with-words question nor inquire
οὐ μέν κ' ἄλλη γ' ὧδε γυνὴ τετληότι θυμῷ
not indeed — other indeed thus woman with-steadfast heart
ἀνδρὸς ἀφεσταίη, ὅς οἱ κακὰ πολλὰ μογήσας
from-husband would-stand-apart who for-her evils many having-toiled
ἔλθοι ἐεικοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν·
came in-twentieth year to native land
σοὶ δ' αἰεὶ κραδίη στερεωτέρη ἐστὶ λίθοιο."
your and always heart harder is than-stone

Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Him and in-turn addressed wise Penelope
"Τέκνον ἐμόν, θυμός μοι ἐνὶ στήθεσσι τέθηπεν,
Child my heart my in breast is-amazed
οὐδέ τι προσφάσθαι δύναμαι ἔπος οὐδ' ἐρέεσθαι
nor any to-speak-to(-him) can-I word nor to-ask
οὐδ' εἰς ὦπα ἰδέσθαι ἐναντίον. εἰ δ' ἐτεὸν δὴ
nor in face to-look-at straight if but truly indeed
ἔστ' Ὀδυσεὺς καὶ οἶκον ἱκάνεται, ἦ μάλα νῶϊ
it-is Odysseus and home has-reached truly very we-two
γνωσόμεθ' ἀλλήλων καὶ λώϊον· ἔστι γὰρ ἡμῖν
shall-know each-other even better there-are for for-us
σήματ', ἃ δὴ καὶ νῶϊ κεκρυμμένα ἴδμεν ἀπ' ἄλλων."
signs which indeed also we-two hidden know from others

Odysseus smiles, warns Telemachus of the danger of having killed the city's best men, and has the household bathe, dress, and dance, so that passers-by will think it a wedding and news of the slaughter will be delayed. Athena makes him splendid, and he reproaches Penelope's iron heart. She bids Eurycleia set up his bed outside the chamber. He is angered, since no one could move it: he built the chamber around an olive trunk and made the bed from it.

Ὣς φάτο, μείδησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,
So he-spoke smiled and much-enduring noble Odysseus
αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα·
quickly and Telemachus words winged addressed
"Τηλέμαχ', ἦ τοι μητέρ' ἐνὶ μεγάροισιν ἔασον
Telemachus truly indeed mother in the-halls allow
πειράζειν ἐμέθεν· τάχα δὲ φράσεται καὶ ἄρειον.
to-test me soon and she-will-know even better
νῦν δ' ὅττι ῥυπόω, κακὰ δὲ χροΐ εἵματα εἶμαι,
now and because I-am-dirty bad and on-skin clothes I-wear
τοὔνεκ' ἀτιμάζει με καὶ οὔ πω φησὶ τὸν εἶναι.
therefore she-dishonors me and not yet says him to-be
ἡμεῖς δὲ φραζώμεθ' ὅπως ὄχ' ἄριστα γένηται.
we and let-us-consider how by-far best it-may-be
καὶ γάρ τίς θ' ἕνα φῶτα κατακτείνας ἐνὶ δήμῳ,
even for anyone — one man having-killed in the-people
ᾧ μὴ πολλοὶ ἔωσιν ἀοσσητῆρες ὀπίσσω,
for-whom not many are avengers hereafter
φεύγει πηούς τε προλιπὼν καὶ πατρίδα γαῖαν·
flees kinsmen both leaving and native land

ἡμεῖς δ' ἔρμα πόληος ἀπέκταμεν, οἳ μέγ' ἄριστοι
we and the-prop of-the-city have-killed who by-far best
κούρων εἰν Ἰθάκῃ· τὰ δέ σε φράζεσθαι ἄνωγα."
of-youths in Ithaca these and you to-consider I-bid
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
"Αὐτὸς ταῦτά γε λεῦσσε, πάτερ φίλε· σὴν γὰρ ἀρίστην
Yourself these-things indeed see father dear your for best
μῆτιν ἐπ' ἀνθρώπους φάσ' ἔμμεναι, οὐδέ κέ τίς τοι
counsel among men they-say to-be nor — any with-you
ἄλλος ἀνὴρ ἐρίσειε καταθνητῶν ἀνθρώπων.
other man could-vie of-mortal men
ἡμεῖς δ' ἐμμεμαῶτες ἅμ' ἑψόμεθ', οὐδέ τί φημι
we and eager together will-follow nor at-all I-think
ἀλκῆς δευήσεσθαι, ὅση δύναμίς γε πάρεστιν."
of-valor to-be-lacking as-much-as strength indeed is-at-hand
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"Τοιγὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα.
Therefore I will-speak as to-me it-seems to-be best
πρῶτα μὲν ἂρ λούσασθε καὶ ἀμφιέσασθε χιτῶνας,
first indeed then bathe and put-on tunics
δμῳὰς δ' ἐν μεγάροισιν ἀνώγετε εἵμαθ' ἑλέσθαι·
the-servants and in the-halls bid clothes to-take
αὐτὰρ θεῖος ἀοιδὸς ἔχων φόρμιγγα λίγειαν
but the-divine minstrel holding lyre clear-toned
ἡμῖν ἡγείσθω φιλοπαίγμονος ὀρχηθμοῖο,
for-us let-him-lead playful dance
ὥς κέν τις φαίη γάμον ἔμμεναι ἐκτὸς ἀκούων,
so-that — anyone would-say a-wedding to-be outside hearing

ἢ ἀν᾽ ὁδὸν στείχων, ἢ οἳ περιναιετάουσι·
either along the-road walking or who dwell-around
μὴ πρόσθε κλέος εὐρὺ φόνου κατὰ ἄστυ γένηται
lest before the-rumor wide of-the-slaughter through town spread
ἀνδρῶν μνηστήρων, πρίν γ᾽ ἡμέας ἐλθέμεν ἔξω
of-the-men suitors before indeed us to-go out
ἀγρὸν ἐς ἡμέτερον πολυδένδρεον· ἔνθα δ᾽ ἔπειτα
farm to our many-treed there and then
φρασσόμεθ᾽ ὅττι κε κέρδος Ὀλύμπιος ἐγγυαλίξῃ.᾽᾽ 140
we-shall-consider what — advantage the-Olympian may-put-in-hand
Ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα τοῦ μάλα μὲν κλύον ἠδ᾽ ἐπίθοντο
So he-spoke they and then him very indeed heard and obeyed
πρῶτα μὲν οὖν λούσαντο καὶ ἀμφιέσαντο χιτῶνας,
first indeed then they-bathed and put-on tunics
ὅπλισθεν δὲ γυναῖκες· ὁ δ᾽ εἵλετο θεῖος ἀοιδὸς
dressed and the-women he and took the-divine minstrel
φόρμιγγα γλαφυρήν, ἐν δέ σφισιν ἵμερον ὧρσε
lyre hollow in and them desire roused
μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο. 145
for-song both sweet and blameless dance
τοῖσιν δὲ μέγα δῶμα περιστεναχίζετο ποσσὶν
for-them and great house resounded with-the-feet
ἀνδρῶν παιζόντων καλλιζώνων τε γυναικῶν.
of-men dancing fair-girdled and women
ὣδε δέ τις εἴπεσκε δόμων ἔκτοσθεν ἀκούων·
thus and one would-say of-the-house outside hearing

" Ἦ μάλα δή τις ἔγημε πολυμνήστην βασίλειαν·
Truly very indeed someone has-married the-much-wooed queen
σχετλίη, οὐδ' ἔτλη πόσιος οὗ κουριδίοιο
wretched nor dared of-husband her wedded
εἴρυσθαι μέγα δῶμα διαμπερές, ἦος ἵκοιτο."
to-guard great house to-the-end until he-came
Ὣς ἄρα τις εἴπεσκε, τὰ δ' οὐκ ἴσαν ὡς ἐτέτυκτο.
So then one would-say these-things but not they-knew how it-had-been-made
αὐτὰρ Ὀδυσσῆα μεγαλήτορα ᾧ ἐνὶ οἴκῳ
but Odysseus great-hearted his-own in house
Εὐρυνόμη ταμίη λοῦσεν καὶ χρῖσεν ἐλαίῳ,
Eurynome housekeeper bathed and anointed with-oil
ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλεν ἠδὲ χιτῶνα·
around and him a-cloak fair she-cast and a-tunic
αὐτὰρ κὰκ κεφαλῆς κάλλος πολὺ χεῦεν Ἀθήνη
but down from-the-head beauty much poured Athena
μείζονά τ' εἰσιδέειν καὶ πάσσονα· κὰδ δὲ κάρητος
taller both to-look-on and stouter down and from-the-head
οὔλας ἧκε κόμας, ὑακινθίνῳ ἄνθει ὁμοίας.
curling sent locks to-hyacinthine flower like
ὡς δ' ὅτε τις χρυσὸν περιχεύεται ἀργύρῳ ἀνὴρ
as and when some gold overlays on-silver a-man
ἴδρις, ὃν Ἥφαιστος δέδαεν καὶ Παλλὰς Ἀθήνη
skilled whom Hephaestus has-taught and Pallas Athena
τέχνην παντοίην, χαρίεντα δὲ ἔργα τελείει·
art of-all-kinds graceful and works completes
ὣς μὲν τῷ περίχευε χάριν κεφαλῇ τε καὶ ὤμοις.
so indeed on-him poured grace on-head both and shoulders
ἐκ δ' ἀσαμίνθου βῆ δέμας ἀθανάτοισιν ὁμοῖος·
out and from-the-bathtub went in-form to-immortals like

ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου ἔνθεν ἀνέστη,
back and again down then sat on the-chair from-which he-had-risen
ἀντίον ἧς ἀλόχου, καί μιν πρὸς μῦθον ἔειπε·
opposite his wife and her to speech said
"Δαιμονίη, περί σοί γε γυναικῶν θηλυτεράων
Strange-woman beyond you indeed of-women gentle
κῆρ ἀτέραμνον ἔθηκαν Ὀλύμπια δώματ' ἔχοντες·
heart unyielding have-set Olympian houses having
οὐ μέν κ' ἄλλη γ' ὧδε γυνὴ τετληότι θυμῷ
not indeed — other indeed thus woman with-steadfast heart
ἀνδρὸς ἀφεσταίη, ὅς οἱ κακὰ πολλὰ μογήσας
from-husband would-stand-apart who for-her evils many having-toiled
ἔλθοι ἐεικοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
came in-twentieth year to native land
ἀλλ' ἄγε μοι, μαῖα, στόρεσον λέχος, ὄφρα καὶ αὐτὸς
but come for-me nurse spread a-bed so-that also myself
λέξομαι· ἦ γὰρ τῇ γε σιδήρεον ἐν φρεσὶ ἦτορ."
I-may-lie truly for her indeed of-iron in breast heart
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Him and in-turn addressed wise Penelope
"Δαιμόνι', οὔτ' ἄρ τι μεγαλίζομαι οὔτ' ἀθερίζω
Strange-man neither then at-all do-I-exalt-myself nor slight(-you)
οὔτε λίην ἄγαμαι, μάλα δ' εὖ οἶδ' οἷος ἔησθα
nor too-much am-I-amazed very and well I-know what-sort you-were
ἐξ Ἰθάκης ἐπὶ νηὸς ἰὼν δολιχηρέτμοιο.
from Ithaca on ship going long-oared
ἀλλ' ἄγε οἱ στόρεσον πυκινὸν λέχος, Εὐρύκλεια,
but come for-him spread close-built bed Eurycleia
ἐκτὸς ἐϋσταθέος θαλάμου, τόν ῥ' αὐτὸς ἐποίει·
outside the-well-built chamber which then himself made

ἔνθα οἱ ἐκθεῖσαι πυκινὸν λέχος ἐμβάλετ' εὐνήν,
there for-him setting-out close-built bed throw-on bedding
κώεα καὶ χλαίνας καὶ ῥήγεα σιγαλόεντα."
fleeces and cloaks and blankets glittering
Ὣς ἄρ' ἔφη πόσιος πειρωμένη· αὐτὰρ Ὀδυσσεὺς
So then she-spoke her-husband testing but Odysseus
ὀχθήσας ἄλοχον προσεφώνεε κεδνὰ ἰδυῖαν·
vexed wife addressed careful-things knowing
"Ὦ γύναι, ἦ μάλα τοῦτο ἔπος θυμαλγὲς ἔειπες·
O wife truly very this word heart-grieving you-have-spoken
τίς δέ μοι ἄλλοσε θῆκε λέχος; χαλεπὸν δέ κεν εἴη
who and my elsewhere has-put bed hard and — it-would-be
καὶ μάλ' ἐπισταμένῳ, ὅτε μὴ θεὸς αὐτὸς ἐπελθὼν
even very for-one-skilled when not a-god himself coming
ῥηϊδίως ἐθέλων θείη ἄλλῃ ἐνὶ χώρῃ.
easily wishing should-set(-it) other in place
ἀνδρῶν δ' οὔ κέν τις ζωὸς βροτός, οὐδὲ μάλ' ἡβῶν,
of-men and not — any living mortal not-even very in-youth
ῥεῖα μετοχλίσσειεν, ἐπεὶ μέγα σῆμα τέτυκται
easily could-pry(-it)-away since great sign is-made
ἐν λέχει ἀσκητῷ· τὸ δ' ἐγὼ κάμον οὐδέ τις ἄλλος.
in bed well-wrought it and I made nor any other
θάμνος ἔφυ τανύφυλλος ἐλαίης ἕρκεος ἐντός,
a-bush grew long-leaved of-olive the-court within
ἀκμηνὸς θαλέθων· πάχετος δ' ἦν ἠΰτε κίων.
full-grown flourishing in-thickness and it-was like a-pillar
τῷ δ' ἐγὼ ἀμφιβαλὼν θάλαμον δέμον, ὄφρ' ἐτέλεσσα,
this and I building-around the-chamber built until I-finished
πυκνῇσιν λιθάδεσσι, καὶ εὖ καθύπερθεν ἔρεψα,
with-close stones and well above roofed

κολλητὰς δ᾽ ἐπέθηκα θύρας, πυκινῶς ἀραρυίας.
jointed and set-on doors closely fitted
καὶ τότ᾽ ἔπειτ᾽ ἀπέκοψα κόμην τανυφύλλου ἐλαίης,
and then thereafter cut-off the-crown of-the-long-leaved olive
κορμὸν δ᾽ ἐκ ῥίζης προταμὼν ἀμφέξεσα χαλκῷ
the-trunk and from the-root trimming I-smoothed-around with-bronze
εὖ καὶ ἐπισταμένως, καὶ ἐπὶ στάθμην ἴθυνα,
well and skillfully and to the-line straightened
ἑρμῖν᾽ ἀσκήσας, τέτρηνα δὲ πάντα τερέτρῳ.
a-bedpost fashioning bored and all with-auger
ἐκ δὲ τοῦ ἀρχόμενος λέχος ἔξεον, ὄφρ᾽ ἐτέλεσσα,
from and this beginning bed I-smoothed until I-finished
δαιδάλλων χρυσῷ τε καὶ ἀργύρῳ ἠδ᾽ ἐλέφαντι·
inlaying with-gold both and silver and ivory
ἐκ δ᾽ ἐτάνυσσα ἱμάντα βοὸς φοίνικι φαεινόν.
out and I-stretched a-thong of-ox with-purple shining
οὕτω τοι τόδε σῆμα πιφαύσκομαι· οὐδέ τι οἶδα,
thus to-you this sign I-declare nor at-all do-I-know
ἤ μοι ἔτ᾽ ἔμπεδόν ἐστι, γύναι, λέχος, ἦέ τις ἤδη
whether my still firm is wife bed or anyone already
ἀνδρῶν ἄλλοσε θῆκε, ταμὼν ὕπο πυθμέν᾽ ἐλαίης.᾽᾽
of-men elsewhere has-put cutting under the-stump of-olive

Penelope's knees give way, and she runs to him in tears and begs him not to be angry at her caution, since she feared deception; even Helen erred when a god drove her. He weeps holding her, as welcome as land to shipwrecked swimmers, and Athena holds back the dawn. He tells her of the trial Teiresias foretold, when he must carry an oar inland, and they go to their old bed while the dancing stops.

Ὣς φάτο, τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ,
So he-spoke of-her and there were-loosed the-knees and dear heart
σήματ' ἀναγνούσῃ τά οἱ ἔμπεδα πέφραδ' Ὀδυσσεύς·
the-tokens recognizing which to-her sure showed Odysseus
δακρύσασα δ' ἔπειτ' ἰθὺς δράμεν, ἀμφὶ δὲ χεῖρας
bursting-into-tears and then straight she-ran around and hands
δειρῇ βάλλ' Ὀδυσῆϊ, κάρη δ' ἔκυσ' ἠδὲ προσηύδα·
on-the-neck threw of-Odysseus the-head and kissed and addressed
"Μή μοι, Ὀδυσσεῦ, σκύζευ, ἐπεὶ τά περ ἄλλα μάλιστα
Not with-me Odysseus be-angry since in-the indeed other-things most
ἀνθρώπων πέπνυσο· θεοὶ δ' ὤπαζον ὀϊζύν,
of-men you-are-wise the-gods and granted misery
οἳ νῶϊν ἀγάσαντο παρ' ἀλλήλοισι μένοντε
who us-two begrudged beside each-other staying
ἥβης ταρπῆναι καὶ γήραος οὐδὸν ἱκέσθαι.
of-youth to-enjoy and of-old-age the-threshold to-reach
αὐτὰρ μὴ νῦν μοι τόδε χώεο μηδὲ νεμέσσα,
but not now with-me for-this be-angry nor resent
οὕνεκά σ' οὐ τὸ πρῶτον, ἐπεὶ ἴδον, ὣδ' ἀγάπησα.
because you not the first when I-saw thus I-welcomed

αἰεὶ γάρ μοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
always for my heart in breast dear
ἐρρίγει μή τίς με βροτῶν ἀπάφοιτο ἔπεσσιν
shuddered lest some me of-mortals might-deceive with-words
ἐλθών· πολλοὶ γὰρ κακὰ κέρδεα βουλεύουσιν.
coming many for evil schemes devise
οὐδέ κεν Ἀργείη Ἑλένη, Διὸς ἐκγεγαυῖα,
nor — Argive Helen of-Zeus sprung
ἀνδρὶ παρ' ἀλλοδαπῷ ἐμίγη φιλότητι καὶ εὐνῇ,
man with foreign would-have-lain in-love and in-bed
εἰ ᾔδη ὅ μιν αὖτις ἀρήϊοι υἷες Ἀχαιῶν
if she-had-known that her back warlike sons of-the-Achaeans
ἀξέμεναι οἰκόνδε φίλην ἐς πατρίδ' ἔμελλον.
to-bring home dear to native-land were-about
τὴν δ' ἦ τοι ῥέξαι θεὸς ὤρορεν ἔργον ἀεικές·
her and truly indeed to-do a-god roused deed shameful
τὴν δ' ἄτην οὐ πρόσθεν ἐῷ ἐγκάτθετο θυμῷ
the and blindness not before in-her laid-up heart
λυγρήν, ἐξ ἧς πρῶτα καὶ ἡμέας ἵκετο πένθος.
baneful from which first also us reached grief
νῦν δ', ἐπεὶ ἤδη σήματ' ἀριφραδέα κατέλεξας
now but since already signs clear you-have-recounted
εὐνῆς ἡμετέρης, ἣν οὐ βροτὸς ἄλλος ὀπώπει,
of-bed our which not mortal other had-seen
ἀλλ' οἷοι σύ τ' ἐγώ τε καὶ ἀμφίπολος μία μούνη,
but alone you both I and also handmaid one only
Ἀκτορίς, ἥν μοι δῶκε πατὴρ ἔτι δεῦρο κιούσῃ,
Actoris whom to-me gave father still hither coming

ἣ νῶϊν εἴρυτο θύρας πυκινοῦ θαλάμοιο,
who for-us-two guarded the-doors of-the-close chamber
πείθεις δή μευ θυμόν, ἀπηνέα περ μάλ' ἐόντα."
you-persuade indeed my heart harsh though very being
Ὣς φάτο, τῷ δ' ἔτι μᾶλλον ὑφ' ἵμερον ὦρσε γόοιο·
So she-spoke in-him and still more beneath a-longing roused for-lament
κλαῖε δ' ἔχων ἄλοχον θυμαρέα, κεδνὰ ἰδυῖαν.
he-wept and holding wife heart-pleasing careful-things knowing
ὡς δ' ὅτ' ἂν ἀσπάσιος γῆ νηχομένοισι φανήῃ,
as and when — welcome land to-swimmers appears
ὧν τε Ποσειδάων εὐεργέα νῆ' ἐνὶ πόντῳ
whose — Poseidon well-built ship on sea
ῥαίσῃ, ἐπειγομένην ἀνέμῳ καὶ κύματι πηγῷ·
has-wrecked driven by-wind and wave solid
παῦροι δ' ἐξέφυγον πολιῆς ἁλὸς ἤπειρόνδε
few and have-escaped from-the-gray sea to-the-land
νηχόμενοι, πολλὴ δὲ περὶ χροΐ τέτροφεν ἅλμη,
swimming much and about skin is-caked brine
ἀσπάσιοι δ' ἐπέβαν γαίης, κακότητα φυγόντες·
gladly and they-step-on land evil escaping
ὣς ἄρα τῇ ἀσπαστὸς ἔην πόσις εἰσοροώσῃ,
so then to-her welcome was husband gazing
δειρῆς δ' οὔ πω πάμπαν ἀφίετο πήχεε λευκώ.
from-the-neck and not yet at-all let-go arms white
καί νύ κ' ὀδυρομένοισι φάνη ῥοδοδάκτυλος Ἠώς,
and now — on-them-weeping would-have-appeared rosy-fingered Dawn
εἰ μὴ ἄρ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη.
if not then another-thing thought the-goddess flashing-eyed Athena

νύκτα μὲν ἐν περάτῃ δολιχὴν σχέθεν, Ἠὼ δ' αὖτε
night indeed at the-end long she-held-back Dawn and in-turn
ῥύσατ' ἐπ' Ὠκεανῷ χρυσόθρονον, οὐδ' ἔα ἵππους
she-kept at Ocean golden-throned nor let the-horses
ζεύγνυσθ' ὠκύποδας, φάος ἀνθρώποισι φέροντας,
be-yoked swift-footed light to-men bringing
Λάμπον καὶ Φαέθονθ', οἵ τ' Ἠῶ πῶλοι ἄγουσι.
Lampus and Phaethon who — Dawn colts draw
Καὶ τότ' ἄρ' ἦν ἄλοχον προσέφη πολύμητις Ὀδυσσεύς·
And then then his wife addressed of-many-wiles Odysseus
"Ὦ γύναι, οὐ γάρ πω πάντων ἐπὶ πείρατ' ἀέθλων
O wife not for yet of-all to the-ends of-the-trials
ἤλθομεν, ἀλλ' ἔτ' ὄπισθεν ἀμέτρητος πόνος ἔσται,
we-have-come but still hereafter immeasurable toil will-be
πολλὸς καὶ χαλεπός, τὸν ἐμὲ χρὴ πάντα τελέσσαι.
great and hard which me it-needs all to-accomplish
ὣς γάρ μοι ψυχὴ μαντεύσατο Τειρεσίαο
so for to-me the-soul prophesied of-Teiresias
ἤματι τῷ ὅτε δὴ κατέβην δόμον Ἄϊδος εἴσω,
on-day that when indeed I-went-down the-house of-Hades into
νόστον ἑταίροισιν διζήμενος ἠδ' ἐμοὶ αὐτῷ.
return for-comrades seeking and for-me myself
ἀλλ' ἔρχευ, λέκτρονδ' ἴομεν, γύναι, ὄφρα καὶ ἤδη
but come to-bed let-us-go wife so-that even now
ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντε."
sleep under sweet we-may-enjoy lying-down

Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Him and in-turn addressed wise Penelope
"Εὐνὴ μὲν δή σοί γε τότ' ἔσσεται ὁππότε θυμῷ
Bed indeed truly for-you indeed then will-be whenever in-heart
σῷ ἐθέλῃς, ἐπεὶ ἄρ σε θεοὶ ποίησαν ἱκέσθαι
your you-wish since then you the-gods have-made to-come
οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν·
house well-built and your to native land
ἀλλ' ἐπεὶ ἐφράσθης καί τοι θεὸς ἔμβαλε θυμῷ,
but since you-have-perceived and to-you a-god has-put(-it) in-heart
εἶπ' ἄγε μοι τὸν ἄεθλον, ἐπεὶ καὶ ὄπισθεν, ὀΐω,
tell come to-me the trial since also hereafter I-think
πεύσομαι, αὐτίκα δ' ἐστὶ δαήμεναι οὔ τι χέρειον."
I-shall-learn(-it) at-once and it-is to-know not at-all worse
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Her and answering addressed of-many-wiles Odysseus
"Δαιμονίη, τί τ' ἄρ' αὖ με μάλ' ὀτρύνουσα κελεύεις
Strange-woman why — then again me very urging do-you-bid
εἰπέμεν; αὐτὰρ ἐγὼ μυθήσομαι οὐδ' ἐπικεύσω.
to-tell but I will-tell nor will-hide(-it)
οὐ μέν τοι θυμὸς κεχαρήσεται· οὐδὲ γὰρ αὐτὸς
not indeed your heart will-rejoice nor for myself
χαίρω, ἐπεὶ μάλα πολλὰ βροτῶν ἐπὶ ἄστε' ἄνωγεν
do-I-rejoice since very many of-mortals to cities he-bade
ἐλθεῖν, ἐν χείρεσσιν ἔχοντ' εὐῆρες ἐρετμόν,
to-go in hands holding well-fitted oar
εἰς ὅ κε τοὺς ἀφίκωμαι οἳ οὐκ ἴσασι θάλασσαν
until (the-time)-when — those I-reach who not know the-sea
ἀνέρες, οὐδέ θ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν·
men nor — with-salt mixed food eat

οὐδ᾽ ἄρα τοί γ᾽ ἴσασι νέας φοινικοπαρήους,
nor then they indeed know ships red-cheeked
οὐδ᾽ εὐήρε᾽ ἐρετμά, τά τε πτερὰ νηυσὶ πέλονται.
nor well-fitted oars which — wings for-ships are
σῆμα δέ μοι τόδ᾽ ἔειπεν ἀριφραδές, οὐδέ σε κεύσω·
a-sign and to-me this he-told clear nor from-you will-I-hide(-it)
ὁππότε κεν δή μοι ξυμβλήμενος ἄλλος ὁδίτης
when — indeed me meeting another wayfarer
φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ,
says a-winnowing-fan to-have on glorious shoulder
καὶ τότε μ᾽ ἐν γαίῃ πήξαντ᾽ ἐκέλευεν ἐρετμόν,
and then me in the-ground fixing he-bade the-oar
ἔρξαν᾽θ᾽ ἱερὰ καλὰ Ποσειδάωνι ἄνακτι,
having-offered sacrifices fair to-Poseidon lord
ἀρνειὸν ταῦρόν τε συῶν τ᾽ ἐπιβήτορα κάπρον,
a-ram a-bull both of-swine and mounting boar
οἴκαδ᾽ ἀποστείχειν, ἔρδειν θ᾽ ἱερὰς ἑκατόμβας
home to-go-away to-offer and sacred hecatombs
ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
to-immortal gods who heaven broad hold
πᾶσι μάλ᾽ ἑξείης· θάνατος δέ μοι ἐξ ἁλὸς αὐτῷ
to-all very in-order death and for-me out-of the-sea myself
ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται, ὅς κέ με πέφνῃ
gentle very such will-come which — me will-slay
γήρα᾽ ὕπο λιπαρῷ ἀρημένον· ἀμφὶ δὲ λαοὶ
old-age under sleek overcome around and the-people
ὄλβιοι ἔσσονται· τὰ δέ μοι φάτο πάντα τελεῖσθαι."
happy will-be these-things and to-me he-said all to-be-accomplished

Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Him and in-turn addressed wise Penelope
"Εἰ μὲν δὴ γῆράς γε θεοὶ τελέουσιν ἄρειον,
If indeed truly old-age indeed the-gods will-accomplish better
ἐλπωρή τοι ἔπειτα κακῶν ὑπάλυξιν ἔσεσθαι."
hope for-you then of-evils an-escape to-be
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
So they indeed such-things to each-other spoke
τόφρα δ' ἄρ' Εὐρυνόμη τε ἰδὲ τροφὸς ἔντυον εὐνὴν
meanwhile and then Eurynome both and the-nurse prepared bed
ἐσθῆτος μαλακῆς, δαΐδων ὕπο λαμπομενάων.
of-clothing soft torches under burning
αὐτὰρ ἐπεὶ στόρεσαν πυκινὸν λέχος ἐγκονέουσαι,
but when they-had-spread the-close bed hastening
γρηῢς μὲν κείουσα πάλιν οἰκόνδε βεβήκει,
the-old-woman indeed to-lie-down back to-her-room went
τοῖσιν δ' Εὐρυνόμη θαλαμηπόλος ἡγεμόνευεν
them and Eurynome chambermaid led
ἐρχομένοισι λέχοσδε, δάος μετὰ χερσὶν ἔχουσα·
going to-bed a-torch in hands holding
ἐς θάλαμον δ' ἀγαγοῦσα πάλιν κίεν. οἱ μὲν ἔπειτα
into the-chamber and leading(-them) back went they indeed then
ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο·
gladly of-the-bed old the-rite came-to
αὐτὰρ Τηλέμαχος καὶ βουκόλος ἠδὲ συβώτης
but Telemachus and the-cowherd and the-swineherd
παῦσαν ἄρ' ὀρχηθμοῖο πόδας, παῦσαν δὲ γυναῖκας,
stopped then from-the-dance feet stopped and the-women
αὐτοὶ δ' εὐνάζοντο κατὰ μέγαρα σκιόεντα.
themselves and lay-down throughout the-halls shadowy

In bed Penelope tells what she endured, and Odysseus tells his whole story, from the Cicones to the Phaeacians, before he sleeps. At dawn he tells her he must go to his father in the country and that she must stay in her upper room. He arms with Telemachus and the herdsmen, and Athena leads them out of the city hidden in night.

Τὼ δ᾽ ἐπεὶ οὖν φιλότητος ἐταρπήτην ἐρατεινῆς,
They-two and when then of-love had-enjoyed lovely
τερπέσθην μύθοισι, πρὸς ἀλλήλους ἐνέποντε,
delighted in-tales to each-other telling
ἡ μὲν ὅσ᾽ ἐν μεγάροισιν ἀνέσχετο δῖα γυναικῶν,
she indeed how-much in the-halls endured bright among-women
ἀνδρῶν μνηστήρων ἐσορῶσ᾽ ἀΐδηλον ὅμιλον,
of-men suitors seeing the-destructive throng
οἳ ἕθεν εἵνεκα πολλά, βόας καὶ ἴφια μῆλα,
who her for-the-sake-of many cattle and fat flocks
ἔσφαζον, πολλὸς δὲ πίθων ἠφύσσετο οἶνος·
slaughtered much and from-the-jars was-drawn wine
αὐτὰρ ὁ διογενὴς Ὀδυσεὺς ὅσα κήδε᾽ ἔθηκεν
but the Zeus-born Odysseus how-many griefs he-caused
ἀνθρώποις ὅσα τ᾽ αὐτὸς ὀϊζύσας ἐμόγησε,
to-men how-many and himself having-suffered toiled
πάντ᾽ ἔλεγ᾽· ἡ δ᾽ ἄρ᾽ ἐτέρπετ᾽ ἀκούουσ᾽, οὐδέ οἱ ὕπνος
all told she and then delighted hearing nor for-her sleep
πῖπτεν ἐπὶ βλεφάροισι πάρος καταλέξαι ἅπαντα.
fell on eyelids before to-recount all

Ἤρξατο δ' ὡς πρῶτον Κίκονας δάμασ', αὐτὰρ ἔπειτα
He-began and how first the-Cicones he-subdued but then
ἦλθ' ἐς Λωτοφάγων ἀνδρῶν πίειραν ἄρουραν·
came to of-the-Lotus-eaters men rich land
ἠδ' ὅσα Κύκλωψ ἔρξε, καὶ ὡς ἀπετίσατο ποινὴν
and what the-Cyclops did and how he-exacted the-penalty
ἰφθίμων ἑτάρων, οὓς ἤσθιεν οὐδ' ἐλέαιρεν·
for-the-mighty comrades whom he-ate nor pitied
ἠδ' ὡς Αἴολον ἵκεθ', ὅ μιν πρόφρων ὑπέδεκτο
and how Aeolus he-reached who him kindly received
καὶ πέμπ', οὐδέ πω αἶσα φίλην ἐς πατρίδ' ἱκέσθαι
and sent(-him) nor yet fate dear to native-land to-reach
ἦην, ἀλλά μιν αὖτις ἀναρπάξασα θύελλα
was but him again snatching-up a-storm
πόντον ἐπ' ἰχθυόεντα φέρεν βαρέα στενάχοντα·
the-sea over fish-filled bore heavily groaning
ἠδ' ὡς Τηλέπυλον Λαιστρυγονίην ἀφίκανεν,
and how Telepylus Laestrygonian he-reached
οἳ νῆάς τ' ὄλεσαν καὶ ἐϋκνήμιδας ἑταίρους
who ships both destroyed and well-greaved comrades
πάντας· Ὀδυσσεὺς δ' οἶος ὑπέκφυγε νηῒ μελαίνῃ·
all Odysseus and alone escaped in-ship black
καὶ Κίρκης κατέλεξε δόλον πολυμηχανίην τε,
and of-Circe he-told the-guile craftiness and
ἠδ' ὡς εἰς Ἄϊδεω δόμον ἤλυθεν εὐρώεντα,
and how to of-Hades house he-came dank
ψυχῇ χρησόμενος Θηβαίου Τειρεσίαο,
the-soul to-consult of-Theban Teiresias

νηΐ πολυκλήϊδι, καὶ εἶσιδε πάντας ἑταίρους
in-ship many-benched and saw all comrades
μητέρα θ', ἥ μιν ἔτικτε καὶ ἔτρεφε τυτθὸν ἐόντα·
mother and who him bore and nursed little being
ἠδ' ὡς Σειρήνων ἀδινάων φθόγγον ἄκουσεν,
and how of-the-Sirens loud-voiced the-voice he-heard
ὥς θ' ἵκετο Πλαγκτὰς πέτρας δεινήν τε Χάρυβδιν
how and he-came-to the-Wandering rocks dread and Charybdis
Σκύλλην θ', ἣν οὔ πώ ποτ' ἀκήριοι ἄνδρες ἄλυξαν·
Scylla and whom not yet ever unharmed men escaped
ἠδ' ὡς Ἠελίοιο βόας κατέπεφνον ἑταῖροι·
and how of-the-Sun the-cattle killed the-comrades
ἠδ' ὡς νῆα θοὴν ἔβαλε ψολόεντι κεραυνῷ
and how ship swift struck with-smoking thunderbolt
Ζεὺς ὑψιβρεμέτης, ἀπὸ δ' ἔφθιθεν ἐσθλοὶ ἑταῖροι
Zeus high-thundering away and perished noble comrades
πάντες ὁμῶς, αὐτὸς δὲ κακὰς ὑπὸ κῆρας ἄλυξεν·
all alike he-himself and evil from-under dooms escaped
ὥς θ' ἵκετ' Ὠγυγίην νῆσον νύμφην τε Καλυψώ,
how and he-came-to Ogygia island nymph and Calypso
ἣ δή μιν κατέρυκε, λιλαιομένη πόσιν εἶναι
who indeed him detained desiring (him)-husband to-be
ἐν σπέσσι γλαφυροῖσι, καὶ ἔτρεφεν ἠδὲ ἔφασκε
in caves hollow and nurtured and declared
θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα·
to-make(-him) immortal and ageless days all
ἀλλὰ τοῦ οὔ ποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν·
but his not ever heart in breast did-she-persuade
ἠδ' ὡς ἐς Φαίηκας ἀφίκετο πολλὰ μογήσας,
and how to the-Phaeacians he-came much having-toiled

οἳ δή μιν περὶ κῆρι θεὸν ὣς τιμήσαντο
who indeed him exceedingly in-heart a-god like honored
καὶ πέμψαν σὺν νηῒ φίλην ἐς πατρίδα γαῖαν,
and sent(-him) with ship dear to native land
χαλκόν τε χρυσόν τε ἅλις ἐσθῆτά τε δόντες.
bronze both gold and enough clothing and having-given
τοῦτ᾽ ἄρα δεύτατον εἶπεν ἔπος, ὅτε οἱ γλυκὺς ὕπνος
this then last he-spoke word when on-him sweet sleep
λυσιμελὴς ἐπόρουσε, λύων μελεδήματα θυμοῦ.
limb-loosening leapt loosing the-cares of-the-heart
Ἡ δ᾽ αὖτ᾽ ἄλλ᾽ ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη·
She and in-turn another-thing thought the-goddess flashing-eyed Athena
ὁππότε δή ῥ᾽ Ὀδυσῆα ἐέλπετο ὃν κατὰ θυμὸν
when indeed then Odysseus she-supposed her-own in heart
εὐνῆς ἧς ἀλόχου ταρπήμεναι ἠδὲ καὶ ὕπνου,
of-the-bed of-his wife to-have-enjoyed and also of-sleep
αὐτίκ᾽ ἀπ᾽ Ὠκεανοῦ χρυσόθρονον ἠριγένειαν
at-once from Ocean golden-throned early-born
ὦρσεν, ἵν᾽ ἀνθρώποισι φόως φέροι· ὦρτο δ᾽ Ὀδυσσεὺς
she-roused so-that to-men light she-might-bring rose and Odysseus
εὐνῆς ἐκ μαλακῆς, ἀλόχῳ δ᾽ ἐπὶ μῦθον ἔτελλεν·
bed from soft to-wife and upon word enjoined
“ Ὦ γύναι, ἤδη μὲν πολέων κεκορήμεθ᾽ ἀέθλων
O wife already indeed of-many we-have-had-our-fill of-trials
ἀμφοτέρω, σὺ μὲν ἐνθάδ᾽ ἐμὸν πολυκηδέα νόστον
both you indeed here my troubled return
κλαίουσ᾽. αὐτὰρ ἐμὲ Ζεὺς ἄλγεσι καὶ θεοὶ ἄλλοι
weeping-for but me Zeus with-pains and gods other
ἱέμενον πεδάασκον ἐμῆς ἀπὸ πατρίδος αἴης·
eager kept-fettering my from native land

νῦν δ' ἐπεὶ ἀμφοτέρω πολυήρατον ἱκόμεθ' εὐνήν,
now but since both the-much-loved we-have-reached bed
κτήματα μὲν τά μοι ἔστι, κομιζέμεν ἐν μεγάροισι,
the-possessions indeed which to-me are care-for in the-halls
μῆλα δ' ἅ μοι μνηστῆρες ὑπερφίαλοι κατέκειραν,
the-flocks and which my the-suitors arrogant wasted
πολλὰ μὲν αὐτὸς ἐγὼ ληΐσσομαι, ἄλλα δ' Ἀχαιοὶ
many indeed myself I will-take-as-plunder others and the-Achaeans
δώσουσ', εἰς ὅ κε πάντας ἐνιπλήσωσιν ἐπαύλους.
will-give until (the-time)-when — all they-fill folds
ἀλλ' ἦ τοι μὲν ἐγὼ πολυδένδρεον ἀγρὸν ἔπειμι,
but truly indeed indeed I many-treed farm will-go-to
ὀψόμενος πατέρ' ἐσθλόν, ὅ μοι πυκινῶς ἀκάχηται·
to-see father noble who for-me sorely grieves
σοὶ δέ, γύναι, τάδ' ἐπιτέλλω, πινυτῇ περ ἐούσῃ·
to-you and wife this I-enjoin wise though being
αὐτίκα γὰρ φάτις εἶσιν ἅμ' ἠελίῳ ἀνιόντι
at-once for a-rumor will-go with the-sun rising
ἀνδρῶν μνηστήρων, οὓς ἔκτανον ἐν μεγάροισιν·
of-the-men suitors whom I-killed in the-halls
εἰς ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν
into the-upper-rooms having-gone-up with handmaid women
ἧσθαι, μηδέ τινα προτιόσσεο μηδ' ἐρέεινε."
sit nor anyone look-at nor question
Ἦ ῥα καὶ ἀμφ' ὤμοισιν ἐδύσετο τεύχεα καλά,
He-spoke then and around shoulders put-on arms fair
ὦρσε δὲ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην,
roused and Telemachus and the-cowherd and the-swineherd
πάντας δ' ἔντε' ἄνωγεν ἀρήϊα χερσὶν ἑλέσθαι.
all and arms bade warlike in-hands to-take

οἱ δέ οἱ οὐκ ἀπίθησαν, ἐθωρήσσοντο δὲ χαλκῷ,
they and him not disobeyed armed and with-bronze
ὤϊξαν δὲ θύρας, ἐκ δ' ἤϊον· ἦρχε δ' Ὀδυσσεύς.
opened and the-doors out and went led and Odysseus
ἤδη μὲν φάος ἦεν ἐπὶ χθόνα, τοὺς δ' ἄρ' Ἀθήνη
already indeed light was over the-earth them and then Athena
νυκτὶ κατακρύψασα θοῶς ἐξῆγε πόληος.
in-night hiding swiftly led-out of-the-city

BOOK XXIV

XXIV.1 · THE SUITORS IN HADES

Hermes leads the suitors' gibbering souls to the asphodel meadow, where the soul of Achilles meets Agamemnon's. Achilles pities Agamemnon's death at home; Agamemnon calls Achilles blessed and describes his funeral at Troy: the coming of Thetis, the lament of the sea-nymphs and the Muses, the pyre, the golden urn where his bones lie with those of Patroclus, the barrow on the Hellespont, and the games.

Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο
Hermes and the-souls Cyllenian called-forth
ἀνδρῶν μνηστήρων· ἔχε δὲ ῥάβδον μετὰ χερσὶν
of-the-men suitors he-held and a-wand in hands
καλὴν χρυσείην, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει
fair golden with-which — of-men the-eyes he-charms
ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει·
whose he-wishes them and in-turn also sleeping he-wakes
τῇ ῥ' ἄγε κινήσας, ταὶ δὲ τρίζουσαι ἕποντο. 5
with-this then he-led(-them) rousing they and gibbering followed
ὡς δ' ὅτε νυκτερίδες μυχῷ ἄντρου θεσπεσίοιο
as and when bats in-the-recess of-the-cave wondrous
τρίζουσαι ποτέονται, ἐπεί κέ τις ἀποπέσῃσιν
gibbering flit-about when — one falls-off
ὁρμαθοῦ ἐκ πέτρης, ἀνά τ' ἀλλήλῃσιν ἔχονται,
from-the-cluster from the-rock up and to-each-other they-cling
ὣς αἱ τετριγυῖαι ἅμ' ἤϊσαν· ἦρχε δ' ἄρα σφιν
so they gibbering together went led and then them
Ἑρμείας ἀκάκητα κατ' εὐρώεντα κέλευθα. 10
Hermes the-helper down dank ways

πὰρ δ' ἴσαν Ὠκεανοῦ τε ῥοὰς καὶ Λευκάδα πέτρην,
past and they-went of-Ocean both the-streams and the-Leucadian rock
ἠδὲ παρ' Ἠελίοιο πύλας καὶ δῆμον ὀνείρων
and past of-the-Sun the-gates and the-land of-dreams
ἤϊσαν· αἶψα δ' ἵκοντο κατ' ἀσφοδελὸν λειμῶνα,
they-went quickly and they-came to the-asphodel meadow
ἔνθα τε ναίουσι ψυχαί, εἴδωλα καμόντων.
where — dwell the-souls phantoms of-the-dead
εὗρον δὲ ψυχὴν Πηληϊάδεω Ἀχιλῆος
they-found and the-soul of-the-son-of-Peleus Achilles
καὶ Πατροκλῆος καὶ ἀμύμονος Ἀντιλόχοιο
and of-Patroclus and of-blameless Antilochus
Αἴαντός θ', ὃς ἄριστος ἔην εἶδός τε δέμας τε
of-Ajax and who best was in-form both build and
τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλεΐωνα.
of-the other Danaans after blameless son-of-Peleus
Ὣς οἱ μὲν περὶ κεῖνον ὁμίλεον· ἀγχίμολον δὲ
So they indeed about him thronged near and
ἤλυθ' ἔπι ψυχὴ Ἀγαμέμνονος Ἀτρεΐδαο
came up the-soul of-Agamemnon son-of-Atreus
ἀχνυμένη· περὶ δ' ἄλλαι ἀγηγέραθ', ὅσσαι ἅμ' αὐτῷ
grieving around and others were-gathered as-many-as with him
οἴκῳ ἐν Αἰγίσθοιο θάνον καὶ πότμον ἐπέσπον.
the-house in of-Aegisthus died and fate met
τὸν πρότερη ψυχὴ προσεφώνεε Πηλεΐωνος·
him first the-soul addressed of-the-son-of-Peleus
" Ἀτρεΐδη, περὶ μέν σ' ἔφαμεν Διὶ τερπικεραύνῳ
Son-of-Atreus beyond indeed you we-said to-Zeus who-delights-in-thunder
ἀνδρῶν ἡρώων φίλον ἔμμεναι ἤματα πάντα,
of-men warriors dear to-be days all

οὕνεκα πολλοῖσίν τε καὶ ἰφθίμοισιν ἄνασσες
because over-many both and mighty you-ruled
δήμῳ ἔνι Τρώων, ὅθι πάσχομεν ἄλγε' Ἀχαιοί.
the-land in of-the-Trojans where we-suffered pains Achaeans
ἦ τ' ἄρα καὶ σοὶ πρῶϊ παραστήσεσθαι ἔμελλεν
truly — then also by-you early to-stand was-to
μοῖρ' ὀλοή, τὴν οὔ τις ἀλεύεται ὅς κε γένηται.
fate deadly which not anyone avoids who — is-born
ὡς ὄφελες τιμῆς ἀπονήμενος, ἧς περ ἄνασσες,
would-that you-had of-the-honor enjoying which indeed you-held
δήμῳ ἔνι Τρώων θάνατον καὶ πότμον ἐπισπεῖν·
the-land in of-the-Trojans death and fate to-meet
τῷ κέν τοι τύμβον μὲν ἐποίησαν Παναχαιοί,
then — for-you a-barrow indeed would-have-made the-Panachaeans
ἠδέ κε καὶ σῷ παιδὶ μέγα κλέος ἤρα' ὀπίσσω·
and — also for-your son great fame you-would-have-won hereafter
νῦν δ' ἄρα σ' οἰκτίστῳ θανάτῳ εἵμαρτο ἁλῶναι."
now but then you by-most-piteous death it-was-fated to-be-caught
Τὸν δ' αὖτε ψυχὴ προσεφώνεεν Ἀτρεΐδαο·
Him and in-turn the-soul addressed of-the-son-of-Atreus
" Ὄλβιε Πηλέος υἱέ, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
Blessed of-Peleus son to-gods like Achilles
ὃς θάνες ἐν Τροίῃ ἑκὰς Ἄργεος· ἀμφὶ δέ σ' ἄλλοι
who died in Troy far-from Argos around and you others
κτείνοντο Τρώων καὶ Ἀχαιῶν υἷες ἄριστοι,
were-slain of-the-Trojans and of-the-Achaeans sons best
μαρνάμενοι περὶ σεῖο· σὺ δ' ἐν στροφάλιγγι κονίης
fighting over you you and in a-whirl of-dust
κεῖσο μέγας μεγαλωστί, λελασμένος ἱπποσυνάων.
lay great greatly having-forgotten of-horsemanship

ἡμεῖς δὲ πρόπαν ἦμαρ ἐμαρνάμεθ'· οὐδέ κε πάμπαν
we and whole day fought nor — at-all
παυσάμεθα πτολέμου, εἰ μὴ Ζεὺς λαίλαπι παῦσεν.
would-we-have-ceased from-war if not Zeus with-a-storm stopped(-us)
αὐτὰρ ἐπεί σ' ἐπὶ νῆας ἐνείκαμεν ἐκ πολέμοιο,
but when you to the-ships we-carried from the-war
κάτθεμεν ἐν λεχέεσσι, καθήραντες χρόα καλὸν
we-laid(-you) on a-bier having-cleansed skin fair
ὕδατί τε λιαρῷ καὶ ἀλείφατι· πολλὰ δέ σ' ἀμφὶ
with-water both warm and ointment many and you around
δάκρυα θερμὰ χέον Δαναοὶ κείροντό τε χαίτας.
tears hot shed the-Danaans cut and hair
μήτηρ δ' ἐξ ἁλὸς ἦλθε σὺν ἀθανάτῃς ἁλίῃσιν
mother and out-of the-sea came with immortal sea-nymphs
ἀγγελίης ἀΐουσα· βοὴ δ' ἐπὶ πόντον ὀρώρει
the-news hearing a-cry and over sea arose
θεσπεσίη, ὑπὸ δὲ τρόμος ἔλλαβε πάντας Ἀχαιούς·
wondrous beneath and trembling seized all Achaeans
καί νύ κ' ἀναΐξαντες ἔβαν κοίλας ἐπὶ νῆας,
and now — leaping-up they-would-have-gone hollow to ships
εἰ μὴ ἀνὴρ κατέρυκε παλαιά τε πολλά τε εἰδώς,
if not a-man held-back ancient-things both many and knowing
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή·
Nestor whose also before best appeared the-plan
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
he them with-good-intent addressed-the-assembly and spoke-among(-them)

"‘ Ἴσχεσθ’, Ἀργεῖοι, μὴ φεύγετε, κοῦροι Ἀχαιῶν·
Hold-back Argives not flee youths of-the-Achaeans
μήτηρ ἐξ ἁλὸς ἥδε σὺν ἀθανάτῃς ἁλίῃσιν
mother out-of the-sea this with immortal sea-nymphs
ἔρχεται, οὗ παιδὸς τεθνηότος ἀντιόωσα.’
comes her son dead to-meet
" Ὣς ἔφαθ’, οἱ δ’ ἔσχοντο φόβου μεγάθυμοι Ἀχαιοί·
So he-spoke they and held-back from-flight great-hearted Achaeans
ἀμφὶ δέ σ’ ἔστησαν κοῦραι ἁλίοιο γέροντος
around and you stood the-daughters of-the-sea old-man
οἴκτρ’ ὀλοφυρόμεναι, περὶ δ’ ἄμβροτα εἵματα ἔσσαν.
piteously wailing around and immortal garments they-put
Μοῦσαι δ’ ἐννέα πᾶσαι ἀμειβόμεναι ὀπὶ καλῇ
the-Muses and nine all answering with-voice fair
θρήνεον· ἔνθα κεν οὔ τιν’ ἀδάκρυτόν γ’ ἐνόησας
lamented there — not anyone tearless indeed you-would-have-seen
Ἀργείων· τοῖον γὰρ ὑπώρορε Μοῦσα λίγεια.
of-the-Argives such for stirred the-Muse clear-voiced
ἑπτὰ δὲ καὶ δέκα μέν σε ὁμῶς νύκτας τε καὶ ἦμαρ
seven and and ten indeed you alike nights both and day
κλαίομεν ἀθάνατοί τε θεοὶ θνητοί τ’ ἄνθρωποι·
we-wept immortal both gods mortal and men
ὀκτωκαιδεκάτῃ δ’ ἔδομεν πυρί, πολλὰ δέ σ’ ἀμφὶ
on-the-eighteenth and we-gave(-you) to-the-fire many and you around
μῆλα κατεκτάνομεν μάλα πίονα καὶ ἕλικας βοῦς.
sheep we-slew very fat and crooked-horned cattle

καίεο δ' ἔν τ' ἐσθῆτι θεῶν καὶ ἀλείφατι πολλῷ
you-were-burned and in — the-raiment of-the-gods and ointment much
καὶ μέλιτι γλυκερῷ· πολλοὶ δ' ἥρωες Ἀχαιοὶ
and honey sweet many and warriors Achaean
τεύχεσιν ἐρρώσαντο πυρὴν πέρι καιομένοιο,
in-armor moved-quickly the-pyre around as-you-burned
πεζοί θ' ἱππῆές τε· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
on-foot both charioteers and much and din arose
αὐτὰρ ἐπεὶ δή σε φλὸξ ἤνυσεν Ἡφαίστοιο,
but when indeed you the-flame finished of-Hephaestus
ἠῶθεν δή τοι λέγομεν λεύκ' ὀστέ', Ἀχιλλεῦ,
at-dawn indeed your we-gathered white bones Achilles
οἴνῳ ἐν ἀκρήτῳ καὶ ἀλείφατι· δῶκε δὲ μήτηρ
wine in unmixed and ointment gave and mother
χρύσεον ἀμφιφορῆα· Διωνύσοιο δὲ δῶρον
a-golden two-handled-jar of-Dionysus and the-gift
φάσκ' ἔμεναι, ἔργον δὲ περικλυτοῦ Ἡφαίστοιο.
she-said to-be the-work and of-glorious Hephaestus
ἐν τῷ τοι κεῖται λεύκ' ὀστέα, φαίδιμ' Ἀχιλλεῦ,
in this your lie white bones glorious Achilles
μίγδα δὲ Πατρόκλοιο Μενοιτιάδαο θανόντος,
mingled and of-Patroclus son-of-Menoetius dead
χωρὶς δ' Ἀντιλόχοιο, τὸν ἔξοχα τῖες ἁπάντων
apart and of-Antilochus whom above you-honored all
τῶν ἄλλων ἑτάρων, μετὰ Πάτροκλόν γε θανόντα.
of-the other comrades after Patroclus indeed dead

ἀμφ᾽ αὐτοῖσι δ᾽ ἔπειτα μέγαν καὶ ἀμύμονα τύμβον
around them and then great and blameless barrow
χεύαμεν Ἀργείων ἱερὸς στρατὸς αἰχμητάων
we-heaped of-the-Argives the-holy host of-spearmen
ἀκτῇ ἔπι προὐχούσῃ, ἐπὶ πλατεῖ Ἑλλησπόντῳ,
headland on jutting by broad Hellespont
ὥς κεν τηλεφανὴς ἐκ ποντόφιν ἀνδράσιν εἴη
so-that — seen-from-afar from the-sea by-men it-might-be
τοῖς οἳ νῦν γεγάασι καὶ οἳ μετόπισθεν ἔσονται.
those who now are-born and who hereafter will-be
μήτηρ δ᾽ αἰτήσασα θεοὺς περικαλλέ᾽ ἄεθλα
mother and asking the-gods very-fair prizes
θῆκε μέσῳ ἐν ἀγῶνι ἀριστήεσσιν Ἀχαιῶν.
set middle in the-gathering for-the-best of-the-Achaeans
ἤδη μὲν πολέων τάφῳ ἀνδρῶν ἀντεβόλησας
already indeed of-many at-the-burial of-men you-have-been-present
ἡρώων, ὅτε κέν ποτ᾽ ἀποφθιμένου βασιλῆος
of-warriors when — ever having-perished a-king
ζώννυνταί τε νέοι καὶ ἐπεντύνονται ἄεθλα·
gird-themselves both the-young and make-ready the-prizes
ἀλλά κε κεῖνα μάλιστα ἰδὼν θηήσαο θυμῷ,
but — those-things most seeing you-would-have-marveled in-heart
οἷ᾽ ἐπὶ σοὶ κατέθηκε θεὰ περικαλλέ᾽ ἄεθλα,
such for you set-down the-goddess very-fair prizes
ἀργυρόπεζα Θέτις· μάλα γὰρ φίλος ἦσθα θεοῖσιν.
silver-footed Thetis very for dear you-were to-the-gods
ὣς σὺ μὲν οὐδὲ θανὼν ὄνομ᾽ ὤλεσας, ἀλλά τοι αἰεὶ
so you indeed not-even dying name lost but your always
πάντας ἐπ᾽ ἀνθρώπους κλέος ἔσσεται ἐσθλόν, Ἀχιλλεῦ,
all among men fame will-be noble Achilles

αὐτὰρ ἐμοὶ τί τόδ' ἦδος, ἐπεὶ πόλεμον τολύπευσα;
but for-me what this pleasure since war I-wound-up
ἐν νόστῳ γάρ μοι Ζεὺς μήσατο λυγρὸν ὄλεθρον
in return for for-me Zeus devised baneful destruction
Αἰγίσθου ὑπὸ χερσὶ καὶ οὐλομένης ἀλόχοιο."
of-Aegisthus beneath hands and of-accursed wife

XXIV.2 · AMPHIMEDON'S STORY

Agamemnon recognizes Amphimedon, whose guest he once was in Ithaca, and asks how so many fine men died together. Amphimedon tells of Penelope's shroud, of Odysseus' return as a beggar, of the contest of the bow, and of the slaughter, whose bodies still lie unburied. Agamemnon praises Penelope's virtue, which will be a gracious song among men, unlike the hateful song of Tyndareus' daughter.

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
So they indeed such-things to each-other spoke
ἀγχίμολον δέ σφ' ἦλθε διάκτορος ἀργεϊφόντης,
near and to-them came the-guide Argus-slayer
ψυχὰς μνηστήρων κατάγων Ὀδυσῆϊ δαμέντων,
the-souls of-the-suitors leading-down by-Odysseus slain
τὼ δ' ἄρα θαμβήσαντ' ἰθὺς κίον, ὡς ἐσιδέσθην.
the-two and then amazed straight went when they-saw(-them)
ἔγνω δὲ ψυχὴ Ἀγαμέμνονος Ἀτρεΐδαο
recognized and the-soul of-Agamemnon of-the-son-of-Atreus
παῖδα φίλον Μελανῆος, ἀγακλυτὸν Ἀμφιμέδοντα·
the-son dear of-Melaneus glorious Amphimedon
ξεῖνος γάρ οἱ ἔην Ἰθάκῃ ἔνι οἰκία ναίων.
a-guest-friend for to-him he-was Ithaca in house dwelling
τὸν πρότερη ψυχὴ προσεφώνεεν Ἀτρεΐδαο·
him first the-soul addressed of-the-son-of-Atreus

“ Ἀμφίμεδον, τί παθόντες ἐρεμνὴν γαῖαν ἔδυτε
Amphimedon what suffering the-dark earth have-you-entered
πάντες κεκριμένοι καὶ ὁμήλικες; οὐδέ κεν ἄλλως
all chosen and of-like-age nor — otherwise
κρινάμενος λέξαιτο κατὰ πτόλιν ἄνδρας ἀρίστους.
choosing would-one-pick through city men best
ἦ ὔμμ᾽ ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν,
truly you in ships Poseidon subdued
ὄρσας ἀργαλέους ἀνέμους καὶ κύματα μακρά;
rousing grievous winds and waves long
ἦ που ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ᾽ ἐπὶ χέρσου
or perhaps hostile men harmed(-you) on land
βοῦς περιταμνομένους ἠδ᾽ οἰῶν πώεα καλά,
cattle cutting-off and of-sheep flocks fair
ἠὲ περὶ πτόλιος μαχεούμενοι ἠδὲ γυναικῶν;
or about a-city fighting and women
εἰπέ μοι εἰρομένῳ· ξεῖνος δέ τοι εὔχομαι εἶναι.
tell me asking a-guest-friend and of-yours I-declare-myself to-be
ἦ οὐ μέμνῃ ὅτε κεῖσε κατήλυθον ὑμέτερον δῶ,
or not do-you-remember when there I-came-down your house
ὀτρυνέων Ὀδυσῆα σὺν ἀντιθέῳ Μενελάῳ
urging Odysseus with godlike Menelaus
Ἴλιον εἰς ἅμ᾽ ἕπεσθαι ἐϋσσέλμων ἐπὶ νηῶν;
Ilion to with(-us) to-follow well-benched on ships
μηνὶ δ᾽ ἄρ᾽ οὔλῳ πάντα περήσαμεν εὐρέα πόντον,
in-a-month and then whole all we-crossed wide sea
σπουδῇ παρπεπιθόντες Ὀδυσσῆα πτολίπορθον.”
with-difficulty having-won-over Odysseus sacker-of-cities

Τὸν δ' αὖτε ψυχὴ προσεφώνεεν Ἀμφιμέδοντος·
Him and in-turn the-soul addressed of-Amphimedon
" Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
Son-of-Atreus most-glorious lord of-men Agamemnon
μέμνημαι τάδε πάντα, διοτρεφές, ὡς ἀγορεύεις·
I-remember these-things all Zeus-nurtured as you-say
σοὶ δ' ἐγὼ εὖ μάλα πάντα καὶ ἀτρεκέως καταλέξω,
to-you and I well very all and truly will-recount
ἡμετέρου θανάτοιο κακὸν τέλος, οἷον ἐτύχθη.
of-our death the-evil end such-as was-brought-about
μνώμεθ' Ὀδυσσῆος δὴν οἰχομένοιο δάμαρτα·
we-wooed of-Odysseus long gone the-wife
ἡ δ' οὔτ' ἠρνεῖτο στυγερὸν γάμον οὔτ' ἐτελεύτα,
she and neither refused hateful marriage nor accomplished(-it)
ἡμῖν φραζομένη θάνατον καὶ κῆρα μέλαιναν,
for-us devising death and doom black
ἀλλὰ δόλον τόνδ' ἄλλον ἐνὶ φρεσὶ μερμήριξε·
but trick this other in mind devised
στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινε,
having-set-up great loom in the-halls she-wove
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ' ἡμῖν μετέειπε·
fine and very-wide straightway and to-us spoke-among(-us)
"'Κοῦροι ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
Young-men my suitors since died noble Odysseus
μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰς ὅ κε φᾶρος
wait being-eager-for the my marriage until (the-time)-when — the-robe
ἐκτελέσω, μή μοι μεταμώνια νήματ' ὄληται,
I-finish lest to-me vain the-threads perish

Λαέρτῃ ἥρωϊ ταφήϊον, εἰς ὅτε κέν μιν
for-Laertes the-hero a-shroud against when — him
μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο,
fate deadly takes-down of-grievous death
μή τίς μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσῃ,
lest any me throughout the-land of-Achaean-women be-indignant
αἴ κεν ἄτερ σπείρου κῆται πολλὰ κτεατίσσας.'
if — without a-shroud he-lie much having-won
"Ὣς ἔφαθ', ἡμῖν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
So she-spoke to-us and in-turn was-persuaded heart proud
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκεν μέγαν ἱστόν,
then and by-day indeed she-would-weave the-great loom
νύκτας δ' ἀλλύεσκεν, ἐπεὶ δαΐδας παραθεῖτο.
by-night but would-unravel when torches she-had-set-beside
ὣς τρίετες μὲν ἔληθε δόλῳ καὶ ἔπειθεν Ἀχαιούς·
so three-years indeed she-escaped-notice by-guile and persuaded the-Achaeans
ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος καὶ ἐπήλυθον ὧραι,
but when fourth came the-year and came-on the-seasons
μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
of-the-months waning around and days many were-completed
καὶ τότε δή τις ἔειπε γυναικῶν, ἣ σάφα ᾔδη,
and then indeed one told of-the-women who clearly knew
καὶ τήν γ' ἀλλύουσαν ἐφεύρομεν ἀγλαὸν ἱστόν.
and her indeed unraveling we-found glorious loom
ὣς τὸ μὲν ἐξετέλεσσε καὶ οὐκ ἐθέλουσ', ὑπ' ἀνάγκης.
so it indeed she-finished even not willing under compulsion
"Εὖθ' ἡ φᾶρος ἔδειξεν, ὑφήνασα μέγαν ἱστόν,
When she the-robe showed having-woven great loom
πλύνασ', ἠελίῳ ἐναλίγκιον ἠὲ σελήνῃ,
having-washed(-it) to-the-sun like or to-the-moon

καὶ τότε δή ῥ᾽ Ὀδυσῆα κακός ποθεν ἤγαγε δαίμων
and then indeed then Odysseus evil from-somewhere brought a-spirit
ἀγροῦ ἐπ᾽ ἐσχατιήν, ὅθι δώματα ναῖε συβώτης.
of-the-field to the-border where the-house dwelt-in the-swineherd
ἔνθ᾽ ἦλθεν φίλος υἱὸς Ὀδυσσῆος θείοιο,
there came dear son of-Odysseus godlike
ἐκ Πύλου ἠμαθόεντος ἰὼν σὺν νηῒ μελαίνῃ·
from Pylos sandy coming with ship black
τὼ δὲ μνηστῆρσιν θάνατον κακὸν ἀρτύναντε
the-two and for-the-suitors death evil devising
ἵκοντο προτὶ ἄστυ περικλυτόν, ἦ τοι Ὀδυσσεὺς
came to the-city very-famous truly indeed Odysseus
ὕστερος, αὐτὰρ Τηλέμαχος πρόσθ᾽ ἡγεμόνευε.
later but Telemachus in-front led
τὸν δὲ συβώτης ἦγε κακὰ χροῒ εἵματ᾽ ἔχοντα,
him and the-swineherd led bad on-skin clothes having
πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι
a-beggar wretched like and an-old-man
σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο·
leaning-on-a-staff the and wretched about skin clothes he-wore
οὐδέ τις ἡμείων δύνατο γνῶναι τὸν ἐόντα
nor any of-us could know him being(-the-man)
ἐξαπίνης προφανέντ᾽, οὐδ᾽ οἳ προγενέστεροι ἦσαν,
suddenly appearing nor who older were
ἀλλ᾽ ἔπεσίν τε κακοῖσιν ἐνίσσομεν ἠδὲ βολῇσιν.
but with-words both evil we-assailed and with-missiles
αὐτὰρ ὁ τῆος ἐτόλμα ἐνὶ μεγάροισιν ἑοῖσι
but he for-a-time endured in halls his-own
βαλλόμενος καὶ ἐνισσόμενος τετληότι θυμῷ·
being-struck and being-assailed with-steadfast heart

ἀλλ᾽ ὅτε δή μιν ἔγειρε Διὸς νοός αἰγιόχοιο,
but when indeed him roused of-Zeus the-mind aegis-bearing
σὺν μὲν Τηλεμάχῳ περικαλλέα τεύχε᾽ ἀείρας
with indeed Telemachus very-fair arms lifting
ἐς θάλαμον κατέθηκε καὶ ἐκλήϊσεν ὀχῆας,
into the-storeroom he-laid(-them) and locked the-bolts
αὐτὰρ ὁ ἦν ἄλοχον πολυκερδείῃσιν ἄνωγε
but he his wife with-much-cunning bade
τόξον μνηστήρεσσι θέμεν πολιόν τε σίδηρον,
the-bow for-the-suitors to-set gray and iron
ἠμῖν αἰνομόροισιν ἀέθλια καὶ φόνου ἀρχήν.
for-us ill-fated as-contest and of-slaughter the-beginning
οὐδέ τις ἡμείων δύνατο κρατεροῖο βιοῖο
nor any of-us could of-the-mighty bow
νευρὴν ἐντανύσαι, πολλὸν δ᾽ ἐπιδευέες ἦμεν.
the-string stretch far and lacking we-were
ἀλλ᾽ ὅτε χεῖρας ἵκανεν Ὀδυσσῆος μέγα τόξον,
but when the-hands reached of-Odysseus the-great bow
ἔνθ᾽ ἡμεῖς μὲν πάντες ὁμοκλέομεν ἐπέεσσι
then we indeed all shouted with-words
τόξον μὴ δόμεναι, μηδ᾽ εἰ μάλα πολλ᾽ ἀγορεύοι·
the-bow not to-give not-even if very much he-should-speak
Τηλέμαχος δέ μιν οἷος ἐποτρύνων ἐκέλευσεν.
Telemachus and him alone urging bade
αὐτὰρ ὁ δέξατο χειρὶ πολύτλας δῖος Ὀδυσσεύς,
but he took in-hand much-enduring noble Odysseus
ῥηϊδίως δ᾽ ἐτάνυσσε βιόν, διὰ δ᾽ ἧκε σιδήρου,
easily and strung the-bow through and shot the-iron

στῆ δ᾽ ἄρ᾽ ἐπ᾽ οὐδὸν ἰών, ταχέας δ᾽ ἐκχεύατ᾽ ὀϊστοὺς
stood and then on the-threshold going swift and he-poured-out the-arrows
δεινὸν παπταίνων, βάλε δ᾽ Ἀντίνοον βασιλῆα.
terribly peering struck and Antinous the-king
αὐτὰρ ἔπειτ᾽ ἄλλοις ἐφίει βέλεα στονόεντα,
but then at-others he-sent shafts groan-causing
ἄντα τιτυσκόμενος· τοὶ δ᾽ ἀγχιστῖνοι ἔπιπτον.
straight aiming they and in-heaps fell
γνωτὸν δ᾽ ἦν ὅ ῥά τίς σφι θεῶν ἐπιτάρροθος ἦεν·
known and it-was that then some to-them of-the-gods helper was
αὐτίκα γὰρ κατὰ δώματ᾽ ἐπισπόμενοι μένεϊ σφῷ
at-once for through the-house following might their-own
κτεῖνον ἐπιστροφάδην, τῶν δὲ στόνος ὤρνυτ᾽ ἀεικὴς
they-killed turning-every-way of-them and a-groan rose hideous
κράτων τυπτομένων, δάπεδον δ᾽ ἅπαν αἵματι θῦεν.
heads being-struck the-floor and all with-blood seethed
ὣς ἡμεῖς, Ἀγάμεμνον, ἀπωλόμεθ᾽, ὧν ἔτι καὶ νῦν
so we Agamemnon perished whose still even now
σώματ᾽ ἀκηδέα κεῖται ἐνὶ μεγάροις Ὀδυσῆος·
bodies uncared-for lie in the-halls of-Odysseus
οὐ γάρ πω ἴσασι φίλοι κατὰ δώμαθ᾽ ἑκάστου,
not for yet know the-friends in the-houses of-each
οἵ κ᾽ ἀπονίψαντες μέλανα βρότον ἐξ ὠτειλέων
who — washing-off black gore from the-wounds
κατθέμενοι γοάοιεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων."
laying-out would-lament which for the-due is of-the-dead
Τὸν δ᾽ αὖτε ψυχὴ προσεφώνεεν Ἀτρεΐδαο·
Him and in-turn the-soul addressed of-the-son-of-Atreus
" Ὄλβιε Λαέρταο πάϊ, πολυμήχαν᾽ Ὀδυσσεῦ,
Blessed of-Laertes son of-many-devices Odysseus

ἦ ἄρα σὺν μεγάλῃ ἀρετῇ ἐκτήσω ἄκοιτιν.
truly then with great virtue you-won a-wife
ὡς ἀγαθαὶ φρένες ἦσαν ἀμύμονι Πηνελοπείῃ,
how good minds were to-blameless Penelope
κούρῃ Ἰκαρίου· ὡς εὖ μέμνητ' Ὀδυσῆος,
daughter of-Icarius how well she-remembered Odysseus
ἀνδρὸς κουριδίου· τῷ οἱ κλέος οὔ ποτ' ὀλεῖται
husband wedded therefore her fame not ever will-perish
ἥς ἀρετῆς, τεύξουσι δ' ἐπιχθονίοισιν ἀοιδὴν
of-her virtue will-make and for-earthly-men a-song
ἀθάνατοι χαρίεσσαν ἐχέφρονι Πηνελοπείῃ,
the-immortals gracious for-prudent Penelope
οὐχ ὡς Τυνδαρέου κούρη κακὰ μήσατο ἔργα,
not as of-Tyndareus the-daughter evil devised deeds
κουρίδιον κτείνασα πόσιν, στυγερὴ δέ τ' ἀοιδὴ
wedded killing husband hateful and — song
ἔσσετ' ἐπ' ἀνθρώπους, χαλεπὴν δέ τε φῆμιν ὀπάσσει
will-be among men harsh and — repute will-give
θηλυτέρῃσι γυναιξί, καὶ ἥ κ' εὐεργὸς ἔῃσιν."
to-female women even who — upright be
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
So they indeed such-things to each-other spoke
ἑσταότ' εἰν Ἀΐδαο δόμοις, ὑπὸ κεύθεσι γαίης·
standing in of-Hades the-house under the-depths of-the-earth

Odysseus and his men reach Laertes' farm, and sending the others in to prepare a meal, he finds his father alone in rags, digging around a plant. He weeps, but decides to test him first: the garden is well kept, he says, though its keeper is not. Claiming to have entertained Odysseus long ago, he asks whether this is Ithaca, and Laertes weeps and asks how long ago that was.

Οἱ δ' ἐπεὶ ἐκ πόλιος κατέβαν, τάχα δ' ἀγρὸν ἵκοντο
They and when from the-city went-down quickly and the-farm reached
καλὸν Λαέρταο τετυγμένον, ὅν ῥά ποτ' αὐτὸς
fair of-Laertes well-tilled which then once himself
Λαέρτης κτεάτισσεν, ἐπεὶ μάλα πόλλ' ἐμόγησεν.
Laertes acquired since very much he-toiled
ἔνθα οἱ οἶκος ἔην, περὶ δὲ κλίσιον θέε πάντη,
there his house was around and a-shed ran everywhere
ἐν τῷ σιτέσκοντο καὶ ἵζανον ἠδὲ ἴαυον
in which used-to-eat and sit and sleep
δμῶες ἀναγκαῖοι, τοί οἱ φίλα ἐργάζοντο.
the-servants bonded who for-him pleasing-things worked
ἐν δὲ γυνὴ Σικελὴ γρηῢς πέλεν, ἥ ῥα γέροντα
in and a-woman Sicilian old was who then the-old-man
ἐνδυκέως κομέεσκεν ἐπ' ἀγροῦ, νόσφι πόληος.
carefully tended on the-farm apart-from the-city
ἔνθ' Ὀδυσεὺς δμώεσσι καὶ υἱέϊ μῦθον ἔειπεν·
there Odysseus to-the-servants and son word spoke
"Ὑμεῖς μὲν νῦν ἔλθετ' ἐϋκτίμενον δόμον εἴσω,
You indeed now go well-built house into
δεῖπνον δ' αἶψα συῶν ἱερεύσατε ὅς τις ἄριστος·
for-dinner and quickly of-the-swine sacrifice who any best

αὐτὰρ ἐγὼ πατρὸς πειρήσομαι ἡμετέροιο,
but I father will-test our
αἴ κέ μ' ἐπιγνώῃ καὶ φράσσεται ὀφθαλμοῖσιν,
whether — me he-will-recognize and know with-eyes
ἦέ κεν ἀγνοιῇσι, πολὺν χρόνον ἀμφὶς ἐόντα."
or — fail-to-know long time apart being
Ὣς εἰπὼν δμώεσσιν ἀρήϊα τεύχε' ἔδωκεν.
So having-spoken to-the-servants warlike arms gave
οἱ μὲν ἔπειτα δόμονδε θοῶς κίον, αὐτὰρ Ὀδυσσεὺς
they indeed then to-the-house swiftly went but Odysseus
ἆσσον ἴεν πολυκάρπου ἀλωῆς πειρητίζων.
nearer went of-the-fruitful orchard trying
οὐδ' εὗρεν Δολίον, μέγαν ὄρχατον ἐσκαταβαίνων,
nor found Dolius great garden going-down-into
οὐδέ τινα δμώων οὐδ' υἱῶν· ἀλλ' ἄρα τοί γε
nor any of-the-servants nor of-the-sons but then they indeed
αἱμασιὰς λέξοντες ἀλωῆς ἔμμεναι ἕρκος
stones-for-walls to-gather of-the-orchard to-be a-fence
ᾤχοντ', αὐτὰρ ὁ τοῖσι γέρων ὁδὸν ἡγεμόνευε.
had-gone but the for-them old-man the-way led
τὸν δ' οἷον πατέρ' εὗρεν ἐϋκτιμένῃ ἐν ἀλωῇ,
the and alone father found well-tilled in orchard
λιστρεύοντα φυτόν· ῥυπόωντα δὲ ἕστο χιτῶνα
hoeing-around a-plant dirty and he-wore tunic
ῥαπτὸν ἀεικέλιον, περὶ δὲ κνήμῃσι βοείας
patched shabby around and shins oxhide
κνημῖδας ῥαπτὰς δέδετο, γραπτῦς ἀλεείνων,
leggings patched he-had-bound scratches avoiding

χειρῖδάς τ᾽ ἐπὶ χερσὶ βάτων ἕνεκ᾽· αὐτὰρ ὕπερθεν
gloves and on hands of-the-brambles because-of but above
αἰγείην κυνέην κεφαλῇ ἔχε, πένθος ἀέξων.
goatskin cap on-head he-had grief increasing
τὸν δ᾽ ὡς οὖν ἐνόησε πολύτλας δῖος Ὀδυσσεὺς
him and when then saw much-enduring noble Odysseus
γήραϊ τειρόμενον, μέγα δὲ φρεσὶ πένθος ἔχοντα,
by-old-age worn great and in-mind sorrow having
στὰς ἄρ᾽ ὑπὸ βλωθρὴν ὄγχνην κατὰ δάκρυον εἶβε.
standing then under tall pear-tree down tear shed
μερμήριξε δ᾽ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
pondered and then in mind and in heart
κύσσαι καὶ περιφῦναι ἑὸν πατέρ᾽, ἠδὲ ἕκαστα
to-kiss and to-embrace own father and each-thing
εἰπεῖν, ὡς ἔλθοι καὶ ἵκοιτ᾽ ἐς πατρίδα γαῖαν,
to-tell how he-had-come and reached to native land
ἦ πρῶτ᾽ ἐξερέοιτο ἕκαστά τε πειρήσαιτο.
or first should-question each-thing and test(-him)
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
thus and to-him thinking seemed more-profitable to-be
πρῶτον κερτομίοις ἐπέεσσιν πειρηθῆναι.
first with-mocking words to-test(-him)
τὰ φρονέων ἰθὺς κίεν αὐτοῦ δῖος Ὀδυσσεύς.
these-things thinking straight went to-him noble Odysseus
ἦ τοι ὁ μὲν κατέχων κεφαλὴν φυτὸν ἀμφελάχαινε·
truly indeed he indeed holding-down head a-plant was-digging-around
τὸν δὲ παριστάμενος προσεφώνεε φαίδιμος υἱός·
him and standing-by addressed glorious son

" Ὦ γέρον, οὐκ ἀδαημονίη σ' ἔχει ἀμφιπολεύειν
O old-man not lack-of-skill you holds to-tend
ὄρχατον, ἀλλ' εὖ τοι κομιδὴ ἔχει, οὐδέ τι πάμπαν,
the-garden but well your care holds nor at-all completely
οὐ φυτόν, οὐ συκέη, οὐκ ἄμπελος, οὐ μὲν ἐλαίη,
not plant not fig not vine not indeed olive
οὐκ ὄγχνη, οὐ πρασιή τοι ἄνευ κομιδῆς κατὰ κῆπον.
not pear not garden-bed your without care through the-garden
ἄλλο δέ τοι ἐρέω, σὺ δὲ μὴ χόλον ἔνθεο θυμῷ·
another-thing and to-you I-will-tell you and not anger put in-heart
αὐτόν σ' οὐκ ἀγαθὴ κομιδὴ ἔχει, ἀλλ' ἅμα γῆρας
yourself you not good care holds but at-the-same-time old-age
λυγρὸν ἔχεις αὐχμεῖς τε κακῶς καὶ ἀεικέα ἕσσαι.
grievous you-have are-squalid and badly and shabbily are-clothed
οὐ μὲν ἀεργίης γε ἄναξ ἕνεκ' οὔ σε κομίζει,
not indeed idleness indeed lord because-of not you cares-for
οὐδέ τί τοι δούλειον ἐπιπρέπει εἰσοράασθαι
nor at-all for-you slavish is-conspicuous to-look-at
εἶδος καὶ μέγεθος· βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικας.
in-form and stature to-a-king for man you-are-like
τοιούτῳ δὲ ἔοικας, ἐπεὶ λούσαιτο φάγοι τε,
to-such and you-are-like when he-has-bathed eaten and
εὕδέμεναι μαλακῶς· ἡ γὰρ δίκη ἐστὶ γερόντων.
to-sleep softly that for the-way is of-old-men
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
but come to-me this tell and truly recount
τεῦ δμῶς εἶς ἀνδρῶν; τεῦ δ' ὄρχατον ἀμφιπολεύεις;
whose servant are-you of-men whose and garden do-you-tend
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' ἐῢ εἰδῶ,
and to-me this tell truly so-that well I-may-know

εἰ ἐτεόν γ' Ἰθάκην τήνδ' ἱκόμεθ', ὥς μοι ἔειπεν
if truly indeed Ithaca this we-have-reached as to-me said
οὗτος ἀνὴρ νῦν δὴ ξυμβλήμενος ἐνθάδ' ἰόντι,
this man now indeed meeting(-me) here coming
οὔ τι μάλ' ἀρτίφρων, ἐπεὶ οὐ τόλμησεν ἕκαστα
not at-all very sensible since not he-dared each-thing
εἰπεῖν ἠδ' ἐπακοῦσαι ἐμὸν ἔπος, ὡς ἐρέεινον
to-tell and to-listen-to my word as I-asked
ἀμφὶ ξείνῳ ἐμῷ, ἤ που ζώει τε καὶ ἔστιν
about guest-friend my whether perhaps he-lives both and is
ἦ ἤδη τέθνηκε καὶ εἰν Ἀΐδαο δόμοισιν.
or already has-died and in of-Hades the-house
ἐκ γάρ τοι ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον·
out for to-you I-will-speak you and lay(-it)-up and me hear
ἄνδρα ποτ' ἐξείνισσα φίλῃ ἐνὶ πατρίδι γαίῃ
a-man once I-entertained dear in native land
ἡμέτερόνδ' ἐλθόντα, καὶ οὔ πω τις βροτὸς ἄλλος
to-our-house coming and not yet any mortal other
ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα·
of-strangers far-off dearer my has-come-to house
εὔχετο δ' ἐξ Ἰθάκης γένος ἔμμεναι, αὐτὰρ ἔφασκε
he-declared and from Ithaca by-race to-be but he-said
Λαέρτην Ἀρκεισιάδην πατέρ' ἔμμεναι αὐτῷ.
Laertes son-of-Arceisius father to-be to-him
τὸν μὲν ἐγὼ πρὸς δώματ' ἄγων εὖ ἐξείνισσα,
him indeed I to the-house leading well entertained
ἐνδυκέως φιλέων, πολλῶν κατὰ οἶκον ἐόντων,
kindly welcoming many through the-house being
καί οἱ δῶρα πόρον ξεινήϊα, οἷα ἐῴκει.
and to-him gifts I-gave guest-gifts such-as was-fitting

χρυσοῦ μέν οἱ δῶκ᾽ εὐεργέος ἑπτὰ τάλαντα,
of-gold indeed to-him I-gave well-wrought seven talents
δῶκα δέ οἱ κρητῆρα πανάργυρον ἀνθεμόεντα,
I-gave and to-him a-mixing-bowl all-silver flowered
δώδεκα δ᾽ ἁπλοΐδας χλαίνας, τόσσους δὲ τάπητας,
twelve and single cloaks as-many and rugs
τόσσα δὲ φάρεα καλά, τόσους δ᾽ ἐπὶ τοῖσι χιτῶνας,
as-many and mantles fair as-many and in-addition-to them tunics
χωρὶς δ᾽ αὖτε γυναῖκας, ἀμύμονα ἔργα ἰδυίας,
apart and in-turn women blameless works knowing
τέσσαρας εἰδαλίμας, ἃς ἤθελεν αὐτὸς ἑλέσθαι.”
four comely whom wished himself to-choose
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα πατὴρ κατὰ δάκρυον εἴβων·
Him and answered then father down tear shedding
“Ξεῖν᾽, ἦ τοι μὲν γαῖαν ἱκάνεις, ἣν ἐρεείνεις,
Stranger truly indeed indeed the-land you-have-reached which you-ask-about
ὑβρισταὶ δ᾽ αὐτὴν καὶ ἀτάσθαλοι ἄνδρες ἔχουσιν·
insolent and it and reckless men hold
δῶρα δ᾽ ἐτώσια ταῦτα χαρίζεο, μυρί᾽ ὀπάζων·
gifts and in-vain these you-bestowed countless giving
εἰ γάρ μιν ζωόν γ᾽ ἐκίχεις Ἰθάκης ἐνὶ δήμῳ,
if for him alive indeed you-had-found of-Ithaca in the-land
τῷ κέν σ᾽ εὖ δώροισιν ἀμειψάμενος ἀπέπεμψε
then — you well with-gifts repaying he-would-have-sent-off
καὶ ξενίῃ ἀγαθῇ· ἡ γὰρ θέμις, ὅς τις ὑπάρξῃ.
and with-hospitality good that for the-right who any begins(-it)
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
but come to-me this tell and truly recount

πόστον δὴ ἔτος ἐστίν, ὅτε ξείνισσας ἐκεῖνον
what-number indeed year is-it since you-entertained him
σὸν ξεῖνον δύστηνον, ἐμὸν παῖδ', εἴ ποτ' ἔην γε,
your guest wretched my son if ever he-was indeed
δύσμορον; ὅν που τῆλε φίλων καὶ πατρίδος αἴης
ill-fated whom somewhere far from-friends and native land
ἠέ που ἐν πόντῳ φάγον ἰχθύες, ἢ ἐπὶ χέρσου
or perhaps in the-sea ate fishes or on land
θηρσὶ καὶ οἰωνοῖσιν ἕλωρ γένετ'· οὐδέ ἑ μήτηρ
to-beasts and birds a-prey he-became nor him mother
κλαῦσε περιστείλασα πατήρ θ', οἵ μιν τεκόμεσθα·
wept laying-out father and who him we-begot
οὐδ' ἄλοχος πολύδωρος, ἐχέφρων Πηνελόπεια,
nor wife richly-dowered prudent Penelope
κώκυσ' ἐν λεχέεσσιν ἑὸν πόσιν, ὡς ἐπεώκει,
wailed on the-bier own husband as was-fitting
ὀφθαλμοὺς καθελοῦσα· τὸ γὰρ γέρας ἐστὶ θανόντων.
the-eyes closing that for the-due is of-the-dead
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ·
and to-me this tell truly so-that well I-may-know
τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
who whence are-you of-men where your city and parents
ποῦ δὲ νηῦς ἔστηκε θοή, ἥ σ' ἤγαγε δεῦρο
where and the-ship is-moored swift which you brought hither
ἀντιθέους θ' ἑτάρους; ἦ ἔμπορος εἰλήλουθας
godlike and comrades or a-passenger have-you-come
νηὸς ἐπ' ἀλλοτρίης, οἱ δ' ἐκβήσαντες ἔβησαν;"
ship on another's they and putting(-you)-ashore have-gone

Odysseus says he is Eperitus from Alybas and saw Odysseus off five years ago with good omens. Laertes pours dust on his head, and Odysseus embraces him and names himself. As proof he shows the scar and names the trees Laertes gave him as a child. Laertes faints, then thanks the gods but fears the Ithacans' revenge. At the farmhouse Athena makes Laertes stronger, and Dolius and his sons greet their master.

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"Τοιγὰρ ἐγώ τοι πάντα μάλ' ἀτρεκέως καταλέξω.
Therefore I to-you all very truly will-recount
εἰμὶ μὲν ἐξ Ἀλύβαντος, ὅθι κλυτὰ δώματα ναίω,
I-am indeed from Alybas where famous house I-dwell-in
υἱὸς Ἀφείδαντος Πολυπημονίδαο ἄνακτος·
son of-Apheidas son-of-Polypemon lord
αὐτὰρ ἐμοί γ' ὄνομ' ἐστὶν Ἐπήριτος· ἀλλά με δαίμων
but my indeed name is Eperitus but me a-god
πλάγξ' ἀπὸ Σικανίης δεῦρ' ἐλθέμεν οὐκ ἐθέλοντα·
drove-astray from Sicania hither to-come not wishing
νηῦς δέ μοι ἥδ' ἔστηκεν ἐπ' ἀγροῦ νόσφι πόληος.
the-ship and my this stands in the-country apart-from the-city
αὐτὰρ Ὀδυσσῆϊ τόδε δὴ πέμπτον ἔτος ἐστίν,
but for-Odysseus this indeed fifth year is
ἐξ οὗ κεῖθεν ἔβη καὶ ἐμῆς ἀπελήλυθε πάτρης,
from when thence he-went and from-my has-gone native-land
δύσμορος· ἦ τέ οἱ ἐσθλοὶ ἔσαν ὄρνιθες ἰόντι,
ill-fated truly — for-him good were birds going
δεξιοί, οἷς χαίρων μὲν ἐγὼν ἀπέπεμπον ἐκεῖνον,
on-the-right at-which rejoicing indeed I sent-off him

χαῖρε δὲ κεῖνος ἰών· θυμὸς δ' ἔτι νῶϊν ἐώλπει
rejoiced and he going heart and still of-us-two hoped
μίξεσθαι ξενίῃ ἠδ' ἀγλαὰ δῶρα διδώσειν."
to-meet in-hospitality and glorious gifts to-give
Ὣς φάτο, τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·
So he-spoke him and of-grief a-cloud covered black
ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν
with-both and hands taking dust sooty
χεύατο κὰκ κεφαλῆς πολιῆς, ἀδινὰ στεναχίζων.
he-poured down head gray thickly groaning
τοῦ δ' ὠρίνετο θυμός, ἀνὰ ῥῖνας δέ οἱ ἤδη
his and was-stirred heart up nostrils and for-him already
δριμὺ μένος προὔτυψε φίλον πατέρ' εἰσορόωντι.
sharp force struck-forward dear father looking-at
κύσσε δέ μιν περιφὺς ἐπιάλμενος, ἠδὲ προσηύδα·
kissed and him embracing leaping-on and addressed
"Κεῖνος μέν τοι ὅδ' αὐτὸς ἐγώ, πάτερ, ὃν σὺ μεταλλᾷς,
That-one indeed you-know here himself I father whom you ask-about
ἦλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
I-have-come in-the-twentieth year to native land
ἀλλ' ἴσχεο κλαυθμοῖο γόοιό τε δακρυόεντος.
but hold-back from-weeping lament and tearful
ἐκ γάρ τοι ἐρέω· μάλα δὲ χρὴ σπευδέμεν ἔμπης·
out for to-you I-will-speak very and it-is-needful to-hasten nonetheless
μνηστῆρας κατέπεφνον ἐν ἡμετέροισι δόμοισι,
the-suitors I-have-killed in our house
λώβην τινύμενος θυμαλγέα καὶ κακὰ ἔργα."
outrage avenging heart-grieving and evil deeds

Τὸν δ' αὖ Λαέρτης ἀπαμείβετο φώνησέν τε·
Him and in-turn Laertes answered spoke and
"Εἰ μὲν δὴ Ὀδυσεύς γε ἐμὸς πάϊς ἐνθάδ' ἱκάνεις,
If indeed truly Odysseus indeed my son here you-come
σῆμά τί μοι νῦν εἰπὲ ἀριφραδές, ὄφρα πεποίθω."
a-sign some to-me now tell clear so-that I-may-trust
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"Οὐλὴν μὲν πρῶτον τήνδε φράσαι ὀφθαλμοῖσι,
The-scar indeed first this consider with-eyes
τὴν ἐν Παρνησῷ μ' ἔλασεν σῦς λευκῷ ὀδόντι
which on Parnassus me struck a-boar with-white tusk
οἰχόμενον· σὺ δέ με προΐεις καὶ πότνια μήτηρ
going you and me sent and queenly mother
ἐς πατέρ' Αὐτόλυκον μητρὸς φίλον, ὄφρ' ἂν ἑλοίμην
to father Autolycus of-mother dear so-that — I-might-take
δῶρα, τὰ δεῦρο μολών μοι ὑπέσχετο καὶ κατένευσεν.
the-gifts which hither coming to-me he-promised and assented
εἰ δ' ἄγε τοι καὶ δένδρε' ἐϋκτιμένην κατ' ἀλωὴν
if and come to-you also the-trees well-tilled through orchard
εἴπω, ἅ μοί ποτ' ἔδωκας, ἐγὼ δ' ᾔτεόν σε ἕκαστα
let-me-tell which to-me once you-gave I and asked you each
παιδνὸς ἐών, κατὰ κῆπον ἐπισπόμενος· διὰ δ' αὐτῶν
a-child being through the-garden following through and them
ἱκνεύμεσθα, σὺ δ' ὠνόμασας καὶ ἔειπες ἕκαστα.
we-went you and named and told each
ὄγχνας μοι δῶκας τρισκαίδεκα καὶ δέκα μηλέας,
pear-trees to-me you-gave thirteen and ten apple-trees

συκέας τεσσαράκοντ'· ὄρχους δέ μοι ὧδ' ὀνόμηνας
fig-trees forty rows and to-me thus you-named
δώσειν πεντήκοντα, διατρύγιος δὲ ἕκαστος
to-give fifty ripening-in-turn and each
ἦην — ἔνθα δ' ἀνὰ σταφυλαὶ παντοῖαι ἔασιν —
was there and throughout clusters of-all-kinds are
ὁππότε δὴ Διὸς ὧραι ἐπιβρίσειαν ὕπερθεν."
whenever indeed of-Zeus the-seasons may-weigh-down from-above
Ὣς φάτο, τοῦ δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ,
So he-spoke his and there were-loosed the-knees and dear heart
σήματ' ἀναγνόντος τά οἱ ἔμπεδα πέφραδ' Ὀδυσσεύς.
the-tokens recognizing which to-him sure showed Odysseus
ἀμφὶ δὲ παιδὶ φίλῳ βάλε πήχεε· τὸν δὲ ποτὶ οἷ
around and son dear threw arms him and to himself
εἶλεν ἀποψύχοντα πολύτλας δῖος Ὀδυσσεύς.
held fainting much-enduring noble Odysseus
αὐτὰρ ἐπεί ῥ' ἄμπνυτο καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
but when then he-regained-breath and into mind spirit was-gathered
ἐξαῦτις μύθοισιν ἀμειβόμενος προσέειπε·
again with-words answering addressed(-him)
"Ζεῦ πάτερ, ἦ ῥα ἔτ' ἔστε θεοὶ κατὰ μακρὸν Ὄλυμπον,
Zeus father truly then still you-are gods on high Olympus
εἰ ἐτεὸν μνηστῆρες ἀτάσθαλον ὕβριν ἔτισαν.
if truly the-suitors reckless insolence have-paid-for
νῦν δ' αἰνῶς δείδοικα κατὰ φρένα μὴ τάχα πάντες
now but terribly I-fear in mind lest soon all
ἐνθάδ' ἐπέλθωσιν Ἰθακήσιοι, ἀγγελίας δὲ
here come the-Ithacans messages and
πάντη ἐποτρύνωσι Κεφαλλήνων πολίεσσι."
everywhere send of-the-Cephallenians to-the-cities

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"Θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
Take-heart not to-you these-things in mind your let-be-of-concern
ἀλλ' ἴομεν προτὶ οἶκον, ὃς ὀρχάτου ἐγγύθι κεῖται·
but let-us-go to the-house which the-garden near lies
ἔνθα δὲ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην
there and Telemachus and the-cowherd and the-swineherd
προὔπεμψ', ὡς ἂν δεῖπνον ἐφοπλίσσωσι τάχιστα." 360
I-sent-ahead so-that — dinner they-may-make-ready most-quickly
Ὣς ἄρα φωνήσαντε βάτην πρὸς δώματα καλά.
So then having-spoken they-went to house fair
οἱ δ' ὅτε δή ῥ' ἵκοντο δόμους εὖ ναιετάοντας,
they and when indeed then they-reached the-house well dwelt-in
εὗρον Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην
they-found Telemachus and the-cowherd and the-swineherd
ταμνομένους κρέα πολλὰ κερωντάς τ' αἴθοπα οἶνον.
cutting meat much mixing and sparkling wine
Τόφρα δὲ Λαέρτην μεγαλήτορα ᾧ ἐνὶ οἴκῳ 365
Meanwhile and Laertes great-hearted his-own in house
ἀμφίπολος Σικελὴ λοῦσεν καὶ χρῖσεν ἐλαίῳ,
the-handmaid Sicilian bathed and anointed with-oil
ἀμφὶ δ' ἄρα χλαῖναν καλὴν βάλεν· αὐτὰρ Ἀθήνη
around and then a-cloak fair cast but Athena
ἄγχι παρισταμένη μέλε' ἤλδανε ποιμένι λαῶν,
near standing-by limbs made-greater for-the-shepherd of-the-people
μείζονα δ' ἠὲ πάρος καὶ πάσσονα θῆκεν ἰδέσθαι.
taller and than before and stouter made to-see
ἐκ δ' ἀσαμίνθου βῆ· θαύμαζε δέ μιν φίλος υἱός, 370
out and from-the-bathtub went marveled and at-him dear son

ὡς ἴδεν ἀθανάτοισι θεοῖς ἐναλίγκιον ἄντην·
when he-saw(-him) to-immortal gods like to-look-on
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
"Ὦ πάτερ, ἦ μάλα τίς σε θεῶν αἰειγενετάων
O father truly very some you of-the-gods ever-living
εἶδός τε μέγεθός τε ἀμείνονα θῆκεν ἰδέσθαι."
in-form both stature and better made to-see
Τὸν δ' αὖ Λαέρτης πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Laertes prudent in-reply spoke
"Αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
If-only for Zeus both father and Athena and Apollo
οἷος Νήρικον εἷλον, ἐϋκτίμενον πτολίεθρον,
such-as Nericus I-took well-built citadel
ἀκτὴν ἠπείροιο, Κεφαλλήνεσσιν ἀνάσσων,
the-headland of-the-mainland over-the-Cephallenians ruling
τοῖος ἐών τοι χθιζὸς ἐν ἡμετέροισι δόμοισιν,
such being you-know yesterday in our house
τεύχε' ἔχων ὤμοισιν, ἐφεστάμεναι καὶ ἀμύνειν
arms having on-shoulders to-have-stood-by and to-ward-off
ἄνδρας μνηστῆρας· τῷ κε σφέων γούνατ' ἔλυσα
the-men suitors then — of-them knees I-would-have-loosed
πολλῶν ἐν μεγάροισι, σὺ δὲ φρένας ἔνδον ἐγήθεις."
of-many in the-halls you and in-mind within would-have-rejoiced
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
So they indeed such-things to each-other spoke
οἱ δ' ἐπεὶ οὖν παύσαντο πόνου τετύκοντό τε δαῖτα,
they and when then ceased from-toil prepared and the-feast
ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε·
in-a-row sat-down on armchairs both chairs and

ἔνθ᾽ οἱ μὲν δείπνῳ ἐπεχείρεον, ἀγχίμολον δὲ
there they indeed the-dinner were-setting-hands-to near and
ἦλθ᾽ ὁ γέρων Δολίος, σὺν δ᾽ υἱεῖς τοῖο γέροντος,
came the old-man Dolius with and sons of-the old-man
ἐξ ἔργων μογέοντες, ἐπεὶ προμολοῦσα κάλεσσεν
from work toiling since coming-forth called
μήτηρ γρηῢς Σικελή, ἥ σφεας τρέφε καί ῥα γέροντα
the-mother old Sicilian who them nursed and then the-old-man
ἐνδυκέως κομέεσκεν, ἐπεὶ κατὰ γῆρας ἔμαρψεν.
carefully tended since down old-age had-seized
οἱ δ᾽ ὡς οὖν Ὀδυσῆα ἴδον φράσσαντό τε θυμῷ,
they and when then Odysseus saw recognized and in-heart
ἔσταν ἐνὶ μεγάροισι τεθηπότες· αὐτὰρ Ὀδυσσεὺς
stood in the-halls astonished but Odysseus
μειλιχίοις ἐπέεσσι καθαπτόμενος προσέειπεν·
with-gentle words addressing spoke-to(-him)
“ Ὦ γέρον, ἵζ᾽ ἐπὶ δεῖπνον, ἀπεκλελάθεσθε δὲ θάμβευς·
O old-man sit to dinner forget and (your)-amazement
δηρὸν γὰρ σίτῳ ἐπιχειρήσειν μεμαῶτες
long for the-food to-put-hand-to eager
μίμνομεν ἐν μεγάροις, ὑμέας ποτιδέγμενοι αἰεί.”
we-wait in the-halls you expecting always
Ὣς ἄρ᾽ ἔφη, Δολίος δ᾽ ἰθὺς κίε χεῖρε πετάσσας
So then he-spoke Dolius and straight went hands spreading
ἀμφοτέρας, Ὀδυσεῦς δὲ λαβὼν κύσε χεῖρ᾽ ἐπὶ καρπῷ,
both of-Odysseus and taking kissed the-hand on the-wrist
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed

“ Ὦ φίλ᾽, ἐπεὶ νόστησας ἐελδομένοισι μάλ᾽ ἡμῖν
O friend since you-have-returned to-longing very us
οὐδ᾽ ἔτ᾽ ὀϊομένοισι, θεοὶ δέ σ᾽ ἀνήγαγον αὐτοί,
nor longer expecting the-gods and you have-led-back themselves
οὖλέ τε καὶ μάλα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν.
be-well both and very hail the-gods and to-you happiness may-grant
καί μοι τοῦτ᾽ ἀγόρευσον ἐτήτυμον, ὄφρ᾽ ἐῢ εἰδῶ,
and to-me this tell truly so-that well I-may-know
ἦ ἤδη σάφα οἶδε περίφρων Πηνελόπεια
whether already clearly knows wise Penelope
νοστήσαντά σε δεῦρ᾽, ἦ ἄγγελον ὀτρύνωμεν.”
returned you hither or a-messenger we-should-send
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
“ Ὦ γέρον, ἤδη οἶδε· τί σε χρὴ ταῦτα πένεσθαι;”
O old-man already she-knows why you must these-things to-busy-yourself-about
Ὣς φάθ᾽, ὁ δ᾽ αὖτις ἄρ᾽ ἕζετ᾽ ἐϋξέστου ἐπὶ δίφρου.
So he-spoke he and back then sat well-polished on stool
ὣς δ᾽ αὖτως παῖδες Δολίου κλυτὸν ἀμφ᾽ Ὀδυσῆα
so and likewise sons of-Dolius famous about Odysseus
δεικανόωντ᾽ ἐπέεσσι καὶ ἐν χείρεσσι φύοντο,
greeted with-words and in hands clung
ἑξείης δ᾽ ἕζοντο παραὶ Δολίον, πατέρα σφόν.
in-a-row and they-sat beside Dolius father their

Rumor spreads through the city, and the families bury the dead. In the assembly Eupeithes, Antinous' father, calls for vengeance. Medon tells them a god fought beside Odysseus, and Halitherses blames their own folly, but more than half follow Eupeithes and arm. Athena asks Zeus what he intends, and he answers that since Odysseus has his revenge, both sides should swear oaths and forget the killing.

Ὣς οἱ μὲν περὶ δεῖπνον ἐνὶ μεγάροισι πένοντο·
So they indeed about dinner in the-halls were-busy
Ὄσσα δ' ἄρ' ἄγγελος ὦκα κατὰ πτόλιν ᾤχετο πάντη,
Rumor and then the-messenger quickly through the-city went everywhere
μνηστήρων στυγερὸν θάνατον καὶ κῆρ' ἐνέπουσα.
of-the-suitors hateful death and doom telling
οἱ δ' ἄρ' ὁμῶς ἀΐοντες ἐφοίτων ἄλλοθεν ἄλλος
they and then alike hearing came-thronging from-elsewhere other
μυχμῷ τε στοναχῇ τε δόμων προπάροιθ' Ὀδυσῆος,
with-moaning both groaning and the-house before of-Odysseus
ἐκ δὲ νέκυς οἴκων φόρεον καὶ θάπτον ἕκαστοι,
out and the-dead from-the-houses they-carried and buried each
τοὺς δ' ἐξ ἀλλάων πολίων οἰκόνδε ἕκαστον
those and from other cities home each
πέμπον ἄγειν ἁλιεῦσι θοῇς ἐπὶ νηυσὶ τιθέντες·
they-sent to-bring to-fishermen swift on ships putting(-them)
αὐτοὶ δ' εἰς ἀγορὴν κίον ἀθρόοι, ἀχνύμενοι κῆρ.
themselves and to the-assembly went together grieving at-heart
αὐτὰρ ἐπεί ῥ' ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο,
but when then they-were-gathered assembled and had-become
τοῖσιν δ' Εὐπείθης ἀνά θ' ἵστατο καὶ μετέειπε·
to-them and Eupeithes up — stood and spoke-among(-them)

παιδὸς γάρ οἱ ἄλαστον ἐνὶ φρεσὶ πένθος ἔκειτο,
of-the-son for in-him unforgettable in mind grief lay
Ἀντινόου, τὸν πρῶτον ἐνήρατο δῖος Ὀδυσσεύς·
of-Antinous whom first slew noble Odysseus
τοῦ ὅ γε δάκρυ χέων ἀγορήσατο καὶ μετέειπεν·
for-him he indeed tear shedding addressed-the-assembly and spoke-among(-them)
“ Ὦ φίλοι, ἦ μέγα ἔργον ἀνὴρ ὅδ’ ἐμήσατ’ Ἀχαιούς·
O friends truly a-great deed man this devised against-the-Achaeans
τοὺς μὲν σὺν νήεσσιν ἄγων πολέας τε καὶ ἐσθλοὺς
some indeed with ships leading many both and noble
ὤλεσε μὲν νῆας γλαφυράς, ἀπὸ δ’ ὤλεσε λαούς·
he-lost indeed the-ships hollow away and lost the-men
τοὺς δ’ ἐλθὼν ἔκτεινε Κεφαλλήνων ὄχ’ ἀρίστους,
others and coming he-killed of-the-Cephallenians by-far best
ἀλλ’ ἄγετε, πρὶν τοῦτον ἢ ἐς Πύλον ὦκα ἱκέσθαι
but come before this-man either to Pylos quickly to-reach
ἢ καὶ ἐς Ἤλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί,
or also to Elis bright where rule the-Epeians
ἴομεν· ἦ καὶ ἔπειτα κατηφέες ἐσσόμεθ’ αἰεί·
let-us-go truly also hereafter downcast we-shall-be always
λώβη γὰρ τάδε γ’ ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι,
a-disgrace for these-things indeed are even to-those-to-come to-learn
εἰ δὴ μὴ παίδων τε κασιγνήτων τε φονῆας
if indeed not of-sons both brothers and the-slayers
τισόμεθ’. οὐκ ἂν ἐμοί γε μετὰ φρεσὶν ἡδὺ γένοιτο
we-punish not — for-me indeed in mind sweet it-would-be
ζωέμεν, ἀλλὰ τάχιστα θανὼν φθιμένοισι μετείην.
to-live but most-quickly dying among-the-dead may-I-be
ἀλλ’ ἴομεν, μὴ φθέωσι περαιωθέντες ἐκεῖνοι.”
but let-us-go lest they-forestall(-us) crossing-over those

Ὣς φάτο δάκρυ χέων, οἶκτος δ' ἕλε πάντας Ἀχαιούς.
So he-spoke tear shedding pity and seized all Achaeans
ἀγχίμολον δέ σφ' ἦλθε Μέδων καὶ θεῖος ἀοιδὸς
near and to-them came Medon and the-divine minstrel
ἐκ μεγάρων Ὀδυσῆος, ἐπεί σφεας ὕπνος ἀνῆκεν,
from the-halls of-Odysseus since them sleep released
ἔσταν δ' ἐν μέσσοισι· τάφος δ' ἕλεν ἄνδρα ἕκαστον.
stood and in the-middle amazement and seized man each
τοῖσι δὲ καὶ μετέειπε Μέδων πεπνυμένα εἰδώς·
to-them and also spoke-among Medon prudent-things knowing
"Κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι· οὐ γὰρ Ὀδυσσεὺς
Hear indeed now me Ithacans not for Odysseus
ἀθανάτων ἀέκητι θεῶν τάδ' ἐμήσατο ἔργα·
of-immortal against-will of-gods these devised deeds
αὐτὸς ἐγὼν εἶδον θεὸν ἄμβροτον, ὅς ῥ' Ὀδυσῆϊ
myself I saw a-god immortal who then by-Odysseus
ἐγγύθεν ἑστήκει καὶ Μέντορι πάντα ἐώκει.
near stood and to-Mentor in-all was-like
ἀθάνατος δὲ θεὸς τοτὲ μὲν προπάροιθ' Ὀδυσῆος
immortal and god at-one-time indeed in-front of-Odysseus
φαίνετο θαρσύνων, τοτὲ δὲ μνηστῆρας ὀρίνων
appeared encouraging at-another and the-suitors stirring-up
θῦνε κατὰ μέγαρον· τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον."
rushed through the-hall they and in-heaps fell

Ὣς φάτο, τοὺς δ' ἄρα πάντας ὑπὸ χλωρὸν δέος ἧρει.
So he-spoke them and then all beneath pale fear seized
τοῖσι δὲ καὶ μετέειπε γέρων ἥρως Ἀλιθέρσης
to-them and also spoke-among old hero Halitherses
Μαστορίδης· ὁ γὰρ οἷος ὅρα πρόσσω καὶ ὀπίσσω·
son-of-Mastor he for alone saw forward and backward
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπε·
he them with-good-intent addressed-the-assembly and spoke-among(-them)
"Κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι, ὅττι κεν εἴπω·
Hear indeed now me Ithacans whatever — I-say
ὑμετέρῃ κακότητι, φίλοι, τάδε ἔργα γένοντο·
through-your wickedness friends these deeds have-come-about
οὐ γὰρ ἐμοὶ πείθεσθ', οὐ Μέντορι ποιμένι λαῶν,
not for me you-obeyed nor Mentor shepherd of-the-people
ὑμετέρους παῖδας καταπαυέμεν ἀφροσυνάων,
your sons to-stop from-follies
οἳ μέγα ἔργον ἔρεξαν ἀτασθαλίῃσι κακῇσι,
who a-great deed did in-recklessness evil
κτήματα κείροντες καὶ ἀτιμάζοντες ἄκοιτιν
possessions wasting and dishonoring the-wife
ἀνδρὸς ἀριστῆος· τὸν δ' οὐκέτι φάντο νέεσθαι.
of-a-man the-best him and no-longer they-said to-return
καὶ νῦν ὧδε γένοιτο. πίθεσθέ μοι ὡς ἀγορεύω·
and now thus may-it-be obey me as I-say
μὴ ἴομεν, μή πού τις ἐπίσπαστον κακὸν εὕρῃ."
not let-us-go lest somehow anyone self-drawn evil find
Ὣς ἔφαθ', οἱ δ' ἄρ' ἀνήϊξαν μεγάλῳ ἀλαλητῷ
So he-spoke they and then sprang-up with-great shouting
ἡμίσεων πλείους· τοὶ δ' ἀθρόοι αὐτόθι μίμνον·
than-half more the-others and together right-there stayed

οὐ γάρ σφιν ἅδε μῦθος ἐνὶ φρεσίν, ἀλλ' Εὐπείθει
not for to-them pleased the-speech in mind but Eupeithes
πείθοντ'· αἶψα δ' ἔπειτ' ἐπὶ τεύχεα ἐσσεύοντο.
they-obeyed quickly and then to arms rushed
αὐτὰρ ἐπεί ῥ' ἕσσαντο περὶ χροΐ νώροπα χαλκόν,
but when then they-had-put-on about skin gleaming bronze
ἀθρόοι ἠγερέθοντο πρὸ ἄστεος εὐρυχόροιο.
together gathered before the-town of-wide-dancing-floors
τοῖσιν δ' Εὐπείθης ἡγήσατο νηπιέῃσι·
them and Eupeithes led in-folly
φῇ δ' ὅ γε τίσεσθαι παιδὸς φόνον, οὐδ' ἄρ' ἔμελλεν
said and he indeed to-avenge of-the-son the-killing nor then was-he-to
ἂψ ἀπονοστήσειν, ἀλλ' αὐτοῦ πότμον ἐφέψειν.
back to-return but there fate to-meet

Αὐτὰρ Ἀθηναίη Ζῆνα Κρονίωνα προσηύδα·
But Athena Zeus son-of-Cronus addressed
"Ὦ πάτερ ἡμέτερε, Κρονίδη, ὔπατε κρειόντων,
O father our son-of-Cronus highest of-rulers
εἰπέ μοι εἰρομένῃ, τί νύ τοι νόος ἔνδοθι κεύθει;
tell me asking what now your mind within hides
ἦ προτέρω πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνὴν
whether further war both evil and strife dread
τεύξεις, ἦ φιλότητα μετ' ἀμφοτέροισι τίθησθα;"
you-will-make or friendship between both you-set

Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Her and answering addressed cloud-gatherer Zeus
"Τέκνον ἐμόν, τί με ταῦτα διείρεαι ἠδὲ μεταλλᾷς;
Child my why me these-things do-you-ask and inquire
οὐ γὰρ δὴ τοῦτον μὲν ἐβούλευσας νόον αὐτή,
not for indeed this indeed devised plan yourself

ὡς ἦ τοι κείνους Ὀδυσεὺς ἀποτίσεται ἐλθών;
that truly indeed them Odysseus will-take-vengeance-on coming
ἔρξον ὅπως ἐθέλεις· ἐρέω τέ τοι ὡς ἐπέοικεν.
act as you-wish I-will-tell and to-you as is-fitting
ἐπεὶ δὴ μνηστῆρας ἐτίσατο δῖος Ὀδυσσεύς,
since indeed the-suitors has-punished noble Odysseus
ὅρκια πιστὰ ταμόντες ὁ μὲν βασιλευέτω αἰεί,
oaths faithful having-cut he indeed let-him-be-king always
ἡμεῖς δ' αὖ παίδων τε κασιγνήτων τε φόνοιο
we and in-turn of-sons both brothers and of-the-killing
ἔκλησιν θέωμεν· τοὶ δ' ἀλλήλους φιλεόντων
a-forgetting let-us-make they and each-other let-them-love
ὡς τὸ πάρος, πλοῦτος δὲ καὶ εἰρήνη ἅλις ἔστω."
as the before wealth and and peace in-plenty let-there-be
Ὣς εἰπὼν ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην,
So having-spoken he-urged already eager Athena
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων αἶξασα.
went and down of-Olympus from-the-peaks darting

Odysseus, Telemachus, Laertes, and the men of the farm arm, and Athena comes as Mentor. Laertes rejoices to see his son and grandson vie in valor, and, inspired by Athena, kills Eupeithes with a spear. Odysseus and Telemachus fall on the front ranks until Athena shouts to the Ithacans to stop, and they flee. Odysseus swoops after them, but Zeus casts a thunderbolt, Athena bids him stop, and he gladly obeys; in Mentor's form she sets oaths between the two sides.

Οἱ δ' ἐπεὶ οὖν σίτοιο μελίφρονος ἐξ ἔρον ἔντο,
They and when then of-food honey-sweet out desire they-put
τοῖς δ' ἄρα μύθων ἦρχε πολύτλας δῖος Ὀδυσσεύς·
to-them and then of-speeches began much-enduring noble Odysseus
"Ἐξελθών τις ἴδοι μὴ δὴ σχεδὸν ὧσι κιόντες."
Going-out someone may-see lest indeed near they-are coming
Ὣς ἔφατ'· ἐκ δ' υἱὸς Δολίου κίεν, ὡς ἐκέλευεν·
So he-spoke out and a-son of-Dolius went as he-bade
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰών, τοὺς δὲ σχεδὸν εἴσιδε πάντας·
stood and then on the-threshold going them and near saw all
αἶψα δ' Ὀδυσσῆα ἔπεα πτερόεντα προσηύδα·
quickly and Odysseus words winged addressed
"Οἵδε δὴ ἐγγὺς ἔασ'· ἀλλ' ὁπλιζώμεθα θᾶσσον."
Here indeed near they-are but let-us-arm quicker
Ὣς ἔφαθ', οἱ δ' ὤρνυντο καὶ ἐν τεύχεσσι δύοντο,
So he-spoke they and rose and into armor went
τέσσαρες ἀμφ' Ὀδυσῆ', ἓξ δ' υἱεῖς οἱ Δολίοιο·
four around Odysseus six and sons the of-Dolius
ἐν δ' ἄρα Λαέρτης Δολίος τ' ἐς τεύχε' ἔδυνον,
among and then Laertes Dolius and into armor went
καὶ πολιοί περ ἐόντες, ἀναγκαῖοι πολεμισταί.
even gray though being by-necessity warriors

αὐτὰρ ἐπεί ῥ᾽ ἕσσαντο περὶ χροΐ νώροπα χαλκόν,
but when then they-had-put-on about skin gleaming bronze
ὤϊξάν ῥα θύρας, ἐκ δ᾽ ἤϊον, ἦρχε δ᾽ Ὀδυσσεύς.
opened then the-doors out and went led and Odysseus
Τοῖσι δ᾽ ἐπ᾽ ἀγχίμολον θυγάτηρ Διὸς ἦλθεν Ἀθήνη
To-them and toward near daughter of-Zeus came Athena
Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν.
to-Mentor likened both in-form and also in-voice
τὴν μὲν ἰδὼν γήθησε πολύτλας δῖος Ὀδυσσεύς·
her indeed seeing rejoiced much-enduring noble Odysseus
αἶψα δὲ Τηλέμαχον προσεφώνεεν ὃν φίλον υἱόν·
quickly and Telemachus addressed his-own dear son
“Τηλέμαχ᾽, ἤδη μὲν τόδε γ᾽ εἴσεαι αὐτὸς ἐπελθών,
Telemachus already indeed this indeed you-will-know yourself coming
ἀνδρῶν μαρναμένων ἵνα τε κρίνονται ἄριστοι,
of-men fighting where — are-distinguished the-best
μή τι καταισχύνειν πατέρων γένος, οἳ τὸ πάρος περ
not at-all to-shame of-the-fathers the-race who the before indeed
ἀλκῇ τ᾽ ἠνορέῃ τε κεκάσμεθα πᾶσαν ἐπ᾽ αἶαν.”
in-strength both manliness and we-have-excelled all over earth
Τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
“ Ὄψεαι, αἴ κ᾽ ἐθέλῃσθα, πάτερ φίλε, τῷδ᾽ ἐπὶ θυμῷ
You-will-see if — you-are-willing father dear with-this in heart
οὔ τι καταισχύνοντα τεὸν γένος, ὡς ἀγορεύεις.”
not at-all shaming your race as you-say

Ὣς φάτο, Λαέρτης δ᾽ ἐχάρη καὶ μῦθον ἔειπε·
So he-spoke Laertes and rejoiced and word spoke
"Τίς νύ μοι ἡμέρη ἥδε, θεοὶ φίλοι; ἦ μάλα χαίρω·
What now for-me day this gods dear truly very I-rejoice
υἱός θ᾽ υἱωνός τ᾽ ἀρετῆς πέρι δῆριν ἔχουσιν."
son and grandson and of-valor about contest have
Τὸν δὲ παρισταμένη προσέφη γλαυκῶπις Ἀθήνη·
Him and standing-by addressed flashing-eyed Athena
" Ὦ Ἀρκεισιάδη, πάντων πολὺ φίλταθ᾽ ἑταίρων,
O son-of-Arceisius of-all far dearest of-comrades
εὐξάμενος κούρῃ γλαυκώπιδι καὶ Διὶ πατρί,
praying to-the-maiden flashing-eyed and to-Zeus father
αἶψα μάλ᾽ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος."
quickly very poising hurl long-shadowed spear
Ὣς φάτο, καί ῥ᾽ ἔμπνευσε μένος μέγα Παλλὰς Ἀθήνη
So she-spoke and then breathed-in strength great Pallas Athena
εὐξάμενος δ᾽ ἄρ᾽ ἔπειτα Διὸς κούρῃ μεγάλοιο,
praying and then thereafter of-Zeus to-the-daughter great
αἶψα μάλ᾽ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
quickly very poising he-hurled long-shadowed spear
καὶ βάλεν Εὐπείθεα κόρυθος διὰ χαλκοπαρῄου.
and struck Eupeithes the-helmet through bronze-cheeked
ἡ δ᾽ οὐκ ἔγχος ἔρυτο, διαπρὸ δὲ εἴσατο χαλκός,
it and not the-spear stopped right-through and went bronze
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
he-thudded and falling rang and armor upon him
ἐν δ᾽ ἔπεσον προμάχοις Ὀδυσεὺς καὶ φαίδιμος υἱός,
on and fell the-front-fighters Odysseus and glorious son
τύπτον δὲ ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι.
struck and with-swords both and with-spears double-pointed

καί νύ κε δὴ πάντας ὄλεσαν καὶ ἔθηκαν ἀνόστους,
and now — indeed all they-would-have-killed and made without-return
εἰ μὴ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
if not Athena daughter of-Zeus aegis-bearing
ἤϋσεν φωνῇ, κατὰ δ' ἔσχεθε λαὸν ἅπαντα.
shouted with-voice back and held the-people all
" Ἴσχεσθε πτολέμου, Ἰθακήσιοι, ἀργαλέοιο,
Hold-off from-war Ithacans grievous
ὥς κεν ἀναιμωτί γε διακρινθῆτε τάχιστα."
so-that — without-bloodshed indeed you-may-part most-quickly
Ὣς φάτ' Ἀθηναίη, τοὺς δὲ χλωρὸν δέος εἷλεν·
So spoke Athena them and pale fear seized
τῶν δ' ἄρα δεισάντων ἐκ χειρῶν ἔπτατο τεύχεα,
of-them and then fearing from hands flew the-arms
πάντα δ' ἐπὶ χθονὶ πῖπτε, θεᾶς ὅπα φωνησάσης·
all and on the-ground fell of-the-goddess voice uttering
πρὸς δὲ πόλιν τρωπῶντο λιλαιόμενοι βιότοιο.
to and the-city they-turned longing-for life
σμερδαλέον δ' ἐβόησε πολύτλας δῖος Ὀδυσσεύς,
terribly and he-shouted much-enduring noble Odysseus
οἴμησεν δὲ ἀλεὶς ὥς τ' αἰετὸς ὑψιπετήεις.
swooped and gathering-himself like — an-eagle high-flying
καὶ τότε δὴ Κρονίδης ἀφίει ψολόεντα κεραυνόν,
and then indeed the-son-of-Cronus let-fly smoking thunderbolt
κὰδ δ' ἔπεσε πρόσθε γλαυκώπιδος ὀβριμοπάτρης.
down and it-fell before the-flashing-eyed daughter-of-a-mighty-father
δὴ τότ' Ὀδυσσῆα προσέφη γλαυκῶπις Ἀθήνη·
indeed then Odysseus addressed flashing-eyed Athena

"Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Zeus-born son-of-Laertes of-many-devices Odysseus
ἴσχεο, παῦε δὲ νεῖκος ὁμοιΐου πολέμοιο,
hold-back stop and the-strife of-equal war
μή πως τοι Κρονίδης κεχολώσεται εὐρύοπα Ζεύς."
lest somehow with-you the-son-of-Cronus will-be-angry far-seeing Zeus
Ὣς φάτ' Ἀθηναίη, ὁ δ' ἐπείθετο, χαῖρε δὲ θυμῷ. 545
So spoke Athena he and obeyed rejoiced and in-heart
ὅρκια δ' αὖ κατόπισθε μετ' ἀμφοτέροισιν ἔθηκεν
oaths and in-turn thereafter between both set
Παλλὰς Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
Pallas Athena daughter of-Zeus aegis-bearing
Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν.
to-Mentor likened both in-form and also in-voice
